Ε4

# ΗΛΙΟΔΩΡΟΥ

# ΑΙΘΙΟΠΙΚΩΝ

## ΒΙΒΛΙΑ ΔΕΚΑ,

Ἃ χάριν Ἑλλήνων ἐξέδωκε μετὰ σημειώσεων, προσθεὶς καὶ τὰς ὑπὸ τοῦ Ἀμιότου συλλεγείσας, τέως δὲ ἀνεκδότους, διαφόρους γραφὰς,

ΠΡΟΤΡΟΠῌ ΚΑΙ ΔΑΠΑΝῌ

## ΑΛΕΞΑΝΔΡΟΥ ΒΑΣΙΛΕΙΟΥ,

Ο Δ. ΚΟΡΑΗΣ.

« Ἀρκεῖ μὲν γὰρ ἴσως καὶ τὸ, μηδὲν ἑαυτῷ συνειδότα φαῦ-
» λον, εὐμενείᾳ τῇ παρὰ τῶν κρειττόνων ἐπελπίζειν· καλὸν
» δὲ καὶ, ἀνθρώπων τοὺς συνόντας πείθοντα, σὺν παῤῥησίᾳ
» τὸν ἐπίκαιρον τοῦτον βίον διάγειν ».

Αἰθιοπικ. σελ. 303, καὶ Σημειώσ. 252.

## ΜΕΡΟΣ Β,

ΠΕΡΙΕΧΟΝ ΤΑΣ ΕΙΣ ΤΟΝ ΗΛΙΟΔΩΡΟΝ ΣΗΜΕΙΩΣΕΙΣ.

ΕΝ ΠΑΡΙΣΙΟΙΣ,

ΠΑΡΑ Ι. Μ. ΕΒΕΡΑΡΤῼ Τῼ ΤΥΠΟΓΡΑΦῼ. ᾼΩΔ.

ΕΞΗΓΗΣΙΣ ΤΩΝ ΣΗΜΕΙΩΝ.

Τὸ Α σημαίνει τὸν Ἀμιότον, εἴτουν τὴν ὑπ᾽ αὐτοῦ ἐκδοθεῖσαν Γαλλικὴν τοῦ Ἡλιοδώρου μετάφρασιν· τὰ δύο ΑΑ, τὰς διαφόρους ἀναγνώσεις ἢ γραφὰς τὰς ὑπὸ τοῦ Ἀμιότου συλλεγείσας· τὸ Β, τὴν ἐν Βασιλείᾳ ἔκδοσιν· τὰ ΔΑ, τὰς διαφόρους ἀνγνώσεις ἢ γραφὰς τὰς ὑπὸ τοῦ Δορβίλλου ἐκδοθείσας ἐν ταῖς εἰς τὸν Χαρίτωνα σημειώσεσιν, ὧν τὰς σελίδας δηλοῦσιν οἱ προσκείμενοι τοῖς ΔΑ ἀριθμοί· τὸ Κ, τὸν Κομμελῖνον, εἴτουν τὸ κείμενον τοῦ ὑπ᾽ αὐτοῦ ἐκδοθέντος Ἡλιοδώρου· τὰ ΚΑ, τὰς διαφόρους ἀναγνώσεις ἢ γραφὰς τὰς ὑπὸ Κομμελίνου προσεκδοθείσας· τὸ Λ, τὴν Λατινικὴν Ἡλιοδώρου μετάφρασιν· τὸ Μ, τὸν πρὸ ἐμοῦ ἐκδότην Μισχερλίχον.

# ΣΗΜΕΙΩΣΕΙΣ ΚΡΙΤΙΚΑΙ

## ΕΙΣ

## ΤΑ ΑΙΘΙΟΠΙΚΑ ΤΟΥ ΗΛΙΟΔΩΡΟΥ.

---

ΗΛΙΟΔΩ'ΡΟΥ Α'ΙΘΙΟΠΙΚΩ͂Ν ΠΡΩ͂ΤΟΝ.] Ἐν ταῖς ΚΑ ἐμφέρεται ἡ ἐπιγραφὴ οὕτως, ΗΛΙΟΔΩ'ΡΟΥ Α'ΙΘΙΟΠΙΚΩ͂Ν ΤΩ͂Ν ΠΕΡΙ' ΘΕΑΓΕ'ΝΗΝ ΚΑΙ' ΧΑΡΙ'ΚΛΕΙΑΝ ΒΙΒΛΙ'ΟΝ ΠΡΩ͂ΤΟΝ.

Σελίδι 1, στίχῳ 1, Ἡμέρας ἄρτι διαγελώσης. ] Ἄρχεται ἐξ αὐτῶν ὡς εἰπεῖν τῶν μέσων τῆς ὅλης διηγήσεως, δραματικῶς τοῦτο τεχνησάμενος· τὰς δὲ πρὸ τούτων καὶ μετὰ ταῦτα τύχας κατὰ συνεχῆ τάξιν εὑρήσεις ἐν τῇ προτεθείσῃ τῶν Αἰθιοπικῶν Ὑποθέσει. — Στ. 2, Ἀκρωρείας. ] Ἀκρωρείας λέγει τὰς ἄκρας καὶ κορυφὰς τῶν ὀρέων, ἃς καὶ Ἄκριας ἁπλῶς ὠνόμαζον, ἀπὸ τοῦ Ἄκρις, Ἄκριος. σώζεται δὲ ἡ λέξις καὶ ἐν τῇ κοινῇ συνηθείᾳ, καίτοι πλατύτερον ἐκλαμβανομένη· Ἄκριας γὰρ φαμὲν πάντα τὰ ἄκρα — Στ. 4, Ἡρακλεωτικόν.] Ἓν τῶν πολλῶν τοῦ Νείλου στομάτων, οὕτω καλούμενον Ἡρακλεωτικὸν, διὰ τὸν παρακείμενον Ἡρακλέους ναόν· ἐλέγετο δὲ καὶ Κανωβικὸν, καὶ, κατὰ τὸν Πλίνιον, Ναυκράτιον, τὸ μὲν διὰ τὴν Κάνωβον πόλιν (ἧς τόπον ἐπέχει νῦν τὰ κοινῶς καλούμενα Ἐπικέρια), τὸ δὲ διὰ τὴν Ναύκρατιν πόλιν ἑτέραν ἐπίσημον, κειμένην ἐπὶ τῷ ἀπὸ τοῦδε τοῦ στόματος ἀνήκοντι ῥείθρῳ, περὶ ἧς ἐν τοῖς ἑξῆς (σελ. 63) μνείαν ποιήσεται Ἡλιόδωρος. — Στ. 7, Ὡς οὐδὲν ἄγρας κ. τ. λ. ] Ὁ νοῦς, Ἐπειδὴ τὸ πέλαγος μὴ πλεόμενον, ἤγουν διὰ τὸ μὴ πλεῖσθαι, οὐδεμίαν ἐπηγγέλετο λῃστρικὴν ἄγραν, ἢ ἄλλως, Ἐπειδὴ τὸ πέλαγος, κενὸν ὂν πλοίων τὸ τηνικαῦτα, οὐδεμίαν ἐλπίδα κέρδους τοῦ ἀπὸ τῆς λῃστείας ὑπέφαινεν, ἔστρεψαν τὰς ὄψεις ἐπὶ τὸν πλησίον αἰγιαλόν — Στ. 14, Ὁ δὲ αἰγιαλὸς κ. τ. λ. ] Ἀντιπτωτικῶς ἀντὶ τοῦ, Τοῦ δὲ αἰγιαλοῦ μεστὰ πάντα, συν-

υπακουομένου τοῦ Μέρη. τοιοῦτον καὶ τὸ ἐν τοῖς ἑξῆς (σελ. 103), «Ἡ δὲ θυσία καὶ ἡ θεωρία, τετραετηρίδα ταύτην κ. τ. λ.» εἰσὶ δὲ τὰ τοιαῦτα ἀνακόλουθα οὐ τοῖς Ἀττικοῖς μόνοις ἴδια, ὥς φασιν οἱ Γραμματικοὶ, ἀλλ' ἁπαξάπασι τοῖς ἀνθρώποις· λαλοῦμεν γὰρ ὡς διανοούμεθα, διανοούμεθα δὲ πολλάκις οὐ κατὰ συνέχειαν, ἀλλὰ διαλύοντες τῶν ἐννοιῶν τὴν πλοκὴν καὶ μεταβάλλοντες ἄλλοτε ἄλλως κατὰ τὰς διαφόρους τῆς ψυχῆς ὑπὸ τῶν ἔξωθεν προσπιπτόντων παθήσεις. — Στ. 15, Μεστὰ πάντα νεοσφαγῶν.] Ἐν ἅπασι, Μεστὰ πάντα σωμάτων νεοσφαγῶν, πλὴν τῆς Β, ἐν ᾗ, Μεστὰ πάντα τῶν νεοσφαγῶν, γράφεται, ὡς δοκεῖν, τυπογράφων ἁμαρτίᾳ, τὰς δύο πρώτας συλλαβὰς τοῦ Σωμάτων παραλελεῖφθαι. ἀλλ' ὅμως δεῖν ᾠήθην περιγράψαι παντάπασι τὴν λέξιν ὡς πλεονάζουσαν. εἰ γὰρ τηρήσεις αὐτὴν, ἔσται τὸ λεγόμενον, Σωμάτων ἔτι τοῖς σώμασι σπαιρόντων· χωρὶς εἰ μή τις ὑπολάβοι γεγραφέναι τὸν Ἡλιόδωρον Πτωμάτων ἀντὶ τοῦ Σωμάτων· φήσει γὰρ καὶ ἐν τοῖς ἑξῆς (σελ. 244) «Πλῆθός τι κειμένων νεκρῶν ὁρῶσι νεοσφα-» γῶν», καὶ (σελ. 281) «Ἔτι κειμένῳ τῷ πτώματι».

Σελ. 2, στ. 3. Ἀναμέμικτο.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. ἀναυξήτως καὶ τοῖς παρακειμένοις ἰσοσυλλάβως ἐκφέρειν ἔθιν ὅτε τοὺς ὑπερσυντελικοὺς Ἀττικῶν ἐστιν ἔθος· ἐκφέρει δὲ αὐτοὺς Ἡλιόδωρος πολλάκις καὶ μετ' αὐξήσεως, εἴτε αὐτὸς ποικίλας τὴν χρῆσιν, εἴτε καὶ τῶν ἀντιγραψάντων μὴ προσχόντων τὸν νοῦν τῇ γραφῇ. — Στ. 5, Ἐλεεινὰ λείψανα.] Οὕτω σαφῶς γέγραπται ἐν τῇ Β, ᾗ συνομολογοῦσι καὶ αἱ ΑΑ. ὅθεν δῆλον τὸ Ἀλεεινὰ τυπογράφων ἁμάρτημα γεγονέναι τὴν ἀρχὴν ἐν τῇ Κ, ἐξ ἧς ἀσκέπτως παρέλαβον οἱ λοιποί. ὁ δὲ Βουρδελότος πρὸς τῇ ἀσκεψίᾳ, καὶ Θερμὰ λείψανα πάνυ ψυχρῶς διὰ μακρῶν ἐξηγεῖται τὰ Ἀλεεινά. Ἐλεεινὸν μὲν γὰρ λείψανόν ἐστιν, ὅπερ αὐτὸς Ἡλιόδωρος ἐν τοῖς ἑξῆς (σελ. 37) Οἰκτρὸν λείψανον λέγει· Ἀλεεινὸν δὲ (ἀπὸ τῆς Ἀλέας, ἢ σημαίνει τὴν θέρμην τοῦ ἡλίου), οὐχ ἁπλῶς πᾶν τὸ θερμὸν λέγεται, ἀλλὰ μᾶλλον τὸ θερμότητος μεταδοτικὸν, οἷον φαμὲν Ἀλεεινὴν χώραν ἢ ὥραν, Ἀλεεινὸν ἱμάτιον, καὶ οἷον αὐτὸς ἐν τοῖς ἑξῆς (σελ. 198) ἐρεῖ «Μέρος τὸ ἀλεεινότερον τῆς οἰκήσεως». — Στ. 15. Κάχληκι. . . πεπορισμένῳ.]

Οὕτω διώρθωκα τὸ σόλοικον Πεπορισμένος. ἀντὶ τοῦ Κάχληκι ἐν ταῖς ΚΑ γέγραπται Κάχλοις, ἐξ ἀμείνονος ἴσως ἑτέρας γραφῆς Κόχλοις. τοῦτο δ' ἐπεξήγησις ἔοικεν εἶναι τοῦ Κάχληξιν· ὅπερ εἰ ἐν τοῖς Ἡλιοδώρου ἀρχαίοις Ἀντιγράφοις ἐνεφέρετο, εἰκὸς καὶ Πεπορισμένοις πληθυντικῶς γεγράφθαι. καὶ Ἡσύχιος δὲ τὸ Κάχληκος διὰ τοῦ Κόχλου ἐξηγεῖ, καὶ τοῦτο δηλονότι σημαίνοντος τοῦ Κάχληκος, ὃς καὶ Κάχλαξ καὶ Κόχλαξ ἐλέγετο (Ἐτυμολογ. σελ. 534). οὕτω καὶ ἡ κοινὴ συνήθεια, Χοχλιὸν ὀνομάζει ποιὸν ὀστρακόδερμον, τὸν ὑπὸ τῶν Ἀρχαίων λεγόμενον Κόχλον ἢ Κοχλίαν, Χόχλακας δὲ, ἢ Χοχλάκια, αὐτοὺς τοὺς Κάχληκας. σημείωσαι δὲ ὅτι καὶ Θουκυδίδης (Δ, κϛ´) Κάχληκας, ἢ, ὡς ὁ Ἐτυμολόγος (Αὐτ.) βούλεται, κάχλακας, ὀνομάζει τοὺς αἰγιαλίτας λίθους· οἱ δὲ μεταγενέστεροι τούτους μὲν Ψήφους, ἔσθ' ὅτε δὲ καὶ Ψηφῖδας, Κάχληκας δὲ τοὺς ποταμίους εἰρήκασιν. αὐτίκα Στράβων (Δ, 182) « Καὶ διὰ τοῦτο εἰς πλείονας μερισθῆναι » λίθους, καθάπερ τοὺς ποταμίους κάχληκας, καὶ τὰς ψή- » φους τὰς αἰγιαλίτιδας »— Στ. 16, Ῥαχίας.] Ῥαχία, καὶ Ἰωνικῶς Ῥηχίη, καλεῖται πᾶς πετρώδης αἰγιαλὸς, ᾗ φησιν Ἡσύχιος. ὅτι δὲ παρὰ τὸ Ῥάσσω ἢ Ῥήσσω ἐσχημάτισται ἡ Ῥαχία, δῆλον καὶ ἐκ τοῦ συνωνύμου Ῥηγμὶν, ᾧπερ Ὅμηρος χρῆται ἀντὶ τῆς Ῥαχίας, διὰ τὰ προσβάλλοντα ταύτῃ οἱονεὶ ῥήγνυσθαι καὶ σκεδάζεσθαι τὰ κύματα. ὁμολογεῖ δὲ τούτοις καὶ τὰ ἐν τῇ κοινῇ συνηθείᾳ Ῥηχὰ, οὐδὲν ἄλλο ὄντα ἢ τὰ ἀβαθέστερα τῆς θαλάσσης μέρη τὰ πρὸς ταῖς ἀκταῖς, καὶ ἄντικρυς αὐτὴ ἡ Ῥαχία. ἡ αὐτὴ δὲ συνήθεια ἐκ τοῦ Ῥάσσω ῥήματος, ὃ καὶ Ἀράσσω ἐλέγετο, ἐποίησε τὸ Ἀράζω, οὕτω λέγουσα τὸ προσορμίζειν καὶ προσελαύνειν τὴν ναῦν τῇ ῥαχίᾳ.

Σελ. 3, στ. 3, Τὴν ναῦν.] Οὕτως αἱ ΑΑ, ἄνευ τοῦ συνδέσμου.— Στ. 12, Καθῆστο.] Ἐν ταῖς ΚΑ, Καθημένη.— Στ. 13, Ἀναπείθουσα.] Ἐν ταῖς ΑΑ, Πείθουσα, δίχα τῆς προθέσεως.— Στ. 16. Φαρέτραν τῶν ὤμων ἐξῆπτο.] Φαρέτρα, κατ' ὀνομαστικὴν ἐξέδωκεν ὁ Μ, λαβὼν ἐκ τῶν ΚΑ. εἰκὸς δὲ μᾶλλον μέσως ἢ παθητικῶς χρήσασθαι τὸν Ἡλιόδωρον τῷ Ἐξῆπτο, ὡς ἐν τοῖς ἑξῆς (σελ. 243), Πήραν ἐξῆπτο, ἐρεῖ. καὶ ὁ Λουκιανὸς δὲ (Προσλαλ. ἢ Ἡρακλ. § 1), « Τὴν διφθέραν

» ἐνῆπται τὴν τοῦ λέοντος » εἶπε.—Στ. 17, Ὑπεστήρικτο.] Ἐν ταῖς ΑΑ, Ὑποστήρικτο, ἀναυξήτως.—Στ. 18, Ἀπηώρητο.] Ἐκ τῶν ΚΑ, διὰ τοὺς προηγησαμένους ὑπερσυντελικοὺς, Καθῆστο, Ἔστεπτο, Ἐξῆπτο, καὶ Ὑπεστήρικτο. — Στ. 21, Προκείμενον.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ, ἔτι δὲ καὶ ἐξ αὐτοῦ τοῦ Ἡλιοδώρου, Ἴσα καὶ νεκρῷ προκείμενον, λέγοντος ἐν τοῖς ἑξῆς (σελ. 220) περὶ τοῦ αὐτοῦ Θεαγένους. τὸ δὲ Ἀποκείμενον ἀκυρολεκτοῦντος καὶ βαρβαρίζοντος Ἀντιγραφέως ἐστὶν ἁμάρτημα.

Σελ. 4, στ. 4, Ἡ δὲ ὄψις τῆς κόρης ἐφ᾽ ἑαυτὴν ἀνεῖλκε.] Ὁ νοῦς πρόδηλος, Οἱ μὲν πόνοι τοῦ σώματος ἠνάγκαζον τοὺς Θεαγένους ὀφθαλμοὺς εἰς τοὔδαφος βλέπειν· ἡ δὲ τῆς Χαρικλείας ὄψις ἀνέσπα καὶ ἀνήγειρεν αὐτοὺς ἐφ᾽ ἑαυτὴν, τουτέστιν ἐπὶ τὸ ὁρᾶν αὐτήν. ἀλλ᾽ ὅμως, τοῦ Βουρδελότου διορθώσαντος, « Τὴν δὲ ὄψιν ἡ κόρη ἐφ᾽ ἑαυτὴν ἀνεῖλκε » οὐκ ὤκνησεν ὁ Μ εἰς τὴν οἰκείαν ἔκδοσιν καταχωρίσαι τὴν διόρθωσιν.—Στ. 5, Καὶ τοῦτο ὁρᾶν. . . ὅτι ἐκείνην ἑώρων.] Ἐν ταῖς ΚΑ γράφεται, Καὶ τοῦτο ὁρᾶν. . . ὅ,τι ἐκείνη ἑώρα. ταύτην δὲ τὴν γραφὴν προελόμενος ὁ Κ, ἐκφράζει οὕτως, Καὶ ἠνάγκαζε τοὺς ὀφθαλμοὺς Θεαγένους ὁρᾶν τοῦτο, ὅ, τι ἑώρα ἡ Χαρίκλεια. καὶ τοῦτο μὲν οὐκ ἄξιον τοῦ Κ, ἀνδρὸς ἄλλως ἱκανοῦ συνιέναι τὴν Ἑλλάδα φωνήν. τί δ᾽ ἂν τις εἴποι περὶ Βουρδελότου; ὃς καθάπτεται μὲν τοῦ Α, ὡς μὴ νοήσαντος τὸ χωρίον, ἀναφέρει δὲ τὸ Αὐτοὺς πρὸς τὸ Λῃστὰς, καίπερ οὐ μετρίῳ τῷ διαστήματι κεχωρισμένον, ἵνα ᾖ, ὡς αὐτός φησιν, ὁ νοῦς τῶν λεγομένων τοιοῦτος, Καὶ ἠνάγκαζε τοὺς λῃστὰς ἰδεῖν τὸν Θεαγένην τοῦτο, ὅτι ἑώρων τὴν κόρην παρεστηκυῖαν καὶ βλέπουσαν αὐτόν. μακρὰ τοίνυν χαίρειν φράσαντες ταῖς τοιαύταις παρεξηγήσεσι, τοιοῦτον εἶναί φαμεν τῶν λεγομένων τὸν νοῦν, οἷον ἐξέφρασε καὶ ὁ Α εἰπὼν, *Et n'y avoit autre chose qui les forçast de regarder, sinon l'affection et le plaisir de la voir*, ἤγουν, Τοὺς Θεαγένους ὀφθαλμοὺς τοῦτο μόνον ὁρᾶν ἠνάγκαζεν, ὅτι Χαρίκλειαν ἑώρων, ἢ ἄλλως, Εἰς τοὔδαφος ἂν αὐτοὺς πεπηγότας συνεχῶς κατεῖχεν, ἢ καὶ μεμυκότας ὅλως, εἰ μὴ παρῆν Χαρίκλεια. — Στ. 11 Φάσμα τὸ σὸν καὶ ψυχή.] Ἐπίστευον γὰρ τὰς τῶν μὴ τεθαμμένων νεκρῶν ψυχὰς περιπο-

λεῖν καὶ φαντάζεσθαι περὶ τὴν γῆν, εἰργομένας τέως τοῦ ἐπιμίγνυσθαι ταῖς ἐν ᾅδου ψυχαῖς, ἕως ἂν ταφῆς τύχωσιν· ὃ σαφέστερον αὐτὸς ἐν τοῖς ἑξῆς (σελ. 58 καὶ 251) ἐρεῖ Ἡλιόδωρος. ὁ δὲ δεισιδαιμονέστατος Δαμάσκιος, ἥ φησι Φώτιος (Κωδ. ρλ΄.), καὶ βιβλίον ὅλον συνέγραψε « Περὶ τῶν μετὰ θάνατον ἐπιφαι- » νομένων ψυχῶν ». αὗται δέ εἰσιν, ἃς ὁ παρ᾽ ἡμῖν χυδαῖος ὄχλος (μὴ γὰρ οὕτω ποτὲ κατακρατήσειεν ἀμαθία τῶν Γραικῶν ἱερέων, ὡς συνασοφεῖν τοῖς μὴ σοφοῖς) Βορβολάκους ἢ Βουρβουλάκους καλεῖ, καὶ αὐτοῦ τοῦ ὀνόματος ἐμφαίνοντος τὸ ἀρχαῖον τῆς μυθολογίας· ὁ γὰρ Βορβόλαξ ἢ Βορβόλακας, οὐδὲν ἄλλο ἐστὶν ἢ μετάπτωσις τῆς Μορμολύκης ἢ Μορμολύκας, ἣν τιθήνην τοῦ Ἀχέροντος γεγενῆσθαι φασὶν οἱ παλαιοὶ (Στοβ. Ἐκλογ. φυσικ. Α, σελ. 129). ἐκ ταύτης δὲ καὶ τὸ Μορμολύττεσθαι, ἤγουν τὸ ἐκφοβεῖν, καὶ Μορμολύκεια τὰ τῶν Τραγῳδῶν πρόσωπα, διὰ τὸ φοβερόν. καὶ οἱ Μορμοὶ δὲ φόβους κενοὺς (οἷοί εἰσιν οἱ τῶν Βορβολάκων) σημαίνουσι καθ᾽ Ἡσύχιον. θεωρεῖται δὲ ἡ τοιαύτη μετάπτωσις τοῦ μ̄ εἰς τὸ β̄ καὶ ἐν τῷ Μυζάω, ὅπερ ἡ κοινὴ συνήθεια μετεποίησεν εἰς τὸ Βυζάνω, καὶ ἐν τῷ Χήμη, ἐξ οὗ παρέλαβε τὴν Ἀχηβάδαν, οἱονεὶ Χημάδα τινὰ οὖσαν, πλεονάσαντος Ἀττικῶς τοῦ ἀρχικοῦ ᾱ· καὶ τὸ Βορβορύζω δὲ καὶ Μορμυρίζω τῶν Ἀρχαίων, ἦχου ποιοῦ σημαντικὰ ῥήματα, τὴν αὐτὴν ταύτην μετάπτωσιν ὑπονοεῖν δίδωσιν.— Στ. 14, Δείξασα τὸ ἐπὶ τῶν γονάτων ξίφος.] Ὀρθὴν γραφὴν ταύτην διεσκεύασα ἐξ ἡμαρτημένων δύο, τῆς τε Δείξασα ἐπὶ τῶν κ. τ. λ., καὶ τῆς ἐκ τῶν ΑΑ Δείξασα τὸ τῶν κ. τ. λ.— Στ. 15, Ἤργησεν.] Ἡμάρτηται τό, τε τῆς Β Ἤρτισεν καὶ τὸ τῶν ΑΑ Ἤρκησεν. τοῦτό τε γὰρ τὸ χωρίον καὶ τὸ ἐν τοῖς ἑξῆς (σελ. 144) « Οὐχ᾽ οὕτως ἥδε ἡ χεὶρ καὶ ξίφος τοὐμὸν ἀργή- » σει » παρῴδηται ἐκ τῶν Εὐριπίδου (Φοινίσσ. 628),

Ὡς τάχ᾽ οὐκ ἔθ᾽ αἱματηρὸν τοὐμὸν ἀργήσει ξίφος.

Στ. 20, Τῶν μὲν βελῶν τῇ ἀθρόᾳ κινήσει κλαγξάντων.] Ἐκ τῶν Ὁμήρου (Ἰλιάδ. Α, 46),

Ἔκλαγξαν δ᾽ ἄρ᾽ ὀϊστοὶ ἐπ᾽ ὤμων χωομένοιο
Αὐτοῦ κινηθέντος.........................,

μεταφορικῶς ἀπὸ τῆς φωνῆς τῶν γεράνων, οὓς Κλαγγάζειν ἢ

Κλαγκάζειν φασί.—Στ. 24, Ἐπιτρεχούσης.] Εἰς τοῦτο τρέψαι δεῖν ἔγνων τὸ Ὑποτρεχούσης τῶν πρὸ ἐμοῦ. ἐρεῖ γὰρ καὶ ἐν τοῖς ἑξῆς (σελ. 80) « Κόμην τῶν ὤμων ἐπιβαίνουσαν » οὐχ Ὑποβαίνουσαν.

Σελ. 5, στ 1, Ἡ τῶν Γενομένων.] Ἐκ τῶν ΑΑ. ἐν δὲ ταῖς ΚΑ, Ἡ τῶν γιγνομένων, οὐδὲν ἄμεινον τοῦ Ἢ τῶν γιγνομένων· ἐνταῦθα γὰρ οὔτε ὁ διαζευκτικὸς σύνδεσμος, οὔθ' ἡ κατὰ τὸν ἐνεστῶτα μετοχὴ ὀρθῶς ἂν παραλαμβάνοιτο. ὁ Λ καὶ ὁ Α μετέφρασαν ὡσπερανεὶ ἐγέγραπτο, Ἢ τῶν γενομένων. —Στ. 3, Ὑπό του θεῶν.] Τουτέστιν Ὑπό τινος θεῶν. διώρθωκα ἐξ ἡμαρτημένων δύο, τῆς τε ΚΑ, Ὑπὸ τῶν θεῶν, καὶ τῆς ΑΑ, Υπὸ τοῦ θεῶν. κέχρηται δὲ ταύτῃ τῇ φράσει καὶ ἐν τοῖς ἑξῆς οὐχ ἅπαξ. ὅλον δὲ τουτὶ τὸ χωρίον μεμιμῆσθαι μὲν δοκεῖ καὶ ἐξ Ὁμήρου (Ὀδυσσ. Ζ, 151), ἐν οἷς Ὀδυσσεὺς Ἀρτέμιδι εἰκάζει τὴν Ναυσικάαν· τὸ δὲ πλέον ἐκ τοῦ Πλουταρχείου Ἀράτου (§ 32) μετενήνεκται, ὅπου ἡ κάλλει καὶ μεγέθει σώματος εὐπρεπὴς θυγάτηρ Ἐπιγήθους, αἰχμάλωτος καὶ αὐτή, ὡς ἡ Χαρίκλεια, ἐκδραμοῦσα τοῦ ἱεροῦ τῆς Ἀρτέμιδος, καὶ τὴν τριλοφίαν ἐπὶ κεφαλῆς φέρουσα, φρίκην ἐνέβαλε καὶ θάμβος, φάσμα θεῶν ὁρᾶν δοκοῦσι, τοῖς πολεμίοις. καὶ ἡ τοῦ τὰ Ἐφεσιακὰ δὲ γράψαντος Ξενοφῶντος (Α, β') Ἀνθία, ὡς Ἄρτεμις καὶ προσκυνεῖται καὶ θαυμάζεται ὑπὸ τῶν Ἐφεσίων « Προσεκύνησαν ὡς Ἄρτεμιν· καὶ τότ' » οὖν ὀφθείσης ἀνεβόησε τὸ πλῆθος, καὶ ἦσαν ποικίλαι παρὰ » τῶν θεωμένων φωναί, τῶν μὲν ὑπ' ἐκπλήξεως τὴν θεὸν εἶ- » ναι λεγόντων, τῶν δὲ, ἄλλην τινὰ ὑπὸ τῆς θεοῦ ΠΕΡΙΠΟΙ- » ΗΜΕΝΗΝ ». ὅπου καὶ τοῦτο σημειωτέον, ὅτι τὸ Περιποιημένην ἐνδέχεται μὲν καὶ γραφικῶς ἡμαρτῆσθαι ἀντὶ τοῦ Περιπεποιημένην, ἢ Περιποιουμένην, εἰκὸς δὲ καὶ ὑπὸ τῆς κοινῆς συνηθείας παραχθέντα τὸν Ξενοφῶντα ἀναυξήτως ἐξενέγκαι τὸν παρακείμενον, ὡς ἐν τοῖς ἑξῆς (συμ. σελ. 123, στ. 14) ἐροῦμεν· ἀρχαιότερον γὰρ Ἡλιοδώρου γεγονέναι τὸν τὰ Ἐφεσιακὰ γράψαντα, οὐδείς γε μὰν πείσειεν, οὐδ' ἢν πείσῃ. ἔστω γὰρ καὶ γραφικῶς ἡμαρτῆσθαι τὸ ἀναύξητον τοῦ παρακειμένου· ἀλλ' ἡ λέξις αὐτὴ τοῦ Περιποιεῖσθαι, ἡ τοσαῦτα τοῖς Κριτικοῖς παρασχοῦσα πράγματα, ἄντικρυς ἐξελέγχει τὴν κοινὴν συνήθειαν, καθ' ἣν φαμὲν καὶ μέσως καὶ παθη-

τικῶς « Ὁ δεῖνά με περιποιεῖται » τουτέστι περιέπει, ἢ φιλοφρονεῖταί με, καὶ « Περιποιοῦμαι ἀπὸ τὸν δεῖνα ». εὕρηται δὲ παρὰ τῷ Ξενοφῶντι τούτῳ καὶ ἄλλα πολλὰ παρηκμακότος Ἑλληνισμοῦ ἴχνη. — Στ. 13, Ἑαυτοῖς.] Ἐν ταῖς ΑΑ, Ἀλλήλοις, ὅπερ ἐστὶν ἐπεξήγησις τοῦ Ἑαυτοῖς. ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (σελ. 68) Πρὸς ἑαυτοὺς, ἀντὶ τοῦ Πρὸς ἀλλήλους. ταύτην δὲ τὴν χρῆσιν Ἡσύχιος, Σουΐδας, Πρισκιανὸς καὶ ἄλλοι πλεῖστοι, τῶν Ἀττικῶν εἶναί φασιν. ὁ μέντοι Εὐστάθιος περὶ αὐτῆς ταῦτα λέγει (Ὀδυσσ. Ε, 481) « Τὸ μὲν γὰρ Ἑαυτοὺς, ὥς » φασιν οἱ Παλαιοὶ, ἐπὶ τῶν καθ᾽ αὑτὰ λεγομένων τέθειται· » οἷον, Αἴας καὶ Μενοικεὺς, φασὶν, ὁ Κρέοντος, ἑαυτοὺς ἀνεῖ- » λον, ἤγουν ἑκάτερος ἑαυτόν. τὸ δὲ Ἀλλήλους, ἐπί τινων » (γρ. ἐπὶ τῶν) συμπεπλεγμένων κεῖται· οἷον οἱ τοῦ Οἰδί- » ποδος παῖδες ἀλλήλους ἀπέκτειναν, ἤτοι ἕτερος τὸν » ἕτερον. Μένανδρος, οὖν, φασὶν, ἁμαρτάνει, Οὐκ ἠρκέσα- » μεν ἑαυτοῖς· ἐχρῆν γὰρ, Ἀλλήλοις, εἰπεῖν ». ἀλλ᾽ εἰ Μένανδρος ἁμαρτάνει, ἥμαρτε δήπου καὶ Θουκυδίδης εἰπὼν (Δ, κέ.) « Οἱ Νάξιοι, ὡς εἶδον, θαρσήσαντες, καὶ παρακελευό- » μενοι ἘΝ ἙΑΥΤΟῖΣ (γρ. δίχα προθέσ. ἙΑΥΤΟῖΣ) » . . . προσπίπτουσι τοῖς Μεσσηνίοις »· ἥμαρτε δὲ καὶ Σοφοκλῆς περὶ αὐτῶν τούτων, ὧν φησιν Εὐστάθιος, τῶν Οἰδίποδος παίδων φήσας (Ἀντιγ. 145),

Μητρός τε μιᾶς φύντε ΚΑΘ᾽ ΑΥΤΟῖΝ
Δικρατεῖς λόγχας στήσαντ᾽ . . . . . . . . . .

ἤγουν Κατ᾽ ἀλλήλων, ὡς ὀρθῶς ἐξηγήσατο ὁ Σχολιαστής. ὁ δὲ αὐτὸς Σοφοκλῆς ἐν τῷ αὐτῷ δράματι (Ἀντιγ. 55) εἰρήκει,

Τρίτον δ᾽ ἀδελφὼ δύο μίαν καθ᾽ ἡμέραν,
ΑΥΤΟΚΤΕΝΟῦΝΤΕ τὼ ταλαιπώρω, μόρον
Κοινὸν κατειργάσαντ᾽ ἐπ᾽ ἀλλήλοιν χεροῖν.

ὅπου ἀναγνωστέον ΑΥΤΟΚΤΟΝΟῦΝΤΕ (ὅ ἐστιν Ἑαυτοκτονοῦντε, ἤγουν Ἀλληλοκτονοῦντε), ὀμικρογραφοῦντας τὴν τρίτην ἀπὸ τέλους· τὰ γὰρ τοιαῦτα σύνθετα φυλάττειν εἴωθε τὴν παραλήγουσαν τοῦ μέσου παρακειμένου, ἀφ᾽ οὗ παρῆκται, οἷον, Λέγω, λέλογα, πρωτολογῶ. Νέμω, νένομα, αὐτονομοῦμαι (ἀπ᾽ ἀχρήστου τοῦ Αὐτονομῶ), Δρέμω, δέδρομα, παλινδρομῶ· ὀφείλει οὖν καὶ ἀπὸ τοῦ Κτείνω, ἔκτονα, αὐτοκτονῶ.

Σελ. 6, στ. 1, Οὕτως ἄρα πόθος κ. τ. λ.] Οὐκ ἀφυῶς ἐμιμήσατο τὴν γνώμην ὁ τὰ καθ' Ὑσμινίαν καὶ Ὑσμίνην γράψας (Ζ, 245), καίπερ οὐδενὶ τῶν ἀφυεστάτων Μυθιστοριογράφων τὰ δεύτερα λέγων, Εὐμάθιος, « Οὕτως ἔρως εἰς » ψυχὴν ἐμπεσὼν, καὶ ὅλην καταδουλώσας αὐτὴν, τῶν μὲν » ἄλλων πάντων πείθει καταφρονεῖν, ὅλην δὲ πρὸς ἑαυτὸν μεθ- » αρμόζεται ». — Στ. 8, Μέλανας.] Οὐ τοὺς ἀκριβῶς μέλανας βούλεται λέγειν, ἀλλὰ τοὺς μελαγχρόους, οὓς ἡ συνήθεια Μελαγχροινοὺς (συνελοῦσα τὸ ἄχρηστον Μελαγχροΐνους) καὶ Μελαμψοὺς (οἱονεὶ ἀπὸ τοῦ Μελανοψίους) καλεῖ. τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι, ἢ δῆλον καὶ ἐκ τοῦ Ἀχιλλέως Τατίου, ὃς ἀκριβέστερον περί γε τῆς χροιᾶς αὐτῶν τούτων τῶν Βουκόλων λῃστῶν φησὶ (Γ, θ') « Μέλανες δὲ τὴν χροιὰν, οὐ κατὰ τὴν » Ἰνδῶν τὴν ἄκρατον, ἀλλ' οἷος ἂν γένοιτο νόθος Αἰθίοψ ». καὶ ὁ χαριέστατος δὲ Ἀριστοφάνης, παρῳδῶν Εὐριπίδην « Με- » λανοσυρμαῖον λεὼν » ὀνομάζει (Θεσμοφ. 857) τοὺς Αἰγυπτίους. — Στ 9. Αὐχμηρούς.] Αὐχμηρὸς, ἀπὸ τοῦ Αὐχμὸς, λέγεται κυρίως, ὁ ἄνυδρος καὶ ξηρὸς, κατὰ μεταφορὰν δὲ ὁ ῥυπαρὸς, ἐπεὶ τοιοῦτοι ὡς ἐπὶ τὸ πολὺ οἱ μὴ χρώμενοι λουτροῖς. σεσήμαγκε δὲ ἡ λέξις καὶ τὸν πένητα ἢ πτωχὸν, καὶ τέλος τὸν ἄγριον καὶ θηριώδη, ὃ δεδήλωκεν ἐνταῦθα διὰ τοῦ Αὐχμηρούς· τὸ γὰρ ἀτημέλητον καὶ πιναρὸν τοῦ σώματος, ἢ πτωχείας ἐστὶν ἀποτέλεσμα, ἢ ψυχῆς ἀγριότητα κατελέγχει. διὸ φιλοσόφως τε πάνυ καὶ φιλανθρώπως τὴν ἄλειψιν τῆς κεφαλῆς καὶ τὴν νίψιν τοῦ προσώπου (Ματθ. ς, ιζ'.) ὁ θεῖος παρεγγυᾷ λόγος. — Στ. 10, Εἴδωλα τῶν κειμένων.] Τουτέστι φάσματα καὶ μορμολύκεια τῶν φονευθέντων· τοιούτους γὰρ αὐτοὺς ὑπέλαβεν ἡ Χαρίκλεια. εἰρήκαμεν δὲ περὶ τούτων ἐν τοῖς πρόσθεν (σελ. 5), ὅτι εἰσὶν οἱ τοῖς χυδαίοις λεγόμενοι καὶ πιστευόμενοι Βορβόλακες. — Στ. 11, Παρενοχλεῖτε.] Ὁ Α μετέφρασε, *De nous venir encore une autre fois molester et troubler*, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Πάλιν ὀχλεῖτε, ἀντὶ τοῦ Παρενοχλεῖτε. — Στ. 13, Ἐκδικίας τῆς εἰς σωφροσύνην ὕβρεως.] Ἐκ τῆς Β διώρθωκα, τρέψας εἰς τὸ Τῆς ἄρθρον τὸν Καὶ σύνδεσμον, ὃς καὶ βάρβαρον καὶ ἀδιανόητον ἀπειργάζετο τὸ χωρίον. ὁ δὲ νοῦς, Ὅσοι δὲ πρὸς ἡμῶν ἀνῄρησθε, πεπόνθατε

τοῦτο,

τοῦτο, ἤγουν τὴν ἀναίρεσιν, κατὰ νόμον ἀμύνης καὶ ἐκδικήσεως, ἕνεκα τῆς ὕβρεως, ἣν ὑβρίσαι εἰς τὴν ἐμὴν σωφροσύνην ἐβούλεσθε. — Στ. 18, Ὀυδὲν.] Παρέλαβον τὴν διόρθωσιν τοῦ Μ, ἣν συνῆκε πρὸ αὐτοῦ καὶ ὁ Α, ἐκφράσας, *N'entendoyent pas un seul mot de ce qu'elle leur disoit.* ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (σελ. 8) « Τῶν μὲν λεγομένων ὀυδὲν συνιεῖσα ». — Στ. 20, Ἰσχυρὰν αὐτοῖς κ. τ. λ.] Εὐφυῶς ἐκπέφρασται τὸ, «Ἰσχυρὰν αὐτοῖς φυλακὴν τὴν ἀσθένειαν αὐτῶν ἐπιστήσαντες». διὰ τί; διότι αὐτοφυεῖ καὶ ἀνεπιτηδεύτῳ κάλλει τὰ τοῦ λόγου κεκόσμηται. ἔστι δὲ τοιαῦτα οὐκ ὀλίγα παρὰ τῷ Ἡλιοδώρῳ, μακρῷ δὲ πλείω παρὰ τοῖς ἀρίστοις τῶν συγγραφέων, ἃ χρὴ μιμεῖσθαι τοὺς νέους, μακρὰ χαίρειν λέγοντας ταῖς κακοζήλοις τῶν κακοσχόλων σοφιστῶν ἐκφράσεσι. — Στ. 23, Πολλὰ δὲ ἦν καὶ ποικίλα.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ γράφεται, » Πολλῶν ὕλων καὶ ποικίλων ». προειλόμην δὲ τὴν πρώτην γραφὴν, περιορίσας τῷ Διαμέσου λεγομένῳ, ἐπεὶ καὶ προϊὼν (σελ. 278) ἐρεῖ, « Πάντων μὲν τῶν ὄντων (πολλὰ δὲ ἦν) ἀποσυληθέντες ».

Σελ. 7, στ. 10, Οὔτε τι τῶν σκύλων ἀπενεγκάμενοι.] Ἀντὶ τοῦ, Σκύλων, ἐν ταῖς ΚΑ καὶ ΑΑ γράφεται, Σύλων, ὅπερ ὤφειλον προελέσθαι. ἔοικε γὰρ τούτῳ διαφέρειν τὰ Σῦλα τῶν Σκύλων, ὅτι τὰ μὲν, πολέμου νόμῳ, καὶ κατὰ μάχην ἔθνους πρὸς ἔθνος, ἢ πόλεως πρὸς πόλιν, ἀπὸ πεσόντων τῶν πολεμίων σκυλεύεται (τὰ γὰρ ἀπὸ ζώντων Λάφυρα καλεῖται)· Σῦλα δὲ, τὰ κατὰ γῆν ἢ θάλατταν ὑπὸ λῃστῶν συλώμενα, ἅπερ ἡ χυδαϊκὴ συνήθεια Κούρση καλεῖ, ὡς καὶ τοὺς συλητὰς, Κουρσάρους (ἐκ τῆς Ἰταλικῆς λέξεως *Corsale*). δηλοῖ δὲ καὶ ὁ Στράβων, εἰπὼν (ΙΖ, 794), «Ἐσύλησε δ' αὐτὴν . . . ἐκ τῆς Συρίας ἐπελ-» θὼν, καὶ ἐκπεσὼν εὐθὺς, ὥστ' ἀνόνητα αὐτῷ τὰ σῦλα γενέ-» σθαι». καὶ ταῦτα μὲν περὶ τῶν Σύλων· ἀντὶ δὲ τοῦ Ἐπενεγκάμενοι, γέγραφα διορθώσας, Ἀπενεγκάμενοι. ἡ δὲ διαφορὰ πρόδηλος· Ἐπιφέρεται γάρ τις, ἅπερ ἁπλῶς φέρει ἐφ' ἑαυτῷ, Ἀποφέρεσθαι δὲ λέγεται, ἅπερ ἀφ' ἑτέρου εἰς ἕτερον τόπον μεταβαίνων φέρεται. ἐρεῖ δὲ καὶ προϊὼν τροπικῶς (σελ. 12) «Καλὸν ἐντάφιον τὴν σωφροσύνην ἀπενεγκαμένη. » — Στ. 12, Δέκα.] Αἱ ΑΑ, Εἰς δέκα, τουτέστιν, Ἕως δέκα, ὡς ἐν τῇ συνηθείᾳ φαμέν· καὶ ἴσως οὕτως ἐγέγραπτο τὸ πάλαι — Στ. 13,

Τοσούτους ἐπελθόντας.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Τοσούτους τοὺς ἐπελθόντας. — Στ. 25, Ἐθαύμαζον.] Λείπει ἐκ μόνης τῆς Β· ὅθεν προαχθεὶς ὁ Μ περιττὸν αὐτὸ κέκρικε, ὡς τοῦ, Ἐξεπλήττοντο, καὶ πρὸς τὴν κόρην καὶ πρὸς τὸν νεανίαν ἔχοντος ἀναφέρεσθαι. ἐγὼ δὲ τοσούτου δέω περιττὸν ἡγεῖσθαι τὸ, Ἐθαύμαζον, ὥστε κἂν εἰ μηδ᾽ ἐν ἑνὶ ὅλως ἐφέρετο τῶν ἀντιγράφων, οὐκ ἂν ὤκνησα ἢ αὐτὸ, ἢ ἄλλοτι ἰσοδύναμον ἀντ᾽ αὐτοῦ, παραλαβεῖν ῥῆμα. τὸ δὲ ἐχόμενον, Καὶ τραυματίαν, ταὐτὸ βούλεται τῷ, Καίπερ τραυματίαν, ὃ μὴ συνέντες ὁ Λ καὶ Α, παρέλιπον ἐν τῇ μεταφράσει, ὡς παρέλκοντα, τὸν Καί.

Σελ. 8, στ. 8, Συμβαλοῦσα.] Ἐν ταῖς ΑΑ, Συμβάλλουσα. ἀδιάφορος δὲ ἐνταῦθα ἡ χρῆσις τοῦ ἐνεστῶτος ἢ τοῦ ἀορίστου. Στ. 25, Τῶν Αὐχμηροτέρων.] Ἤγουν τῶν ἀγριωτέρων· εἰρήκαμεν δὲ περὶ τῆς σημασίας τοῦ Αὐχμηρὸς καὶ ἐν τοῖς πρόσθεν. τὴν δὲ γνώμην ταύτην ὧδε μιμησάμενος ἐξέφρασε Θεόδωρος ὁ Πρόδρομος, ἐν τοῖς κατὰ Ῥοδάνθην καὶ Δοσικλέα (Α, σελ. 19),

Οὕτως τὰ θαυμάσια τῶν θεαμάτων
Καὶ βαρβαρικὸν συγκαταστέλλει θράσος·
Ψυχὴν δὲ λῃστοῦ πρὸς κατάπληξιν στρέφει.

καὶ ὅρα ὅπως, τῆς χρήσεως τὸ Συστέλλειν, ἢ Καταστέλλειν, ὑποβαλλούσης, ὁ τῶν καλῶν ἄγευστος ἰαμβογράφος, οὐκ ἀγαπήσας θατέρῳ, ἀμφότερα συνεφόρησε καὶ συνεκέρασεν εἰς τὸ Συγκαταστέλλειν. καὶ ἔστι πρὸς τοὺς τοιούτους βαρβαροποιητὰς βαρβάρως ἀντιπαρῳδήσαντα φάναι,

Οὕτω τὰ θαυμάσια τῶν συγγραμμάτων
Τῷ βαρβαρικῷ τῶν ἀπαιδεύτων θράσει,
Ἄμορφα κ᾽ αἰσχρὰ γίγνεται συλώμενα.

Στ. 25, Δύναται.] Τοῦτο ὡς ἐπεξήγησιν τοῦ, Οἶδεν, ὑπολαβὼν ὁ Μ, ὀβελίσαι ἡμῖν οὐκ ὀρθῶς παραινεῖ. — Στ. 26, Στάδια.] Διγενὲς τοὔνομα, ὁ Στάδιος καὶ τὸ Στάδιον, καθὰ καὶ ὁ Ζυγὸς καὶ τὸ Ζυγὸν, καὶ ἄλλ᾽ ἄττα, ἅπερ ἐσημειώσαντο Γραμματικῶν παῖδες. τούτοις δὲ προσθετέον καὶ τὸ Βότρυς ἀρσενικὸν, κινηθὲν εἰς οὐδέτερον ἑτέρας κλίσεως τὸ, Βότρυον. αὐτίκα Λόγγος ἐν ἀρχῇ τοῦ δευτέρου τῶν Ποιμενικῶν βιβλίου, « Λίθου θλῖψαι ΤΑ ἜΝΟΙΝΑ ΤΩ͂Ν ΒΟΤΡΎΩΝ δυναμένου » εἴρηκεν. καὶ οὐ μετακινητέον τὴν γραφὴν, οὔτε εἰς τὸ,

Τοὺς ἐνοίνους τῶν βοτρύων, οὔτε εἰς τὸ, Τὰ ἔνοινα τῶν βοτρυδίων, ὡς ἔδοξε τῷ πρὸ μικροῦ τὸν Λόγγον ἐκδεδωκότι Σχεφέρῳ, ἀνδρὶ κριτικῆς Μούσης ὅτι μάλιστα πεπειραμένῳ· ἐπεὶ καὶ Λουκιανὸς κατ᾽ ἀρχὰς τοῦ, Προσλαλιὰ, ἢ Διόνυσος, ἐπιγραφομένου βιβλίου, οὐκ ὤκνησεν εἰπεῖν « Καὶ τὸν μὲν στρατηλάτην. . . » ΒΟΤΡΎΟΙΣ ἐστεφανωμένον ».

Σελ. 9, σ7. 5, Βουκόλια.] Περὶ τῶν Βουκόλων λῃστῶν τῆς Αἰγύπτου, καὶ τῶν ἐν οἷς κατῴκουν χωρίοις, ἃ διὰ τοῦτο Βουκόλια ἐκαλεῖτο, ἱστόρησαν μὲν καὶ ἄλλοι, ἐν οἷς καὶ Ἀχιλλεὺς ὁ Τάτιος ἐν τοῖς περὶ Κλειτοφῶντα καὶ Λευκίππην (Γ, θ', καὶ Δ, ιβ'.), ἀκριβέστατα δὲ τῶν ἁπάντων ἔγραψεν Ἡλιόδωρος. ἦν δὲ μάλιστα τὰ Βουκόλια ἐν τοῖς ἕλεσι, διὰ τὸ ἄφθονον τῆς ἐκεῖ νομῆς· διὸ καὶ Ἑλεαρχία ὁ τόπος ἐκαλεῖτο, ὡς ἂν εἴποι τις τῶν ἑλῶν ἐπαρχία, οὖσα μεταξὺ τοῦ τε Σεβεννυτικοῦ καλουμένου σ7όματος τοῦ Νείλου καὶ τοῦ Μενδησίου. μέσον δὲ τῶν αὐτοφυῶν τούτων στομάτων ἔκειτο τρίτον χειροποίητον, Βουκολικὸν ὑφ᾽ Ἡροδότου καλούμενον, ὃ ταυτὸν εἶναί φασί τινες τῷ παρ᾽ ἄλλοις καλουμένῳ Φατνιτικῷ, ἐφ᾽ οὗ πόλις Θαμύατις, ἡ κοινῶς λεγομένη τανῦν Δαμιάτη. δόξειε δ᾽ ἂν Ἡλιόδωρος παρατοπογραφεῖν τὰ Βουκόλια, διὰ τὸ καὶ μέχρι τοῦ Ἡρακλεωτικοῦ στόματος παρεκτείνειν αὐτά. ἀλλ᾽ ἔστιν εἰπεῖν, ὅτι εἰ καὶ ἐν τῇ Ἑλεαρχίᾳ τὰ μάλιστα ᾤκουν οἱ Βουκόλοι, εἰκὸς καὶ ἀλλαχοῦ τῶν ἑλῶν, πολλῶν ὄντων κατ᾽ Αἴγυπτον, Βουκόλους οἰκῆσαι· καὶ αὐτὸ δὲ τὸ λῃστὰς καὶ νομάδας ὑπάρξαι, ὑπαγορεύει μὴ τὴν αὐτὴν ἀεὶ κατασχεῖν χώραν, ἀλλ᾽ ἄλλοτε ἄλλην ἐπιτρέχειν, ὡς ἂν αὐτοῖς τὰ τῆς λῃστείας ἢ τῆς νομῆς εὐχερῆ καὶ ἄφθονα προσεγίνετο. συνηγορεῖ δὲ τοῖς λεγομένοις καὶ Στράβων, διαῤῥήδην λέγων, τοῦτο μὲν (ΙΖ, σελ. 792), ὅτι οἱ πρότεροι τῶν Αἰγυπτίων βασιλεῖς, ἀπείργειν βουλόμενοι τοὺς κατὰ θάλασσαν ἐπιόντας, Βουκόλοις παρέδοσαν τὰ κύκλῳ τῆς Ῥακώτιδος, ἣ μετὰ ταῦτα μέρος ἐγένετο τῆς Ἀλεξανδρέων πόλεως, τοῦτο δὲ (σελ. 802), ὅτι ὁ πρὸς τῇ Φάρῳ λιμὴν ἐφρουρεῖτο ὑπὸ Βουκόλων λῃστῶν ἐπιτιθεμένων τοῖς προσορμιζομένοις. διείργεται δὲ τοῦ Κανωβικοῦ στόματος οὐ πολλοῖς τισὶ σταδίοις ἥ τε Φάρος καὶ ἡ Ἀλεξάνδρεια.—Στ. 14, Εἴ ποι.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ.—Στ. 15, Ἐπὶ

σκάφους.] Διώρθωκα τὸν σολοικισμὸν ἐξελὼν τὸ ἄρθρον, ὅπερ οὐδὲ ἡ ἐν ταῖς ΑΑ γραφὴ, ἔχει, ἡμαρτημένη καὶ αὐτὴ τῇ πτώσει, Ἐπὶ σκάφος. μετ᾽ ὀλίγα μέντοι ἐρεῖ, Ἐπ᾽ ἄκρου τοῦ σκάφους, μετὰ τοῦ ἄρθρου, ὀρθῶς· τὰ γὰρ ἄρθρα ἀναπόλησιν πράγματος προεγνωσμένου ἐμφαίνει. ἐνταῦθα δὲ τῷ λέγοντι, Ἐπὶ τοῦ σκάφους βιοτεύει, ὑποκρούσειεν ἄν τις οὐκ ἀλόγως τῶν ἑλληνίζειν εἰδότων, Τίνος σκάφους; — Στ. 17, Ἐριθεύουσιν.] Ἐν ταῖς ΔΑ 568 γράφεται, Ἐρύκουσιν, ἐξ ὀρθοτέρας ἄλλης γραφῆς, ὡς εἰκάζει Δορβίλλος, τῆς, Ἐρείκουσιν. σημαίνει δὲ τὸ Ἐρείκειν, κόπτειν, σχίζειν, καὶ τέθειται ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν παχυμερῶς καὶ μὴ εἰς ἄλευρα κεκομμένων σιτηρῶν ἢ ὀσπριωδῶν καρπῶν. ὅθεν καὶ λέγεται τὰ οὕτω κεκομμένα Ἐρικτὰ, ἢ Ἐρεικτὰ, ἤγουν, ὡς ἂν ἡ συνήθεια φαίη, Χονδροκοπανισμένα. εἰκὸς μέντοι μᾶλλον τὸν Ἡλιόδωρον γεγραφέναι, Ἐριθεύουσιν, ὃ κυρίως μὲν δηλοῖ τὸ Ἐργάζεσθαι ἔρια, καταχρηστικῶς δὲ καὶ ἐφ᾽ οἵας δή ποτε ἐργασίας τέθειται. — Στ. 21. Ἕρπειν δὲ ὀρεγόμενον] Ἕρπω ἐστὶ τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον, Περιπατῶ ἀρκουδιστὰ, ἤγουν, Τετραποδηδὸν βαδίζω, ἤ φησιν ὁ Σοφοκλέους σχολιαστὴς ἐξηγούμενος τὴν ῥῆσιν ταύτην (Φιλοκτ. 701), ἣν παρῳδεῖν πως ἔοικεν Ἡλιόδωρος,

> ἝΡΠΕΙ γὰρ ἄλλοτ᾽ ἄλλα
> Τότ᾽ ἂν εἰλυόμενος,
> ΠΑΙΣ ἄτερ ὡν φίλας τιθήνας.

τῷ δὲ περὶ τοῦ ἱμάντος, ὃν ἐξάπτουσι τῶν σφυρῶν τῶν οἰκείων παίδων οἱ Βουκόλοι, παραπλήσιόν τι ἱστορεῖ καὶ Ἡρόδοτος (Ε, ιϛ) περὶ τῶν Παιόνων, « Οἰκεῦσι δὲ τοῦτον τὸν τρόπον· κρατέων » ἕκαστος ἐπὶ τῶν ἰκρίων καλύβης τε, ἐν ᾗ διαιτᾶται, καὶ » θύρης καταπακτῆς διὰ τῶν ἰκρίων κάτω φερούσης εἰς τὴν » λίμνην· τὰ δὲ νήπια παιδία δέουσι τοῦ ποδὸς σπάρτῳ, μὴ » κατακυλισθῇ δειμαίνοντες ».

Σελ. 10. στ. 3 Ἱκανὴ δὲ καὶ.] Καὶ τῇ γραφῇ καὶ τῇ στίξει ἡμαρτημένον τὸ χωρίον διώρθωκα, λαβὼν τὸ κατ᾽ εὐθεῖαν πτῶσιν, Ἱκανὴ, ἐκ τῶν ΚΑ. τοῦτο δὲ ληφθὲν, καὶ τὴν πρὸ αὐτοῦ τελείαν στιγμὴν, καὶ ὃν μετ᾽ αὐτὸ προσέθηκα, Καὶ, σύνδεσμον ὑπηγόρευε. — Στ. 5, Ὅσα καὶ τείχει.] Ἐξ ἡμαρτημένης ἑτέρας γραφῆς τῶν ΚΑ, καὶ ΑΑ, Ὅσα καὶ τείχη· ἐρεῖ δὲ καὶ προϊὼν

(σελ. 86) «Ὅσα φωλεοῖς καὶ σήραγξι τῷ ἕλει χρώμενοι» καθὰ δὴ καὶ Λουκιανὸς εἴρηκέ που (Ψευδολογιστ. § 25) «Καὶ ἀντὶ » γλώσσης ὅσα καὶ χειρὶ χρῆσθαι διέγνωκας». — Στ. 10, Τοῖς διέκπλοις.] Ἔτρεψα τὴν αἰτιατικὴν εἰς τὴν δοτικήν· οἱ γὰρ σύνδεσμοι, Μὲν καὶ Δὲ, ἀρκούντως ὑπαγορεύουσι τὸ Διέκπλοις συνεκδοχικῶς, ἥ φασι Γραμματικῶν παῖδες, συντακτέον εἶναι πρός τε τὸ Ῥᾷστας καὶ τὸ Ἀπόρους, ἀμφότερα ἐπιθετικῶς τῷ Ἀτραποὺς συναπτόμενα. ὁ δὲ νοῦς πρόδηλος, Ἀτραποὺς αὐτοῖς μὲν ῥᾷστας, τοῖς δ᾽ ἄλλοις ἀπόρους διεκπλευσθῆναι. ἀντὶ δὲ τοῦ, Ἀπόρους τοὺς διέκπλους, ἐν ταῖς ΔΑ 568 γράφεται, Ἀβάτους τοὺς τόπους· ὅπερ οὐδὲν ἔστιν ἀλλ᾽ ἢ γραφῆς ἡμαρτημένης οὐδὲν ἄμεινον ἔχουσα ἐξήγησις. — Στ. 21, Λήσταρχον.] Καὶ Βασιλέα δὲ αὐτὸν ἐκάλουν, εἰ χρὴ πιστεύειν Ἀχιλλεῖ τῷ Τατίῳ (Γ, θ΄.) ἐν οἷς περὶ τῶν Βουκόλων τούτων φησὶν, «Ὡς εἰς τὴν ἐπιοῦσαν ἄξοντες ἡμᾶς ὡς τὸν » Βασιλέα· τούτῳ γὰρ ἐκάλουν τῷ ὀνόματι τὸν λῃστὴν τὸν » μείζονα».

Σελ. 11, στ. 4, Ὑπ᾽ ἀγροικίας.] Ἐκ τῶν ΚΑ καὶ ΔΑ 568. Στ. 16, Καλύβην.] Κατ᾽ αἰτιατικὴν γράφειν δεῖν ἔγνων Καλύβην ἀντὶ τοῦ Καλύβης· τὸ μὲν γὰρ πρῶτον, ἀναγκαῖον εἰς πλήρωσιν τῆς συντάξεως τοῦ Ἀποκληρώσας, ἤγουν ἀφορίσας εἰς οἴκησιν, ὡς καὶ ἐν τοῖς ἑξῆς (σελ. 39) «Τοῖς δὲ » Ἕλλησι τὴν προτέραν ἀπεκλήρου σκηνήν»· τὸ δὲ Καλύβης συνυπακούεται ῥᾷστα τῷ, Τῆς ἑαυτοῦ. — Στ. 25, Ὀχλησόντων.] Οὕτω κατὰ μέλλοντα ἐν ταῖς ΑΑ. πολλὴ δὲ παρὰ τοῖς Ἀντιγραφεῦσιν ἡ τῶν δύο τούτων μετοχικῶν χρόνων σύγχυσις, ὡς καὶ ἐν τοῖς ἑξῆς γενήσεται δῆλον. διορθωτέος ἡμῖν ἐν παρόδῳ καὶ ὁ Λουκιανὸς (Συμπ. ἢ Λαπίθ. § 47) «Καὶ » καθευδήσαντες ἀπήγοντο, ἐμοῦντες οἱ πολλοὶ ἐν ταῖς ὁδοῖς » μεταγράφουσι, «Καὶ καθευδήσοντες, κ. τ. λ.».

Σελ. 12, στ. 1, Ἀνακινούσης αὐτοῖς.] Ἤγουν Τοῖς περὶ τὴν κόρην· προηγήσατο γὰρ τὸ, Οἱ περὶ τὴν κόρην. κακῶς οὖν ὁ Κ τρέπειν ἐβούλετο τὸ Αὐτοῖς εἰς τὸ, Αὐτῆς, ἢ τὸ, Αὐτῇ. καὶ τοῦτο μὲν δῆλον· ἠπόρηται δὲ περὶ τοῦ, Οἱ περὶ τὴν κόρην, εἰ, ὥς φαμεν ἐπὶ ἀνδρῶν, Οἱ περὶ τὸν Πλάτωνα, περιφραστικῶς, ἀντὶ τοῦ, Ὁ Πλάτων, λέγοιτ᾽ ἂν καταλλήλως καὶ

ἐπὶ θηλειῶν, Οἱ περὶ τὴν κόρην, ἀντὶ τοῦ, Ἡ κόρη. δόξειε γὰρ ἂν καταλληλότερον εἶναι τὸ, Αἱ περὶ τὴν κόρην· οὗ καὶ μαρτύριον ἐστὶ παραθέσθαι ἐκ τῶν Εὐαγγελιστῶν (Ἰωαν. ΙΑ, 19) τὸ, Πρὸς τὰς περὶ Μάρθαν καὶ Μαρίαν, ἀντὶ τοῦ, Πρὸς τὴν Μάρθαν καὶ Μαρίαν, εἰρημένον. πρὸς ὃ ῥητέον, ὅτι Ἀττικωτέρα ἡ Ἡλιοδώρειος χρῆσις, καίπερ ἀκατάλληλος εἶναι δοκοῦσα· χρῶνται γὰρ πολλάκις οἱ Ἀττικοὶ ἀντὶ θηλυκοῦ τῷ ἀρσενικῷ, ὡς ἐπικρατεστέρῳ γένει, οὐ μόνον ἐν δυϊκῷ ἀριθμῷ, Τὼ γυναῖκε, Τὼ χεῖρε, Τὼ πόλεε, κ. τ. λ. λέγοντες, ἀλλὰ καὶ ἐν πληθυντικῷ· αὐτίκα παρὰ Σοφοκλεῖ (Ἀντιγόν. 926), ἡ Ἀντιγόνη, Παθόντες, καὶ Ἡμαρτηκότες, φησὶ, περὶ ἑαυτῆς λέγουσα, ἀντὶ τοῦ Παθοῦσα, καὶ Ἡμαρτηκυῖα. καὶ Εὐριπίδης δὲ τὴν Μήδειαν παράγει λέγουσαν (Μηδ. 315),

. . . . . . . . καὶ γὰρ ἠδικημένοι
Σιγησόμεσθα, κρεισσόνων νικώμενοι,

ἀντὶ τοῦ, Ἠδικημένη σιγήσομαι, κρεισσόνων νικωμένη. καὶ περὶ μὲν τούτων ἅλις· οὐκ ἄκαιρον δὲ, ὠφελείας ἕνεκα τῆς τῶν νέων, τῇ βραχυλογίᾳ τοῦ χωρίου τούτου ἀντιπαραθεῖναι τὴν ἀπεραντολογίαν Ἀχιλλέως τοῦ Τατίου, ὃς ὑπερβαλέσθαι σπεύδων τὸν Ἡλιόδωρον ἐνταῦθα, ἔδειξεν ὅσον διαφέρει σοφιστὴς τοῦ τὰ καίρια λέγειν εἰδότος συγγραφέως. ὁ μὲν γὰρ Ἡλιόδωρος, διὰ βραχέων γνωματεύσας, ὅτι ἡ νὺξ ἀνακινεῖ πλέον τὰ πάθη τῆς ψυχῆς, διὰ τὸ μηδὲν τῶν ἔξωθεν ἀντισπᾶν τὴν ἀκοὴν ἢ τὴν ὄψιν τοῦ πάσχοντος, ἐπὶ τὰ ἑξῆς μεταβαίνει τῆς διηγήσεως· ὁ δὲ Τάτιος (Α, ϛ') οὕτως ἐπεξεργάζεται τὸ χωρίον, καὶ καταλέγει τὰ πάθη, ὡσπερανεὶ δεδιὼς μὴ τοσοῦτον ἠλίθιος ᾖ ὁ ἀκούων, ὥστε καὶ τῶν πᾶσι δήλων ἀσυνέτως ἔχειν· « Τὰ » δὲ τῆς ψυχῆς τραύματα, μὴ κινουμένου τοῦ σώματος, » πολὺ μᾶλλον ὀδυνᾷ. ἐν ἡμέρᾳ γὰρ ὀφθαλμοὶ καὶ ὦτα, πολ» λῆς γεμιζόμενα περιεργίας, ἐπικουφίζει τῆς νόσου τὴν ἀκμὴν, » ἀντιπεριάγοντα τὴν ψυχὴν τῆς εἰς τὸ πονεῖν σχολῆς· ἐὰν » δὲ ἡσυχίᾳ τὸ σῶμα πεδηθῇ, καθ' ἑαυτὴν ἡ ψυχὴ γενομένη » τῷ κακῷ κυμαίνεται. πάντα γὰρ ἐξεγείρεται τέως κοιμώ» μενα· τοῖς πενθοῦσιν, αἱ λῦπαι, τοῖς μεριμνῶσιν, αἱ φρον» τίδες, τοῖς κινδυνεύουσιν, οἱ φόβοι, τοῖς ἐρῶσι, τὸ πῦρ » — Στ. 10, Τὰ παρελθόντα.] Ἐρωτηματικῶς ταῦτα, οὐδὲν

δέον, οἱ πρὸ ἐμοῦ ἐξέδωκαν. — Στ 11, Καταπονλιστῶν ἅλωσις ... σύλληψις.] Ἐξεῖλον τοὺς τρεῖς Καὶ, λείποντας προδήλως καὶ ἐν ταῖς ΑΑ. μακρῷ γὰρ ἐμπαθέστερον ἀπεργάζεται τὸν λόγον, καὶ μᾶλλον ἁρμόζοντα τῇ λύπῃ τῆς Χαρικλείας, τὸ Ἀσύνδετον· οἷον καὶ ἐν τοῖς ἑξῆς (σελ. 56) ταῦτα σχεδὸν ταῦτα ἀσυνδέτως προοίσει. ἄξιον δὲ καὶ τὰ τοῦ Πλουτάρχου (Πλατ. Ζητημ. 10) παραθεῖναι, ἐν οἷς λέγει περὶ τοῦ σχήματος τούτου· « Λόγος δὲ, συνδέσμων ἐξαιρεθέντων, » πολλάκις ἐμπαθεστέραν καὶ κινητικωτέραν ἔχει δύναμιν, » ὡς ὁ τοιοῦτος (Ἰλιάδ. Σ, 536),

» Ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
» Ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖιν·

» καὶ τὰ τοῦ Δημοσθένους (κατὰ Μειδ.) ταυτί· Πολλὰ γὰρ » ἂν ποιήσειεν ὁ τύπτων, ὧν ὁ παθὼν ἔνια οὐδ' ἂν ἀπαγγεῖ- » λαι δύναιτο ἑτέρῳ· τῷ σχήματι, τῷ βλέμματι, τῇ » φωνῇ, ὅταν ὑβρίζων, ὅταν ἐχθρὸς ὑπάρχων, ὅταν κον- » δύλοις, ὅταν ἐπὶ κόῤῥης κ. τ. λ. ». Στ. 16 Θεαγένης.] Πρῶτον ἐνταῦθα μνημονεύει τοῦ Θεαγένους ὀνόματος, πλάσας τοῦτο πρὸς τὸν ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ἔνδοξον Θεαγένην τὸν Θάσιον. οὗτος γὰρ, ὥς φησι Παυσανίας (ς, ιά), καὶ Ὀλυμπίων, καὶ Πυθίων, καὶ Νεμείων, καὶ Ἰσθμίων ἤρατο νίκας παγκρατίου τε ἀναμὶξ καὶ πυγμῆς. « Ἐν Φθίᾳ δὲ τῇ Θεσσαλῶν, » πυγμῆς ἢ παγκρατίου παρῆκε τὴν σπουδὴν, ἐφρόντιζε (γρ. » ἐφρόντισε) δὲ ὅπως καὶ ἐπὶ δρόμῳ ἐμφανὴς ἐν Ἕλλησιν εἴη, καὶ » τοὺς εἰσελθόντας εἰς τὸν δολιχὸν ἐκράτησεν. ἦν δέ οἱ πρὸς » Ἀχιλλέα, ἐμοὶ δοκεῖν, τὸ φιλοτίμημα, ἐν πατρίδι τοῦ ἀρίστου » τῶν καλουμένων ἡρώων, ἀνελέσθαι δρόμου νίκην. τοὺς δὲ σύμ- » παντας στεφάνους τετρακοσίους τε ἔσχε καὶ χιλίους ». καὶ μετ' ὀλίγα, περὶ τῶν μετὰ θάνατον Θεαγένει ψηφισθεισῶν θείων τιμῶν, καὶ περὶ τῆς κατεχούσης δόξης, ὡς καὶ νοσήματα ἰωμένου, « Θάσιοι δὲ ... νομίζουσιν ἅτε θεῷ θύειν. πολλαχοῦ » δὲ καὶ ἑτέρωθι ἔν τε Ἕλλησιν οἶδα καὶ παρὰ βαρβάροις ἀγάλ- » ματα ἱδρυμένα Θεαγένους, καὶ νοσήματά τε αὐτὸν ἰώμε- » νον, καὶ ἔχοντα παρὰ τῶν ἐπιχωρίων τιμάς ». καὶ ταῦτα μὲν ὁ Παυσανίας περὶ τοῦ Θασίου Θεαγένους· ὅτι δὲ πρὸς τοῦτον πέπλασται καὶ ὁ τοῦ Ἡλιοδωρείου δράματος Θεαγένης,

σαφέστερον ἄν τις καταμάθοι, παραθεὶς τὰ τῷ Παυσανίᾳ ῥηθέντα περὶ τῆς ἐπὶ δρόμῳ νίκης Θεαγένους, ἐν Φθίᾳ τῇ Θεσσαλῶν, κατὰ τὴν πρὸς Ἀχιλλέα φιλοτιμίαν τὸν Φθιώτην, οἷς ἐν τοῖς ἑξῆς (σελ. 104 καὶ 137) ἐρεῖ Ἡλιόδωρος περὶ οὗ ἐπλάσατο Ἀχιλλείδου καὶ δρομικοῦ Θεαγένους.

Σελ. 13, σί. 2, Ἀπὸ τῆς ἑσπέρας.] Ἔτρεψα τὴν Ὑπὸ εἰς τὴν Ἀπό. εὑρήσωμεν δὲ προϊόντες καὶ ἐν ἄλλοις οὐκ ὀλίγοις χωρίοις συγχεθείσας ὑπὸ τῶν Ἀντιγραφέων τὰς δύο ταύτας προθέσεις. — Στ. 11 Ἧι λέγω ταύτῃ βοτάνῃ χρησάμενος.] Ἴσως ὀρθότερον μετὰ τοῦ ἄρθρου, Ταύτῃ τῇ βοτάνῃ· ἐρεῖ γὰρ καὶ προϊὼν (σελ. 224), « Οὗ λέγω τούτου παρακηκοὼς τοῦ » ὀνόματος ». εἰσὶ δέ πως τὰ τοιαῦτα καθ' ὑπερβατὸν, ἀντὶ τοῦ, Ταύτῃ τῇ βοτάνῃ, ᾗ λέγω, καὶ, Τούτου τοῦ ὀνόματος, οὗ λέγω· οἷόν ἐστι καὶ τὸ τοῦ Σοφοκλέους (Ἀντιγ. 404),

. . . . . ἰδὼν θάπτουσαν ὃν σὺ τὸν νεκρὸν
Ἀπεῖπας . . . . . . . . . . . . . . .

ἄνευ δὲ ὑπερβατοῦ, εἴρηκεν ὁ Λουκιανὸς (Λουκ. ἢ ὄν.) » Ἴασαί με ταύταις, αἷς λέγεις αὐτὴ, ταῖς πικραῖς καὶ ἡδείαις » θεραπείαις ». ἔστι μὲν οὖν ἀτεχνῶς γελοῖον τὸ παρασημειοῦσθαι τὰ τοιαῦτα· ἀλλὰ, τοῦ Μ περιττὸν εἶναι φήσαντος τὸ, Ἧι λέγω, καὶ ὀρθοτέραν κρίναντος τὴν φερομένην ἐν ταῖς ΚΑ γραφὴν, Ἣ λέγω, ἐσημειωσάμην καὶ μὴ βουλόμενος τὰ πᾶσι πρόδηλα. — Στ. 16. Ἕλλην; ὦ θεοὶ κ. τ. λ.] Τοῦτο καὶ Θεόδωρος ὁ Πρόδρομος, ἐν τοῖς κατὰ Ῥοδάνθην καὶ Δοσικλέα (Α, σελ. 17), μιμήσασθαι προὔθετο, ἀνθυποβαλὼν τῷ μὲν Κνήμωνι Κράτανδρον, Δοσικλέα δὲ τῷ Θεαγένει,

Ἕλλην, θεοὶ σωτῆρες, οὗτος ὁ ξένος,
Ἕλλην, Δοσικλῆς εἶπεν· ἀλλ', ὦ μοι ξένε,
Σὺ τὰς σεαυτοῦ προφθάσας μᾶλλον λέγε·
Λέγων γὰρ ἴσως ἐξεώσεις τὸν πόνον,
Καὶ κουφιεῖς με τῶν μακρῶν στεναγμάτων.

καὶ ὅρα ὅπως τὸ, Ἕλλην, δὶς αὐτὸς Δοσικλῆς λέγει· οὕτω γὰρ ἐξεδέξατο τὸ χωρίον τοῦ Ἡλιοδώρου ὁ Πρόδρομος. ὁ μέντοι Α τὸ μὲν πρῶτον, Ἕλλην, τοῖς περὶ Θεαγένην, θάτερον δὲ, τῷ Κνήμωνι ἀποδέδωκε· καὶ ἴσως ὀρθότερον τοῦτο. — Στ. 22,

Κάνα-

Κἀναμοχλεύεις.] Συνηρημένως, ἐκ τῶν ΚΑ. παρῴδηται δὲ ἐξ Εὐριπίδου (Μηδ. 1317),

Τί τάσδε κινεῖς κἀναμοχλεύεις πύλας;

ὃ δὴ καὶ ἄλλοι πρὸ ἡμῶν ἐσημειώσαντο.

Σελ. 14, σλ. 6, Ἦν μοι πατὴρ Ἀρίστιππος κ. τ. λ.] Ὅλον τοῦτο τὸ μέρος τοῦ δράματος μέχρι τέλους (σελ. 31), ἐντέχνως πάνυ καὶ τοῖς νοήμασι καὶ τῇ λέξει πεποίκιλται· ἔχει γὰρ τὸ σαφὲς, τὸ κυριολεκτικὸν, τὸ γοργὸν, τὸ δραματικὸν, καὶ καθόλου τοιοῦτόν ἐστιν, οἷον ὡς ὁρώμενα τὰ λεγόμενα παριστᾷν. — Στ. 7, Βουλῆς δὲ τῆς ἄνω.] Τὴν τοῦ Ἀρείου πάγου βουλὴν λέγει, ἣν πρῶτος, ἐμοὶ δοκεῖν, Πλούταρχος (ἐν Σόλων.) Ἄνω βουλὴν ὠνόμασε. τούτῳ δ' ἂν τῷ ὀνόματι οὐκ ἀπροσδιονύσως καλέσειέ τις, ἐξελληνίσαι βουλόμενος, καὶ τὴν παρὰ τοῖς Ἄγγλοις *Chambre haute* λεγομένην. — Στ. 11, Ἀρχέκακον.] Τουτέστιν, ἀρχὴν καὶ αἴτιον πάντων ὧν ὑπέστην κακῶν, ὡς μετέφρασε καὶ ὁ Α, *Qui fut le commencement de tous noz maux*. ἐπὶ ταύτης τῆς σημασίας πρῶτος Ὅμηρος ἐχρήσατο τῇ λέξει (Ἰλιάδ. Ε, 62),

Ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας
Ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο.

ὁ δὲ Α, ἑρμηνεύσας *Inveteratæ malitiæ*, ἐπὶ τοῦ πεπαλαιωμένου καὶ οἷον ἀπηρχαιωμένου κακοῦ, ἐξεδέξατο τὴν λέξιν. οὐκ ἀπεικὸς δὲ τὸν Ἡλιόδωρον, Ἀρχέκακον καλέσαι τὴν Δημαινέτην, παραινιξάμενον τὸν ἐν ταῖς Χριστιανῶν βίβλοις Ἀρχέκακον ὄφιν ἢ διάβολον. — Στ. 26, Καὶ ὄνασθαί μου συνεχῶς ηὔξατο.] Τουτέστιν, εἶπε πολλάκις τὴν εὐχὴν ταύτην, Ὀναίμην σου· ἔστι δὲ τοῦτο, τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον, Νὰ σὲ χαρῶ· οὕτω καὶ τὸ ἐν τοῖς ἑξῆς (σελ. 56) « Οὐδὲν μὲν » αὐτὴ τῆς ὥρας ἀπονάμενη » ἰσοδυναμεῖ τῷ ἐν τῇ συνηθείᾳ, « Δὲν ἐχάρη ποσῶς τὴν νεότητά της ».

Σελ. 15, σλ. 14 Προστρέχω.] Κυριώτερον ἅμα καὶ κομψότερον ἂν ἦν ἐνταῦθα τὸ, Προσέχω· ὤκνησα μέντοι διορθῶσαι, διὰ τὸ καὶ ἀλλαχοῦ (σελ. 279 καὶ 289) κεχρῆσθαι τὸν Ἡλιόδωρον, ἐπὶ τῆς σημασίας ταύτης τῇ λέξει. — Στ. 17, Ἀποφαίνουσα.] Οὕτως ἐν ταῖς ΔΑ 27 (ὅπου μέντοι, Ἐρώμενον, οὐκ ὀρθῶς ἀντὶ τοῦ, Ἐρωμένην, ἐμφέρεται). τὸ μὲν γὰρ Ὑπο-

φαίνειν, ὀλίγον καὶ ἀμυδρῶς φαίνειν, ἐστὶ, οἷον, ὅταν λέγῃ, Ὑποφαινούσης ἡμέρας (σελ. 128 καὶ 364), περὶ τῆς ἤδη ἀρχομένης, καὶ ἔτι κατὰ τὴν ἕω οὔσης ἡμέρας· τὸ δὲ Ἀποφαίνειν, τὸ ἐναντίον σημαίνει, ἢ δῆλον καὶ ἐκ τοῦ παρατεθέντος, Λαμπρῶς, ὅπερ ἀντίφασιν ἂν λαμπρὰν ἀπεργάσαιτο, παρακείμενον τῷ Ὑποφαίνουσα. — Στ. 18, Παναθηναίων τῶν μεγάλων.] Ἦσαν γὰρ καὶ μικρὰ Παναθήναια καθ' ἕκαστον ἐνιαυτὸν ἀγόμενα· τὰ δὲ μεγάλα, περὶ ὧν ἐνταῦθα ὁ λόγος, διὰ πενταετηρίδος ἤγετο, ἐν οἷς καὶ ὁ πέπλος ἀνήγετο τῇ Ἀθηνᾷ. ἦν δὲ οὗτος ἅρμενον νεὼς, τὴν γιγαντομαχίαν ἔχον ἐνυφασμένην ὑπὸ παρθένων Ἀττικῶν, ἃς καὶ Ἐργαστίνας διὰ τοῦτο ἐκάλουν. ἡ δὲ ναῦς ἐπέμπετο διὰ τοῦ Κεραμεικοῦ, οὐχ ὑποζυγίων ἀγόντων, ἀλλ' ὑπογείοις μηχαναῖς ὑπολισθαίνουσα, ὥς φησι Φιλόστρατος. — Στ. 21, Ἐφηβεύων.] Τουτέστι, γεγραμμένος εἰς τοὺς Ἐφήβους, ὡς δῆλον ἐκ τοῦ, Εἰς Ἐφήβους ἐγγράψας (σελ. 20). κατελέγοντο δὲ Ἀθήνησιν ἐν τοῖς Ἐφήβοις ὀκτωκαίδεκα ἐτῶν γιγνόμενοι· καὶ ἔμενον ἐν αὐτοῖς ἔτη δύο, ἔπειτα εἰς τὸ Ληξιαρχικὸν καλούμενον γραμματεῖον ἐνεγράφοντο. — Στ. 23, Χλαμύδι.] Πρώτη Σαπφὼ, ὥς φησιν ὁ Πολυδεύκης, ἐχρήσατο τῷ ὀνόματι τῆς Χλαμύδος. ἦν δὲ περιβόλαιον, ὃ ἐφόρουν ἱππαζόμενοι οἱ Ἔφηβοι, ὡς ἐν τοῖς ἑξῆς (σελ. 110 καὶ 111) δηλώσει, παραπλήσιον τῷ παρὰ τοῖς Ἰταλοῖς λεγομένῳ *Tabarro*, παρὰ δὲ τοῖς Γάλλοις *Manteau*, ἀπὸ τῆς Περσικῆς λέξεως Μανδύας, ἣν ἐστιν εὑρεῖν καὶ ἐν τῷ παρακμάσαντι Ἑλληνισμῷ. παρὰ δὲ τὰς ἄλλας ἐπίσημοι μάλιστα ἦσαν αἱ Θετταλικαὶ χλαμύδες, ἃς καὶ Θετταλικὰ πτερὰ ὠνόμαζον. ὅθεν καὶ Ἐντεθετταλίσθαι ἐρρέθη τὸ Χλαμυδοφορεῖν.

Σελ. 16, στ. 3, Ὁ Θησεὺς ὁ ἐμός.] Θησεὺς, βασιλεὺς Ἀθηναίων, ἐκ μιᾶς τῶν Ἀμαζόνων Ἱππολύτης ἐγέννησεν Ἱππόλυτον· ταύτης δὲ μεταλλαξάσης τὸν βίον, ἐπεισάγεται Κρῆσσαν γυναῖκα τὴν Μίνωος τοῦ Κρητῶν βασιλέως θυγατέρα Φαίδραν, μεθ' ἧς μικρὸν ὕστερον, Πάλλαντα ἕνα τῶν συγγενῶν φονεύσας, εἰς Τροιζῆνα φεύγει. ἐνταῦθα τὸν Ἱππόλυτον, τρεφόμενον παρὰ Πιτθεῖ, θεασαμένη ἡ Φαίδρα, εἰς ἔρωτα ὤλισθε τοῦ νεανίσκου. καὶ ὁ ἔρως οὗτος τραγῳδίας ἐνέδωκεν ἀφορμὴν

Εὐριπίδῃ τῆς ἐπιγραφομένης, Ἱππόλυτος. ἐπεὶ τοίνυν ἡ Ἡλιοδώρειος Δημαινέτη ἑαυτὴν μὲν τῇ Φαίδρᾳ, Κνήμωνα δὲ Ἱππολύτῳ ἀπεικάζει, εἰκὸς καὶ τὸν Ἀρίστιππον τὸν αὐτῆς μὲν ἄνδρα, Κνήμωνος δὲ πατέρα, Θησεῖ προσεικᾶσθαι· ἡ δὲ τῷ αὐτῷ Κνήμωνι, καὶ τὸ Ἱππολύτου καὶ τὸ Θησέως φιλοφρονουμένη προστίθησιν ὄνομα. μήποτε οὖν ἀντὶ τοῦ, Ὁ Θησεὺς ὁ ἐμὸς, ἐγέγραπτο πάλαι, Ὁ Θησέως υἱός· αὕτη γὰρ ἡ γραφὴ καὶ τοῖς ἱστορουμένοις συνᾴδει μᾶλλον, καὶ αὐτῷ Εὐριπίδῃ, ἐν οἷς παράγει Φαίδραν λέγουσαν πρὸς τὴν ἑαυτῆς τροφὸν (Ἱππολ. 520),

Μή μοί τι ΘΗΣΕΏΣ τῶνδε μηνύσῃς ΤΌΚΩι.

Στ. 19, Νεανίας.] Τουτέστιν ὁ πρὸς μὲν ἄνδρας ἄνανδρος, πρὸς ἐμὲ δὲ τὴν γυναῖκα νεανίας, ἤγουν ἀνδρεῖος. τοῦτο γὰρ βούλεται τὸ Νεανίας ἐνταῦθα, ἐπὶ τῆς ἡλικίας ἄλλως ταττόμενον· οἷον καὶ Δημοσθένης (Περὶ στεφ.), « Ἐν τίσιν οὖν σὺ νεανίας καὶ πη- » νίκα λαμπρὸς; » εἴρηκε· πρὸς δὲ καὶ Ἀριστοφάνης (Σφηξ. 1332.),

Ἦ μὴν σὺ δώσεις αὔριον τούτων δίκην
Ἡμῖν ἅπασι, κεἰ σφόδρ' εἶ νεανίας.

καὶ ἡ συνήθεια δὲ τὸ Παλληκάριον ὑποκορίσασα τῷ σχηματισμῷ ἀπὸ τοῦ Πάλληξ (ὅθεν καὶ ἡ Παλλακὴ, ἤγουν ἡ συνευναζομένη τῷ δεσπότῃ νέα θεραπαινὶς), οὐ μόνον ἐπὶ τῆς ἡλικίας, ἀλλὰ καὶ ἐπὶ τῆς ψυχικῆς ἀνδρείας τάττει πολλάκις.

Σελ. 17, στ. 4, Ὅσα περ σέ τε κἀμὲ περιύβρισεν.] Ἐν ταῖς ΑΑ γράφεται, Ὅσα σέ τε κἀμὲ περιύβρισεν, δίχα τῆς παρὰ τοῖς ἄλλοις, Περὶ, προθέσεως, ἣν ὁ Ξύλανδρος εἰς τὴν, Εἰς, μετέβαλεν, ἀναγινώσκων, Ὅσα εἰς σέ τε κ. τ. λ. ἡμεῖς δὲ εἰς τὸν Περ σύνδεσμον μετετρέψαμεν, ὃς φιλεῖ μάλιστα ἐγκλιτικῶς συνάπτεσθαι τοῖς ποσότητα ἢ ποιότητα σημαίνουσιν ὀνόμασι, καὶ τοῖς ὁμοιωματικοῖς μορίοις, οἷον Ὅσαπερ, Οἷάπερ, Καθάπερ, Ὥσπερ κ. τ. λ. ἐξῆν δ' ἂν καὶ, Ὅσα περ εἰς σέ κ.τ.λ. ἀναγινώσκειν, εἰ μὴ ἐκώλυεν ἡ ἐν συνθέσει πρόθεσις τοῦ Περιύβρισεν· Περιυβρίζειν γάρ τινα, οἱ χαριέστεροι φασὶ, Ὑβρίζειν δὲ, καὶ Τινὰ, καὶ Εἴς τινα. περὶ δὲ τῆς προθετικῆς, ἢ δίχα προθέσεως συντάξεως τοῦ ῥήματος, ὡς Ἀττικισμοῦ κανόνα παραδίδωσιν ὁ Λουκιανὸς (Σολοικ. § 10) τὸν ἑξῆς· « Τὸ μὲν Σὲ ὑβρίζειν, τὰ

» σῶμά ἐστι τὸ σὸν, ἤτοι πληγαῖς, ἢ δεσμοῖς, ἢ καὶ ἄλλῳ » τρόπῳ· τὸ δὲ, Εἰς σὲ, ὅταν εἴς τι τῶν σῶν γίγνηται ἡ ὕβρις· » καὶ γὰρ ὅστις Γυναῖκα ὑβρίζει τὴν σὴν, Εἰς σὲ ὑβρίζει, καὶ » ὅστις παῖδα, καὶ φίλον, καὶ ὅστις γε οἰκέτην ». ὅτι δὲ ὁ κανὼν οὗτος πολλοῦ γε καὶ δεῖ ἄνευ ἐξαιρέσεως εἶναι, δηλοῦσι πολλῶν Ἀττικῶν συγγραφέων ἐναντίαι χρήσεις, ἃς διὰ μακρῶν ἐσημειώσαντο οἱ περὶ ταῦτα σπουδάζοντες. — Στ. 5, Λὰξ δὲ κατὰ τῆς γαστρὸς ἐναλλόμενος. ] Οὕτως ἅπαντες, οἷς κατηκολούθησα κἀγώ· ἄμεινον δὲ γράφειν, Ἐναλάμενος, ὡς καὶ ἐν ἄλλοις τοῦ Ἡλιοδώρου χωρίοις ἔγραψα, μεταβαλὼν εἰς τὸν ἀόριστον τὸν ἐνεστῶτα· οὐδὲ γὰρ οἷόν τε καταλέξαι τὰς συγχύσεις τῶν δύο τούτων χρόνων, ἐν πολλοῖς μὲν καὶ ἄλλοις ἁμαρτηθείσας τοῖς Ἀντιγραφεῦσιν, ἐν δὲ δὴ καὶ τῷ ῥήματι τούτῳ. αὐτίκα ἐν τῇδε τῇ ῥήσει τοῦ Λουκιανοῦ (Περεγρ. τελευτ. § 9) « Μάλα πολλὰς πληγὰς ἔλαβε, καὶ τέλος κατὰ τοῦ τέγους » ἉΛΟΜΕΝΟΣ διέφυγε », γραπτέον οὐχ Ἁλλόμενος, ὡς ἔδοξέ τισι τῶν Κριτικῶν, ὑπολαβοῦσι τῇ τοῦ ἑτέρου λ παραλείψει τὴν γραφὴν ἡμαρτῆσθαι, ἀλλὰ, ἉΛΑΜΕΝΟΣ. καὶ ἐν οἷς προϊὼν λέγει (Αὐτ. § 42) « Ἐπὶ δόξῃ δέ... ἅπαντα εἰπόντος καὶ πράξαντος, ὡς καὶ εἰς πῦρ ἉΛΕΣΘΑΙ ». γραπτέον καὶ πάλιν, ἉΛΑΣΘΑΙ. τοιοῦτον δὲ καὶ τὸ τοῦ Πλουτάρχου (Σόλων. § 9) « Εἷς ἀνὴρ ἔνοπλος ἘΞΑΛΛΟΜΕΝΟΣ, μετὰ βοῆς ἔθει » πρὸς ἄκρον τὸ Σκιράδιον », δέον γράφειν ἘΞΑΛΑΜΕΝΟΣ. ἐπανιτέον δὲ ἐπὶ τὸν Ἡλιόδωρον, καὶ σημειωτέον τὸ, Λὰξ ἐνάλασθαι, συνώνυμον ὂν τῷ παρ' Ὁμήρῳ (Ὀδυσσ. Ρ, 233), Λὰξ ἐνθορεῖν, καὶ τῷ συνηθεστέρῳ, Λὰξ πατῆσαι, ὅπερ Σοφοκλῆς καὶ Λάγδην πατῆσαι (παρὰ Στοβ. ΜΓ) εἶπεν ἐν τούτοις,

Οὐ γάρ ποτ' ἂν γένοιτ' ἂν ἀσφαλὴς πόλις,
Ἐν ᾗ τὰ μὲν δίκαια καὶ τὰ σώφρονα
Λάγδην πατεῖται. . . . . . . . . . . . .

εὕρηται δὲ καὶ διὰ μιᾶς λέξεως Λακπατῆσαι (Ἡσύχ. Β, σελ. 418), ὅθεν καὶ ὄνομα ἐσχημάτισεν ἡ τραγῳδία τὸ Λακπάτητος, ἢ, ὡς ἕτεροι γράφουσι, Λαξπάτητος (Σοφοκλ. Ἀντιγ. 1275),

Οἴμοι, Λαξπάτητον ἀντρέπων χαράν.

καὶ ἔοικεν ἐντεῦθεν, μεταθέσει καὶ τροπῇ βαρβάρῳ τῶν στοι-

χείων, ἡ χυδαία συνήθεια παραλαβεῖν τὸ Τζαλαπατῶ, οἱονεὶ, Καλπατῶ, ἢ Ξαλπατῶ. ὅτι δὲ τὸ κ καὶ τὸ ξ ἔτρεψεν οὐχ ἅπαξ ἡ αὐτὴ συνήθεια εἰς τὸν βάρβαρον συλλαβισμὸν τοῦ τζ, δηλοῖ καὶ ἡ Τζίχλα ἀπὸ τοῦ Κίχλη, καὶ τὸ Τζώφλοιον, ὃ σημαίνει τὸν Ἔξω φλοιόν. — Στ. 9, Μηδὲν ἂν ψεύσασθαι.] Ἔλαβον ἐκ τῶν ΑΑ.—Στ. 11 Πύξ τε ἔπαιε.] Πὺξ παίειν ἐστὶ, τὸ ἐν τῇ συνηθείᾳ Γρονθοκοπεῖν λεγόμενον, ὅπερ οἱ Ἄγγλοι, μικροῦ καὶ τὴν λέξιν φυλάξαντες τὴν Ἑλληνικὴν, *Box* ὠνόμασαν. ἔστι δὲ ὁ Γρόνθος, ἢ Γρόθος, τὸ ἔξω τῆς συγκεκλεισμένης χειρὸς, ὃ οἱ Παλαιοὶ Πυγμὴν ἔλεγον. καὶ ὁ μὲν παρὰ τοῖς Παλαιοῖς Γρόνθων, ἤγουν ἡ ἀναφύσησις, ἣν πρώτην μανθάνουσιν αὐληταὶ καὶ κιθαρισταὶ, ὡς ἐξηγεῖται Ἡσύχιος, οὐδὲν ἔχειν ἔοικε κοινὸν πρὸς τὸν τῶν νεωτέρων Γρόνθον· τὸ δὲ Γρονθονεύεται, ὅπερ ἐστὶ, θυμοῦται, κατὰ τὸν αὐτὸν Ἡσύχιον, ὑπονοεῖν παρέχει, μήποτε ἐπὶ τοῦ δι᾽ ὀργὴν ἐπαπειλοῦντος καὶ ἀνατεινομένου τὸν γρόνθον ἡ λέξις τὸ ἀρχαῖον ἐτέτακτο.—Στ. 19, Ἐπὶ τὴν Δημαινέτην.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, ὀρθώτερον ἴσως, Πρὸς τὴν Δημαινέτην. — Στ. 22, Παιδισκάριον.] Κυριολεκτικῶς· Παιδισκάριον γὰρ ἐκάλουν τὴν θηλείαν θεράπαιναν, Παιδίον δὲ, τὸν ἄρρενα οἰκέτην. οὕτως ἐκδεκτέον τὸ παρὰ Στράβωνι (Β, σελ. 99), « Ἐμβιβάσασθαί τε μουσικὰ παιδισκάρια καὶ ἰατροὺς » καὶ ἄλλους τεχνίτας κ. τ. λ.». δηλοῦται δὲ μάλιστα ἡ τοιαύτη τῆς λέξεως ἐκδοχὴ ἐξ ὧν Διογένης ὁ Λαέρτιος (Ζήν. βίῳ) εἴρηκε περὶ Ζήνωνος τοῦ φιλοσόφου, ὅτι « Παιδαρίοις ἐχρῆτο » σπανίως, ἅπαξ (ἴσ. ἅπαξ δ᾽) » ἢ δίς που παιδισκαρίῳ τινὶ, » ἵνα μὴ δοκοίη μισογύνης εἶναι ».

Σελ. 18, στ. 6, Ἐπανῆκε.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ.— Στ. 8, Πολλά.] Ἐξήλειψα τὸ ἄρθρον· τὸ γὰρ, Τὰ πολλὰ, ταὐτόν πως βούλεται τῷ, Ὡς ἐπὶ τὸ πλεῖστον· τοῦτο δὲ ἀντιφάσκει προφανῶς τῷ προηγησαμένῳ, Ποτέ.— Στ. 11, Εἶναί σοι προσομιλοῦσαν.] Προσέλαβον τὴν ἀντωνυμίαν ἐκ τῶν ΚΑ. — Στ. 12, Ἀξίαν εἴποις τιμωρίας.] Ἐξεῖλον τὸ Εἶναι, ὅπερ οὐδὲ ἐν ταῖς ΚΑ οὔτε ἐν ταῖς ΑΑ ἐμφέρεται. —Στ. 18, Βουληθείης.] Οὕτως αἱ ΚΑ. τὸ δὲ, Βουληθῇς, μετὰ τοῦ εὐκτικοῦ Εἰ, σόλοικον ἀναμφιλέκτως.—Στ. 23, Ἀλλ᾽ ὅπως ἀνὴρ ἔσῃ, καταπλαγεὶς ... λαβών.] Τουτέστιν, Ἀλλὰ μέμνησο, ἢ ὅρα, ὅπως ἔσῃ ἀνὴρ,

ἤγουν, ὅπως ἀνδρείως προσενεχθήσῃ, ὅταν αὐτὸν καταλάβῃς. διὸ καὶ ἔτρεψα τὸ Κατάλαβε εἰς τὸ Καταλαβὼν τῶν ΚΑ καὶ ΑΑ. παρῳδήθη δὲ ἡ ῥῆσις ἐξ Εὐριπίδου (Κύκλωπ. 590),

Παρευτρέπισται δ' οὐδὲν ἄλλο πλὴν πυροῦν
Κύκλωπος ὄψιν. ἀλλ' ὅπως ἀνὴρ ἔσῃ.

Σελ. 19, σ̓τ. 9, Τῆς Θίσβης ἡγουμένης καὶ δᾷδας προσαπτούσης.] Παρῴδηται ἐκ τῆς Ὁμήρου Ὀδυσσείας (Ψ, 293),

Τοῖσι δ' Εὐρυνόμη θαλαμηπόλος ἡγεμόνευεν
Ἐρχομένοισι λέχος δὲ, δάος μετὰ χερσὶν ἔχουσα.

Στ. 12, Ἔνδοθεν.] Οὕτως αἱ ΚΑ. — Στ. 13, Ἐῤῥαγεὶς.] Τουτέστι, μετὰ σφοδρᾶς ὁρμῆς ἐμπεσὼν, ἀπὸ τοῦ Ῥάσσω ῥήματος καὶ τῆς Ἐν προθέσεως. ἡμάρτηται οὖν τὸ Ἐκραγεὶς τῶν ΑΑ. Στ. 16, Διαχειρισόμενος.] Ὀρθότερον γέγραπται ἐν ταῖς ΔΑ 693, Διαχρησόμενος. Διαχρῆσθαι γάρ ἐστι τὸ ἀναιρεῖν ἢ φονεύειν, ἐφ' ἧς σημασίας καὶ προϊὼν (σελ. 78 καὶ 327) χρήσεται τῇ λέξει· Διαχειρίζεσθαι δὲ, τὸ διοικεῖν. ἀλλ' ὅμως οἱ παρακμάσαντος τοῦ Ἑλληνισμοῦ συγγράψαντες, καὶ μάλιστα οἱ τὰ Χριστιανῶν ἑλόμενοι δόγματα, καὶ τὸ Διαχειρίζεσθαι ἐπὶ τοῦ Διαχρῆσθαι πολλάκις ἔταξαν, οἷον τὸ παρὰ τῷ Λουκᾷ ἐν ταῖς Πράξεσιν (Ε, λ'.), « Ὃν ὑμεῖς διεχειρίσασθε κρε- » μάσαντες ». τὸ δὲ ὑπὸ τοῦ Εὐσταθίου (Ὀδυσσ. Ω, 229) εἰρημένον, « Ὅτι χειρὸς πολλῶν ὄντων παραγώγων, ἐκεῖθέν » ἐστι καὶ τὸ ΔΙΑΧΕΙΡΊΣΑΣΘΑΙ, ἀφ' οὗ καινότερον κατὰ » συγκοπὴν καὶ τὸ ΔΙΑΧΡΉΣΑΣΘΑΙ », μιγνύντος ἐστὶ τὰ ἄμικτα, καὶ κεραννύντος ἃ μὴ πέφυκεν εἰς ταυτὸ συνιέναι. — Στ. 20, Αἵ σε ἀνέθρεψαν.] Ἐξεῖλον τὸν κακῶς εἰσφρήσαντα, Τε. Στ. 21, Τιμωρητέοι.] Οὕτως αἱ ΑΑ· δῆλον δὲ καὶ ἐκ τοῦ προηγησαμένου κατὰ πληθυντικὸν ἀριθμὸν Ὑβρίσαμεν. — Στ. 25, Αὖος, ἀπόπληκτος εἱστήκειν τὴν Θίσβην περιέβλεπον.] Τὸ μὲν Εἱστήκειν, περὶ οὗ ἀναγνωστέον τὰ τῷ Ἐτυμολόγῳ (σελ. 306) εἰρημένα, ἐκ τῶν ΚΑ εἴληπται· τὸ δὲ Περιέβλεπον ἐξ αὐτῶν τε τούτων καὶ τῶν ΑΑ. τὸ δὲ, Αὖος, ἐστὶ συνώνυμον τοῦ Ξηρὸς, ᾧ καὶ συνάπτεται πολλάκις ἐκ παραλλήλου, οἷόν ἐστι τὸ « Αὔην καὶ » ξηρὰν, ὃ ἐσημειώσατο Τίμαιος ἐν τῷ Περὶ τῶν παρὰ Πλάτωνι λέξεων. καὶ καθάπερ παρὰ τὸ Ξηρὸς ἐσχημάτισται ῥῆμα τὸ Ξηραίνω, ὁμοίως καὶ παρὰ τὸ Αὖος, τὸ Αὐαίνω, ἃ δὴ καὶ

αὐτὰ ἐκ παραλλήλου εὕρηται τεθειμένα, οἷον τὸ παρ' Ἱπποκράτει (περὶ Ἀρχ. § XI) «Ξηραινόμενον καὶ ἐξαυαινόμενον». ἐπὶ πλέον μέντοι ἔοικεν εἶναι τὸ Αὖος τοῦ Ξηρός· παρὰ γὰρ τὸ Αὔω, ὃ δηλοῖ τὸ Καίω, παραχθὲν, σημαίνει κυρίως τὸν Κεκαυμένον, καὶ μεταφορικῶς τὸν Ξηρὸν, ἐπεὶ καὶ τοιαῦτα τὰ κεκαυμένα. καὶ αὐτὸ δὲ τὸ Κάω ἢ Καύω, οὐδὲν ἐστιν ἄλλο πλὴν τὸ Αὔω, προσλαβὸν κατὰ τὴν ἀρχὴν τὸ κ, ὡς δηλοῖ καὶ τὰ διττογραφούμενα Αὐαλέος καὶ Καυαλέος, ὁ ξηρὸς, Αὐλωνία καὶ Καυλωνία, πόλις οὕτω καλουμένη, Αὔχημα καὶ Καύχημα, Αὐλὴ καὶ Λατινιστὶ *Caula*, ἡ ἔπαυλις, Ἴχλα καὶ Κίχλα. καὶ τὸ Κτυπέω δὲ ἀπὸ τοῦ Τυπέω καὶ τὸ Κνέφας ἀπὸ τοῦ Νέφος, ταὐτὸ τοῦτο μαρτυροῦσιν. ἐδήλωσε δὲ τροπικῶς Ἡλιόδωρος διὰ τοῦ Αὖος τὴν ὑπερβάλλουσαν ἔκπληξιν τοῦ Κνήμωνος· ἣν δὴ τροπὴν καὶ ἡ κοινὴ συνήθεια παραλαβοῦσα λέγει «Ἔμεινα ξερὸς, ὡς τὸ ἤκουσα». ἡ αὐτὴ δὲ συνήθεια καὶ «Ἐξεράνθην ἀπὸ τὸν γέλωτα» φησὶν, ὅπερ οἱ Ἀρχαῖοι, Ἀφαυάνθην γελῶν (Ἀριστοφ. Βατρ. 1089), ἔλεγον. ἐκ δὲ τοῦ Ἀφαυάνθην τούτου δῆλον ὅτι καὶ ἐδάσυνον οἱ Ἀττικοὶ τὸ Αὖος, ὥς φησιν Εὐστάθιος (Ὀδυσσ. Ε, 490).

Σελ. 20, στ. 10, Ὡς ἐπιβουλεύσει.] Τὸ Ὡς ἐπιβουλεύσειεν, ἢ, Ἵνα ἐπιβουλεύσῃ, τελικῶς, ἢ, Ὅτι ἐπεβούλευσεν, ἀφηγηματικῶς κατὰ παρῳχημένον χρόνον, ἔχει φράζεσθαι. τοῦ πρώτου παράδειγμα ἔστω τὸ τοῦ Λουκιανοῦ (Λαπίθ. κζ'.), «Ἦν » διδῶς αὐτῷ μοῖράν τινα . . . ὡς ἐμοὶ διακομίσειε»· θατέρου δὲ, τὸ τοῦ Ἡλιοδώρου (σελ. 226), «Καὶ ὡς ἀποτυγ» χάνουσα ἐπιβουλεύσειε». τούτων δ' οὐδέτερον τῷ προκειμένῳ χωρίῳ προσήκει. τοιγαροῦν γραπτέον, Ὡς ἐπιβουλεύσει, ἢ γοῦν, Ὡς ἐπιβουλεύσοι, ἵν' ᾖ ὁ νοῦς, Ὅτι μέλλει ἐπιβουλεύσειν, καταλλήλως οἷς προϊὼν (σελ. 205) ἐρεῖ, «Ἔφραζον ὡς . . . » ἐπιβαίνειν δεήσει τῆς ὁλκάδος».—Στ. 16, Τῆς κεφαλῆς κόνιν καταχεάμενος.] Ὀρθῶς κατὰ μέσην διάθεσιν τὸ Καταχεάμενος, ὅπερ ἴσον δύναται τῷ, Τῆς ἑαυτοῦ κεφαλῆς καταχέας. ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (σελ. 168) «Κόνιν τοῦ τε προσώπου καὶ τῆς κεφα» λῆς καταχεάμενος», ἐξ Ὁμήρου (Ἰλιάδ. Σ, 23) λαβὼν,

Ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
Χεύατο κακκεφαλῆς, χαρίεν δ' ᾔσχυνε πρόσωπον.

ἐστι δὲ τὸ Κακκεφαλῆς ταὐτὸν τῷ Κατὰ κεφαλῆς, ὅθεν ἡ συνήθεια παραλαβοῦσα ἐπίῤῥημα σύνθετον ἐσχημάτισε τὸ Κατακέφαλα. τὸ δὲ τοῦ Ἀφροδισιέως Χαρίτωνος (Γ, ί.) «Κόνιν τῆς » κεφαλῆς καταχέασα», ἐνεργητικῶς εἰρημένον, ἀπολέλειπται τῆς Ἑλληνικῆς ἀκριβείας. — Στ. 21, Τὰ πρῶτα τῶν γραμμάτων.] Τουτέστι τὸ ἀναγινώσκειν καὶ τὸ γράφειν, ἅπερ οἱ διδάσκοντες ἐκαλοῦντο Γραμματισταὶ, ἐνίοτε δὲ καὶ Γραμματεῖς· ὅθεν διορθῶ τὸν Ἡσύχιον, ἐν οἷς φησι, « Γραμματεὺς, ὁ ἀνα- » γνώστης, ΓΡΑ'ΜΜΑΤΑ 'ΕΙΔΩ'Σ ΚΑΛΩ͂Σ », μεταγράφων, ΓΡΑΜΜΑΤΟΔΙΔΑ'ΣΚΑΛΟΣ. οἱ δὲ Ἀττικοὶ παῖδες μετὰ τῶν γραμμάτων καὶ τὸ κολυμβᾶν ἐδιδάσκοντο, διὰ τὸ θαλασσοκρατεῖν τοὺς Ἀθηναίους· ὅθεν καὶ ἡ παροιμία « Μήτε νεῖν, μήτε » γράμματα ἐπίστασθαι», ἐπὶ τῶν παντάπασιν ἀμαθῶν λεγομένη, ὥς φησιν ὁ Σουΐδας. σημείωσαι δὲ, ὅτι Ἐλευθέριον τροφὴν ὀνομάζει τὴν τῶν γραμμάτων ἐπιστήμην, εἰκότως· ὁ γὰρ ἀγνοῶν ταῦτα ἀγνοεῖ δήπου καὶ τοὺς γεγραμμένους νόμους· ὁ δὲ μὴ γινώσκων αὐτοὺς, οὐκ ἔτι ὑπὸ τῶν νόμων, ὡς ἐλεύθερος, ἀλλ' ὑπὸ τῶν τοὺς νόμους ἀναγινώσκειν καὶ ἐξηγεῖσθαι δυναμένων ὡς ἀνδράποδον ἄγεται. — Στ. 22, Εἰς τοὺς φράτορας καὶ γεννήτας.] Οὕτως αἱ ΑΑ· ἐν δὲ ταῖς ΚΑ (αἷς κατηκολούθησε καὶ ὁ Μ), Γεννητὰς, ὀξυτόνως. ἐμεμέριστο τὸ πάλαι ἡ Ἀττικὴ εἰς δήμους ἑκατὸν πρὸς τοῖς ἑβδομήκοντα καὶ τέσσαρσι. οὗτοι δὲ οἱ δῆμοι συνάμα πάντες διῄρηντο εἰς φυλὰς τέσσαρας (ἡ γὰρ εἰς δέκα διαίρεσις νεωτέρα ἐστί)· ἑκάστη πάλιν φυλὴ εἰς Τριττύας τρεῖς, αἳ καὶ Φρατρίαι ἐκαλοῦντο, ὡς ἂν εἴποι τις, τῇ συνήθει χρώμενος διαλέκτῳ, Ἀδελφοσύναι· ἑκάστη Φρατρία εἰς τριάκοντα Γένη, καὶ Γένος ἕκαστον εἰς ἄνδρας τριάκοντα. ἐκαλοῦντο τοίνυν σχετικῶς πρὸς ἀλλήλους, Δημόται μὲν, οἱ τοῦ αὐτοῦ Δήμου μετέχοντες πολῖται, Φυλέται δὲ, οἱ τῆς αὐτῆς Φυλῆς, Φράτορες δὲ, ἤγουν Συναδελφοὶ, ὡς ἂν ἡ συνήθεια φαίη, οἱ τῆς αὐτῆς Φρατρίας, Γεννῆται δὲ, οἱ τοῦ αὐτοῦ Γένους· ἔνθα σημειωτέον ὅτι ἐκ τοῦ Φράτορες, τῆς Λατινίδος φωνῆς λαβούσης τὸ *Fratres*, μετεποίησαν ἔπειτα τὴν λέξιν οἱ μὲν Ἰταλοὶ εἰς τὸ *Fratelli*, οἱ δὲ Γάλλοι εἰς τὸ *Frères*. « Ἐγγράφειν οὖν εἰς τοὺς Φράτορας » ἢ « Ἐγγράφειν εἰς τὸ » φρατορικὸν ἢ κοινὸν γραμματεῖον » ἐλέγοντο οἱ γονεῖς τοὺς

ἰδίους

ἰδίους παῖδας, ὁπότε τρία, ἢ τέτταρα (ἢ ὡς ἄλλοι φασὶ καὶ πλείω) ἔτη γεγονότας εἰσῆγον εἰς τὴν Φρατρίαν. εἰκὸς δὲ κατὰ τὸν αὐτόν που χρόνον καὶ τὴν εἰς τοὺς Γεννήτας ἐγγραφὴν γίγνεσθαι. καὶ τέως μὲν ἐλέγοντο Παῖδες· ὀκτωκαίδεκα δὲ γεγονότες ἔτη ἐκαλοῦντο Ἔφηβοι, ὡς καὶ ἐν τοῖς πρόσθεν (σελ. 18) εἰρήκαμεν· ἐλέγετο δὲ καὶ τοῦτο «Εἰς τοὺς Ἐφή-» βους ἐγγράφεσθαι.»—Στ. 24, Κατὰ τοὺς νόμους.] Οὕτω διώρθωκα τὸ, Καὶ τοῖς νόμοις· ὅτι δὲ γραφικῶς ἡμάρτηται τοῦτο, δῆλον μὲν καὶ ἐκ τῆς χρήσεως, δῆλον δὲ καὶ ἐκ τῶν Λ καὶ Α, ὧν ὁ μὲν, *Civem nostrum etiam legibus* ἐξέφρασεν, οὐ πάνυ τι ἀκριβῶς ἐξηγησάμενος τὸ χωρίον, ὁ δὲ, ἐξαπορηθεὶς εἰς τὸ παραφράσαι κατέφυγε, *Pour user de voz privileges et vivre soubz voz loix.*

Σελ. 21, στ. 1. Ὕβρισε.] Οὕτω διορθῶσαι τὸ χωρίον οὐκ ὤκνησα, ἵνα ᾖ τὸ ἑξῆς, Πρῶτα μὲν ὕβρισεν ἐμὲ, καὶ τὴν ἐμοὶ συνοικοῦσαν ᾐκίσατο πληγαῖς· τέλος δὲ καὶ ξιφήρης κ. τ. λ. εἰ δὲ σώζοις τὴν ἀρχαίαν γραφὴν, Ὕβρεσι, ἔσται ἀσυνάρτητα τὰ τοῦ λόγου, ὥσπερ εἰ ἔλεγεν, Ἠκίσατο ἐμὲ μὲν ὕβρεσι, τὴν δὲ ἐμοὶ συνοικοῦσαν πληγαῖς· ὅπερ ἔψευσται μὲν καθ᾽ ἱστορίαν (Δημαινέτη γὰρ ἦν ἡ αἰκισθεῖσα, ὡς αὐτὴ ἐπλάσατο περὶ ἑαυτῆς λέγουσα, «Λὰξ δὲ κατὰ τῆς γαστρὸς ἐναλάμενος κ. τ. λ.»), ἡμάρτηται δὲ καὶ τῇ γραμματικῇ χρήσει, καθ᾽ ἣν Αἰκίαι καὶ Ὕβρεις διαφέρουσιν. Αἰκίαι μὲν γάρ εἰσιν αἱ ἐφ᾽ ὕβρει καὶ ἀτιμίᾳ ἐμφορούμεναι πληγαί· Ὕβρεις δὲ, ἁπλῶς αἱ ἀτιμίαι, αἵπερ οὐ πληγαῖς μόνον, ἀλλὰ καὶ πράξεσιν ἀτιμαστικαῖς ἄλλαις, καὶ λόγοις, πολλάκις δὲ καὶ νεύμασι μόνοις γίγνονται. ὁ μὲν οὖν Ἀρίστιππος ὑβρίσθη, ὑπὸ τοῦ υἱοῦ, λὰξ ἐναλαμένου τῇ μητρυιᾷ· αὕτη δὲ ᾐκίσθη τε ἅμα ὑπ᾽ αὐτοῦ καὶ ὑβρίσθη.—Στ. 8, Κατὰ τοὺς νόμους ἐξόν] Παραπεποίηται τὸ περὶ τῶν νόμων, ἀδείᾳ μυθιστορικῇ· ἴσως δὲ καὶ διὰ τὸ τηνικαῦτα τοὺς Ἀθηναίους ὑπὸ Ῥωμαίοις τελεῖν· τούτων γὰρ καὶ οὐχ οἱ τῶν Ἀθηναίων νόμοι ἐφίεσαν τοῖς πατράσιν ἀποκτιννύναι τοὺς παῖδας.—Στ. 15, Ὑπὸ δαιμόνων ἀλαστόρων.] Ὀρέστην αἰνίττεται τὸν μητροκτόνον, περὶ οὗ Εὐριπίδης ἐν τῷ ὁμωνύμῳ δράματι (1548) τάδε φησὶ,

Μεγάλα δέ τις δύναμις δι' ἀλασ7όρων
Ἔπαισ' ἔπαισε μέλαθρα τάδε δι' αἱμάλων.

Στ. 19, Γραμματεύς.] Ὃν ἡ συνήθεια Γραμματικὸν λέγει, ὅταν τὸν ὑπηρετούμενον τοῖς κατὰ πόλιν Δημογέρουσι λεγομένοις σημῆναι βούληται. κοινότερον δὲ καὶ Σεκρετάριον καὶ Καγκελλάριον καλοῦσί τινες, ἐκ τῶν παρὰ τοῖς Ἰταλοῖς *Secretario* καὶ *Cancelliere* λαβόντες. Σουΐδας δὲ Γραμματέα ἐξηγεῖται καὶ τὸν Νοτάριον (Ἰταλισ7ὶ *Notajo*). τρεῖς δὲ ἦσαν Ἀθήνησιν Γραμματεῖς, ὁ μὲν ὑπὸ τῆς Βουλῆς κατὰ πρυτανείαν κληρούμενος, ὥς φησι Πολυδεύκης, ἐπὶ τῷ τὰ γράμματα φυλάτ7ειν καὶ τὰ ψηφίσματα· ὁ δὲ ἐπὶ τῷ τοὺς νόμους φυλάτ7ειν, ὑπὸ τῆς Βουλῆς χειροτονούμενος· τρίτος δὲ ὑπὸ τοῦ δημοσίου αἱρούμενος, ἵνα ἀναγινώσκῃ τῷ τε Δήμῳ καὶ τῇ Βουλῇ. — Στ. 25, Βάραθρον.] Χάσμα τι φρεατῶδες καὶ σκοτεινὸν, ὥς φησιν ὁ Σχολιασ7ὴς τοῦ Ἀρισ7οφάνους (Πλούτ. 431), ἦν ἐν τῇ Ἀτ7ικῇ τὸ βάραθρον, ἐν ᾧ τοὺς κακούργους ἔβαλλον· ἐν δὲ τῷ χάσματι τούτῳ ὑπῆρχον ὄγκινοι, οἱ μὲν ἄνω, οἱ δὲ κάτω. εἰσὶ δὲ οἱ ὄγκινοι (ὅθεν τῶν Λατίνων τὸ, *Uncini*, καὶ τῶν Ἰταλῶν τὸ, *Oncini*) τὰ βαρβαροτουρκικῶς τοῖς χυδαίοις καλούμενα Τζιγκέλια.

Σελ. 22, στ. 7, Τῶν δὲ ψήφων διακρινομένων.] Τουτέσ7ι διαριθμουμένων καὶ χωρὶς ἀλλήλων τιθεμένων, τοῦ γνῶναι πόσαι ἦσαν αἱ ἀπολύουσαι καὶ πόσαι αἱ ἀπολλῦσαι. ὑπῆρχον δὲ, ὥς φησιν Οὐλπιανὸς, αἱ ψῆφοι ποτὲ μὲν, αἱ μὲν τετρημέναι, αἱ δ' ἄτρητοι, ποτὲ δὲ, αἱ μὲν μέλαιναι, αἱ δὲ λευκαί· καὶ αἱ μὲν τετρημέναι καὶ μέλαιναι ἦσαν αἱ καταψηφιζόμεναι· αἱ δὲ ἄτρητοι καὶ λευκαὶ, αἱ σώζουσαι. ἐκαλοῦντο δὲ Χοιρίναι, ὅτι τὸ πάλαι Χοιρίναις, κόγχαις θαλαττίαις οὕτω λεγομέναις, ἀντὶ ψήφων ἐχρῶντο. ἄλλοι δέ φασι, διὰ τὸ ἀπὸ χοιρείων ὀσ7ῶν αὐτὰς γίνεσθαι. Ἀρισ7οτέλης δὲ καὶ χαλκᾶς αὐτὰς γεγονέναι φησί. οἱ δὲ λαχόντες ἐπὶ τὰς ψήφους, μετὰ τὸ εἰρῆσθαι τοὺς λόγους τῶν ἀντιδίκων, παρεδίδοσαν ἑκάσ7ῳ τῶν δικαστῶν δύο ψήφους, τετρημένην καὶ ἄτρητον, ἢ μέλαιναν καὶ λευκήν· καὶ καθίεσαν αὐτὰς οἱ δικασταὶ εἰς δύο καδίσκους, τὸν μὲν τοῦ Ἐλέου λεγόμενον, ὃς ἐδέχετο τὰς ἀτρήτους καὶ λευκὰς, τὸν δὲ τοῦ Θα-

νάτου, εἰς ὃν ἐνεβάλοντο αἱ τετρημέναι καὶ μέλαιναι. πέρας δὲ σχούσης τῆς ψηφοφορίας, διηριθμοῦντο αἱ ψῆφοι· καὶ κατεδίκαζον μὲν αἱ μέλαιναι καὶ τετρημέναι, ἀπέλυον δὲ αἱ λευκαὶ καὶ ἄτρητοι, αἳ καὶ πλήρεις ἐκαλοῦντο. σημειωτέον δὲ ὅτι τὰ περὶ τῶν παρ' Ἀθηναίοις ψήφων, καδίσκων, καὶ ὅλως τὰ περὶ τοῦ τρόπου καθ' ὃν ἐγίνοντο αἱ δικαστικαὶ ψηφοφορίαι πάνυ συγκεχυμένως ἱστόρηται, ἄλλων ἄλλως γραψάντων τε καὶ παραδόντων, ὡς ἔστι καταμαθεῖν παραβαλόντα τὰ τῷ Σχολιαστῇ τοῦ Ἀριστοφάνους (Σφηξ. 981 καὶ 985), τῷ Ἁρποκρατίωνι (εἰς τὸ Καδίσκος, καὶ, Τετρυπημένη), τῷ Οὐλπιανῷ (εἰς τὸν Δημοσθ.) τῷ Πολυδεύκει, καὶ πολλοῖς ἄλλοις περὶ τούτων εἰρημένα. ἐπάνειμι δὲ ἐπὶ τὸν Ἡλιόδωρον, ὃς ἐνταῦθα λεληθότως καθάπτεται τῶν Ἀττικῶν δικαστηρίων, ψηφοφορίας δύο γενέσθαι περὶ Κνήμωνος παρεμφήνας, τὴν μὲν πρώτην περὶ τοῦ, τίνα ποινὴν ὤφειλε δοῦναι Κνήμων, ἐν ᾗ χίλιοι μὲν τῶν δικαστῶν ἀειφυγίᾳ αὐτὸν ἐζημίωσαν, χίλιοι δὲ πρὸς τοῖς ἑπτακοσίοις θάνατον αὐτοῦ κατέγνωσαν· τὴν ἑτέραν δὲ, περὶ τοῦ, ὁποῖον εἶδος θανάτου ὤφειλε παθεῖν, ἐν ᾗ τῶν ἑπτακοσίων καὶ χιλίων οἱ μὲν (οὐ λέγει δὲ πόσοι, οὐδὲ γὰρ ἦν ἀναγκαῖον τοῦτο) καταλεῦσαι, οἱ δὲ, εἰς τὸ Βάραθρον ὦσαι κατέκριναν. ἦν δὲ πρὸ τούτων ἄλλη πασῶν δικαιοτάτη ψηφοφορία, περὶ τοῦ, εἰ ἔνοχος ὁ Κνήμων τοῖς κατηγορηθεῖσιν ὑπὸ τῆς Μητρυιᾶς· ἀλλὰ ταύτης ἐπιμνησθῆναι τοσούτου ἐδέησαν οἱ παράνομοι δικασταὶ, ὥστε μηδὲ ἀπολογίας μετεῖναι τῷ Κνήμωνι ἔκριναν ἅπαντες. — Στ. 13, Τῶν μὲν γὰρ ἄλλων κ. τ. λ.] Τουτέστιν, αἱ ψῆφοι τῶν χιλίων, οἵ με φυγῇ ἐζημίωσαν, ἐλάττους μὲν ἦσαν τῶν ἄλλων ὁμοῦ πάντων, χιλίων πρὸς τοῖς ἑπτακοσίοις ὄντων· ἀλλ' ἐκείνων, ἤγουν τῶν χιλίων ἑπτακοσίων, ψηφισαμένων διάφορα, καὶ τῶν μὲν καταλεῦσαι, τῶν δὲ ὦσαί με εἰς τὸ Βάραθρον κρινάντων, οἱ χίλιοι ἐγίγνοντο πλείους. — Στ. 16, Ἐγίγνοντο.] Ἐκ τῆς Β. τὸ δὲ ἐχόμενον, Ἐξηλαυνόμην ἑστίας τε κ. τ. λ. παρῴδηται ἐξ Εὐριπίδου (Ἑλέν. 89),

Φυγὰς πατρῴας ἐξελήλαμαι χθονός·

Στ. 23, Ἐάσεις.] Ἀπήλειψα τὸ σόλοικον Ἐάσῃς.

Σελ. 23, στ. 19, καθ' Ἡσίοδον.] Αἰνίττεται τὰ διὰ

Δ 2

μακρῶν εἰρημένα τῷ Ἡσιόδῳ (Ἔργ. καὶ Ἡμ. 175-264) περὶ τῆς θείας δίκης, ἣν Διὸς Θυγατέρα ἐκεῖνός φησιν· ἐν οἷς καὶ τάδε (199-201),

................ Ὁδὸς δ' ἑτέρηφι παρελθεῖν
Κρείσσων εἰς τὰ δίκαια· δίκη δ' ὑπὲρ ὕβριος ἴσχει,
Εἰς τέλος ἐξελθοῦσα· παθὼν δέ τε νήπιος ἔγνω.

οἰκεῖα δὲ τῷ προκειμένῳ χωρίῳ καὶ τὰ τοῦ Ὁμήρου (Ἰλ. Δ, 160),

Εἴπερ γάρ τε καὶ αὐτίκ' Ὀλύμπιος οὐκ ἐτέλεσσεν,
Ἔκ τε καὶ ὀψὲ τελεῖ· σύν τε μεγάλῳ ἀπέτισαν
Σὺν σφῇσι κεφαλῇσι, γυναιξί τε καὶ τεκέεσσιν.

τοιοῦτο δέ τι βούλεται καὶ ἡ ἐν τῇ συνηθείᾳ παροιμία, «Ὁ » θεὸς ἀργεῖ, ἀλλὰ δὲν λησμονεῖ »·

Σελ. 24, στ. 2, Μεταμελόμενος. ] Οὕτω γράφεται ἐν τῇ Β. ἔστι δὲ Ἀττικώτερα τὸ, Μεταμέλομαι, καὶ, Ἐπιμέλομαι τοῦ, Μεταμελοῦμαι, καὶ Ἐπιμελοῦμαι. — Ἐσχατιὰ δὲ λέγεται ἣν η συνήθεια Ἐξοχὴν καλεῖ, διὰ τὸ τὰ ἔσχατα τοῦ ἄστεος καὶ ἐξέχειν εἰκότως αὐτοῦ. οὕτω καὶ παρὰ τῷ Λουκιανῷ (Τίμ. ἢ μισάνθρ.) ὁ Τίμων μισανθρωπήσας εἰς τὴν ἐσχατίαν ἐκ τοῦ ἄστεος μετοικίζεται, ὡς αὐτὸς περὶ ἑαυτοῦ φησὶν, «Ὑπὸ τῶν κακῶν ἐπὶ ταύτην τὴν ἐσχατιὰν τραπόμενος, » ἐναψάμενος διφθέραν, ἐργάζομαι τὴν γῆν ». οἱ δὲ Χῖοι οὐ μόνον Ἐξοχὴν, ἀλλὰ καὶ Ὑποστατικὸν καλοῦσι τὴν ἐσχατιὰν, τὸν δὲ ἐν αὐτῇ οἶκον, Πύργον. καὶ ὁ μὲν Πύργος ᾠκείωται μάλιστα τῇ ἀρχαίᾳ χρήσει, ἐπεὶ καὶ οἱ Ἀθηναῖοι Πύργους ἐκάλουν τὰς ἐν ταῖς ἐσχατιαῖς οἰκίας, ὡς δῆλον ἐκ Δημοσθενικοῦ τινὸς λόγου (κατὰ Εὐεργ. καὶ Μνησιβούλ.), καὶ ἐξ αὐτοῦ τοῦ μικρῷ πρόσθεν εἰρημένου Λουκιανείου Τίμωνος, ὃς καὶ ταῦτα φησὶ πρὸς τοῖς ἄλλοις, « Αὐτὸς δὲ ἤδη πᾶσαν » πριάμενος τὴν ἐσχατιὰν, ΠΥΡΓΙΌΝ οἰκοδομησάμενος » ὑπὲρ τοῦ θησαυροῦ, μόνῳ ἐμοὶ ἱκανὸν ἐνδιαιτᾶσθαι κ. τ. λ. »· ὃ δὴ πυργίον τοῦ Τίμωνος καὶ ἐσώζετο ἔτι ἐπ' αὐτοῦ Παυσανίου (Α, λ'.). οὐδὲ τὸ Ὑποστατικὸν δὲ ἠλλοτρίωται παντάπασι τῆς τῶν Ἑλλήνων φωνῆς· σημαίνει γὰρ κτῆσιν, οὐσίαν, ὑπάρχοντα, κατ' ἐξοχὴν δὲ τὰ ἀκίνητα, ἅπερ ἰδίως ἡ συνήθεια Στεκούμενα (ἀντὶ τοῦ Στεκόμενα) καλεῖ. ὅθεν καὶ τὸ παρ' Ἑβραίοις, Ἰεκοὺμ, ὅπερ οὐσίαν, ἢ ὑπάρχοντα δηλοῖ (ἀπὸ τοῦ

ῥήματος Κουμ, τουτέστιν Ἵστασθαι) διὰ τῆς λέξεως, Ὑπόστασις οἱ Ἑβδομήκοντα (Δευτερονομ. ΙΑ, ς') ἐξηγήσαντο, «Ἀνοίξασα ἡ γῆ τὸ στόμα αὐτῆς κατέπιεν αὐτοὺς . . . . καὶ πᾶσαν αὐτῶν τὴν ὑπόστασιν».—Στ. 3, Ὃν θυμὸν κατέδων, τοῦτο δὴ τὸ τοῦ ἔπους] Τὸ τοῦ Ὁμήρου δηλονότι ἔπος τουτὶ (Ἰλιάδ. Ζ, 201) λέγει,

*Ἤτοι ὁ καππεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο,*
*Ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων,*

δι' οὗ ὁ ποιητὴς τὴν Βελλεροφόντου ἐπὶ τοῖς οἰκείοις παισὶ λύπην καὶ μελαγχολίαν ἄντικρυς παρίστησι. καὶ ὁ γέρων δὲ Λαέρτης πεποίηται αὐτῷ διὰ τὴν ἐπ' Ὀδυσσεῖ λύπην ἀπῳκισμένος εἰς τοὺς ἀγρούς· λέγει γὰρ περὶ αὐτοῦ (Ὀδυσσ. Α, 189),

. . . . . . . . . . . . . . . . . . . . . . Τὸν οὐκέτι φασὶ πόλινδε
Ἔρχεσθ', ἀλλ' ἀπάνευθεν ἐπ' ἀγροῦ πήματα πάσχειν.

σημείωσαι δὲ καὶ τὸ Θυμὸν κατέδειν, ὃ διὰ μιᾶς λέξεως, Καταθυμοβορεῖν, Πυθαγόρας εἴρηκε (Στοβ. ΡΚΓ), οὐδὲν ἄλλο ὂν ἢ τὸ τῆς κοινῆς συνηθείας, Τρώγω τὴν καρδίαν μου, ὡς δῆλον καὶ ἐξ ὧν αὖθις αὐτὸς Ὅμηρος ἀλλαχοῦ (Ἰλιαδ. Ω, 128) φησὶ,

*Τέκνον ἐμὸν, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων*
*Σὴν ἔδεαι κραδίην; . . . . . . . . . . . . . . . . .*

τουτέστιν, Ἕως πότε, τέκνον μου, κλαίων καὶ λυπούμενος τρώγεις τὴν καρδίαν σου; φαμὲν δὲ οὐ μόνον, Τρώγω τὴν καρδίαν μου, ἀλλὰ καὶ, Τρώγω τὸν ἑαυτόν μου, καὶ κομψοτέρως κατὰ μέσην διάθεσιν, Τρώγομαι· ἔστι δὲ καὶ τούτων παραθέσθαι μαρτύριον τὸ τοῦ Κωμικοῦ (Σφηξ. 286),

*Ἀλλ', ὦ 'γαθ', ἀνίστασο, μηδ' οὕτως*
*Ἔσθιε σαυτὸν, μηδ' ἀγανάκτει.*

Στ. 4, Ἐριννύες ἤλαυνον.] Ἐξ ὧν Εὐριπίδης εἴρηκε περὶ τοῦ ὑπὸ τῶν Ἐριννύων ἐλαυνομένου Ὀρέστου (Ἰφ. Ταύρ. 940),

*Ἐπεὶ τὰ μητρὸς ταῦθ', ἃ σιγῶμεν κακὰ,*
*Εἰς χεῖρας ἦλθε, μεταδρομαῖς Ἐριννύων*
*Ἠλαυνόμεσθα φυγάδες . . . . . . . . .*

ἐμυθεύοντο δ' αἱ Ἐρινύες θεαὶ τοῦ Ἅδου, θυγατέρες Οὐρανοῦ, ὥς φησιν Ἀπολλόδωρος, τρεῖς τὸν ἀριθμὸν, Ἀληκτὼ, Τισι-

φόνη καὶ Μέγαιρα, δι' ὧν εὐφυῶς πάνυ οἱ Παλαιοὶ ἠνίξαντο τὴν ταραχὴν, ἣν ἐμβάλλει ταῖς τῶν κακούργων ψυχαῖς ἡ συνείδησις τῶν πεπραγμένων. — Στ. 12, Ἐπιδείκνυται. ] Ἐκ τῶν ΚΑ. — Στ. 14, Καὶ οἷον ἐγκεῖσθαι κ. τ. λ. ] Ἀσυνάρτητος καὶ σολοικοφανὴς ὁ λόγος, ἀντὶ τοῦ, Καὶ οἷον ἔγκειται αὐτῆς τῇ καρδίᾳ κ. τ. λ. — Στ. 19. Ἐπὶ δὲ τῷ στερηθῆναι.] Τροπῇ τῆς αἰτιατικῆς εἰς τὴν δοτικὴν, διώρθωκα τὸν σολοικισμόν, ὃς ἐλέγχεται καὶ τῇ παραθέσει τῶν ἐν τοῖς ἑξῆς ῥηθησομένων· οἷον (σελ. 263), « Ἐπὶ τῷ φθῆναι τὴν εἰς τέ» λος αὐτῶν συμπλοκὴν, καὶ τὸ γῆρας βιασάμενον »· καὶ αὖ» θις (σελ. 328), Ἐπ' ἀποστερήσει νυμφίου τοῦ ἐμοῦ ταῦτα » δρῶσαν ». — Στ. 23, Βαρυμηνιῶσαν. ] Βαρύμηνις ἐστὶν ὁ μνησίκακος κατὰ Σουΐδαν· ᾗ δὴ λέξει καὶ ὁ μέγας Βασίλειος, κατὰ τοὺς αὐτοὺς Ἡλιοδώρῳ χρόνους ἀκμάσας, ἐχρήσατο. Ἡλιόδωρος δὲ καὶ ῥῆμα ἰδίως ἐσχημάτισεν ἀπὸ ταύτης τὸ Βαρυμηνιάω, ὅπερ ὁ μὲν Στέφανος παρέλιπεν ἐν τῷ Θησαυρῷ, ὁ δὲ τοῖς μάλισθ' ὁμοίως φιλούμενός μοι σοφὸς Σχνεϊδέρος, ὡς λέξιν ὕποπτον, κατεχώρισεν ἐν τῷ Ἑλληνογερμανικῷ αὐτοῦ Λεξικῷ. ἐνδέχεται μὲν οὖν καὶ γραφικῶς ἡμαρτῆσθαι τὸ, Βαρυμηνιῶσαν· εἰκὸς δὲ μᾶλλον τὸν Ἡλιόδωρον αὐτὸν καινοτομῆσαι τὴν σύνθεσιν, κατὰ τὸν τύπον τοῦ, Βαρυθυμέω.

Σελ. 25, στ. 1, Ἔγνω προλαβεῖν καὶ φθῆναι. ] Παρέλκει θάτερον τῶν ἀπαρεμφάτων· καὶ ἔοικε τὸ Προλαβεῖν, ἐξηγήσεως ἕνεκα προσγραφὲν τὴν ἀρχὴν, παρεισδῦναι ἔπειτα εἰς τὸ χωρίον, ἀμαθίᾳ τῶν ἀντιγραψάντων, οἳ ἀναγκαίως προσέθηκαν καὶ τὸν συμπλεκτικὸν, ἵνα συνάψωσι τῷ Φθῆναι. — Στ. 2, Ἑαυτῇ. ] Διώρθωκα τὸν σολοικισμὸν ἀνθυποβαλὼν τῇ γενικῇ τὴν δοτικὴν, ᾗ συντάσσεται τὸ Περιποιοῦσα. — Στ. 3, Προσελθοῦσα. ] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. — Στ. 18, Ἀπατῶμαι. ] Τουτέστι Κακῶς οἴομαι· εἰς ταῦτα γὰρ ἀναλυόμενον τὸ Ἀπατῶμαι, συντάσσεσθαι πρὸς ἀπαρέμφατον δύναται. εὐεπίφορος δὲ ὁ Ἡλιόδωρος εἰς τὴν τοιαύτην ἐκδοχὴν τοῦ ῥήματος τούτου, ὡς καὶ προϊοῦσι γενήσεται δῆλον. τὸ δὲ ἐχόμενον, Ὀνειδίζοντα τὴν ἄδικον ἐπιβουλὴν, μέχρι τοῦ, Ὑποτίθεμαι, τῇ διαφόρῳ στίξει καὶ τῇ ἀποβολῇ τοῦ, Δὲ, συνδέσμου, (ὃς οὐδὲ ἐν ταῖς ΚΑ ἐμφέρεται) ἐξ ἀσαφοῦς σαφὲς κατ-

ἐστήσαμεν. — Στ. 21 Ταῦτα ὑπεκκαίει, ταῦτα ἐκμαίνει.] Παρῴδηται ἐκ τῶν Δημοσθένους (κατὰ Μειδ.), « Ταῦτα » κινεῖ, ταῦτ' ἐξίστησιν αὐτῶν ἀνθρώπους ἀήθεις τοῦ προ- » πηλακίζεσθαι ». σημείωσαι δὲ τὸ Ὑπεκκαίειν, τροπικῶς ἀπὸ τοῦ πυρὸς μετενηνεγμένον ἐπὶ πάντα τὰ διεγείρειν καὶ παροξύνειν τὰ τῆς ψυχῆς πάθη δυνάμενα, ἃ καὶ Ὑπεκκαύματα διὰ τοῦτο λέγεται. ἣν τροπὴν παραλαβοῦσα καὶ ἡ συνήθεια ἐπὶ τῶν λυπούντων εἰδικῶς ἐχρήσατο, οἷόν ἐστι τὸ, Μοῦ καίει τὴν καρδίαν, καὶ τὸ Καίεται ἡ καρδία μου, ἀντὶ τοῦ σφόδρα λυπεῖται, περὶ ὧν ἐστι καὶ μάρτυρα παρασχέσθαι τὸν Κωμικὸν λέγοντα (Λυσιστρ. 9),

Ἀλλ', ὦ Καλονίκη, κάομαι τὴν καρδίαν,
Καὶ πόλλ' ὑπὲρ ἡμῶν τῶν γυναικῶν ἄχθομαι.

Σελ. 26, σt. 6, Ὑπήκουσεν.] Ἐκ τῶν ΚΑ. — Στ. 13, Κρυπτόμενος.] Ἐν ταῖς ΑΑ γράφεται, Παρακρυπτόμενος. — Στ. 15, Ἐκέχρητο.] Σεμνῶς εἰρημένον ἀντὶ τοῦ Ἐμίγνυτο, ὡς καὶ παρὰ τοῖς Ἰταλοῖς τὸ *Usare*· περὶ οὗ ἀνάγνωθι τὰ ἐν ταῖς εἰς τὸ Περὶ ἀέρων, ὑδάτων, τόπων, τοῦ Ἱπποκράτους σημειώσεσι (Β, σελ. 353) διὰ μακρῶν εἰρημένα μοι. — Στ. 24, Γνώριμον.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ.

Σελ. 27, σt. 3, Ὑποβεβρεγμένον.] Τουτέστιν εἰς τὸ εὐθυμότερον ἀνειμένον ὑπὸ τοῦ οἴνου, ὃν ὁ Κωμικὸς (Εἰρ. 274.) Ὑποπεπωκότα λέγει, ἤγουν τὸν οὐ παντάπασι μεθύοντα· τοῦτον γὰρ Διαβεβρεγμένον προϊὼν (σελ. 217) ἐρεῖ Ἡλιόδωρος. — Στ. 4, Εἰ δὲ τύχοις.] Ἀπέβαλον ὡς σόλοικον τὸ, Εἰ δὲ τύχῃς. καὶ ἐν τοῖς ἑξῆς δὲ (σελ. 203) ἐρεῖ, Εἰ τοῦ γάμου τύχοις. Στ. 8, Δεύτερος ἔσται, φασὶ, πλοῦς.] « Παροιμία (φησὶν » ὁ τὸν Πλάτωνος Φαίδωνα σχολιάσας) ἐπὶ τῶν ἀσφαλῶς » τι πραττόντων· καθόσον οἱ διαμαρτόντες κατὰ τὸν πρότε- » ρον πλοῦν, ἀσφαλῶς παρασκευάζονται τὸν δεύτερον »· ἐχρήσατο δὲ ταύτῃ καὶ Μένανδρος, εἰπὼν,

Ὁ δεύτερος πλοῦς ἐστι δήπου λεγόμενος,
Ἂν ἀποτύχῃ τις πρῶτον, ἐν κώπαισι πλεῖν.

τῶν δύο τούτων στίχων τὸν ἕτερον, οὐ πάνυ τι σαφῶς ἔχοντα, διορθοῦν ἐπεβάλλοντο οἱ Κριτικοί. καὶ ὁ μὲν Γρότιος μεταποιητέον εἶναι ὑπέλαβεν εἰς τὸ,

Ἂν νηὸς ἀποτύχῃ τις, ἐν κώπαισι πλεῖν·

ὁ δὲ Σκαλιγέρος, εἰς τὸ,

Ἂν ἀποτύχῃ τις πνεύματος, κώπαισι πλεῖν·

ὁ Φορστέρος δὲ (ἐν ταῖς εἰς τὸν Πλάτ. Φαίδων. σημ.),

Ἂν ἀποτύχῃ τις οὐρίου, κώπαισι πλεῖν,

ταύτην εἶναι κρίνας τὴν ὀρθὴν γραφὴν ἐκ τῶν εἰρημένων τῷ Εὐσταθίῳ (Ὀδυσσ. Β, σελ. 1453) « Δεύτερος πλοῦς λέγε- » ται, ὅτε ἀποτυχών τις οὐρίου, κώπαις πλέει ». καὶ ταῦτα μὲν οἱ Κριτικοί· ἐμὲ δ᾽ εἴτις ἔροιτο περὶ τούτων, οὐκ ἂν ὀκνήσαιμι φάναι μηδεμιᾶς διορθώσεως χρήζειν τὸ τῷ Μενάνδρῳ ῥηθὲν,

Ἂν ἀποτύχῃ τις πρῶτον, ἐν κώπαισι πλεῖν.

ὁ γὰρ Εὐστάθιος οὐ τὴν γραφὴν ᾐνίξατο, ἀλλὰ τὸν νοῦν ἐξέφρασε τοῦ λεγομένου· ᾧ συνυπακούεται πάντως τὸ, Πνεύματος οὐρίου, διὰ τοῦ, Πρῶτον, ἐπεὶ καὶ εἰώθασιν οἱ Ναυτιλλόμενοι μὴ πρότερον ἀπαίρειν τοῦ λιμένος πρὶν ἂν οὐρίου καὶ φοροῦ τοῦ πνεύματος αἴσθωνται· εἰ δὲ τοῦ λιμένος ἐξελθόντας ἤδη νηνεμία καταλάβοι, πεσόντος τοῦ πνεύματος, οὐκ εὐθὺς ἐπανίασιν εἰς αὐτὸν, ἀλλὰ κώπαις χρῶνται. καὶ ἔοικε παραινεῖν ἡ παροιμία διὰ τούτου τὸ μὴ ἀφίστασθαι τῆς ἐπιβολῆς τοὺς ἐγχειροῦντας τοῖς πρακτέοις, μηδὲ ἀπαγορεύειν αὐτίκα πρὸς τὰ κωλύοντα. ἀλλ᾽ ἐπιμένειν τοῖς ἅπαξ γνωσθεῖσι, ποικίλλοντας τῆς ἐπιτυχίας τὰ μέσα.

Σελ. 28, στ. 10, Πολλά.] Οὕτως αἱ ΚΑ καὶ ΔΑ. — Στ. 13, Μεταβαλέσθαι προσδοκήσας.] Σαφέστερον ἂν εἶπε, Μεταβαλέσθαι με προσδοκήσας. μετὰ τῆς ἀντωνυμίας. καὶ ἴσως τοιαύτη ἦν ἡ ἀρχαία γραφή· ὁ γοῦν νοῦς τῶν λεγομένων ἐστὶ, Νομίσας ὅτι μετεβαλόμην, ἤγουν μετενόησα ἐπὶ τῇ κατὰ τῆς Δημαινέτης κατηγορίᾳ. — Στ. 16, Ἀπολογήσασθαι.] Ἐκ τῶν ΔΑ 649, ᾧ κατηκολούθησε καὶ ὁ Μ. — Στ. 20, Εἰ γὰρ ταῦτα κ. τ. λ.] Τὸ, Εἰ, δύναται καὶ ὡς εὐκτικὸν ἐπίρρημα ἀντὶ τοῦ, Εἴθε, ἐκλαμβάνεσθαι· ἀλλὰ τότε τελεία στικτέον εἰς τὸ Ἀρίστιππος. ἡμεῖς ὡς συναπτικὸν ἐξεδεξάμεθα σύνδεσμον μετὰ τοῦ Λ καὶ Α, καίπερ τοῦ συναπτικοῦ οὐ πάνυ τι καταλλήλως πρὸς τὸ Ἐπιδείξειας συντασσομένου. — Στ. 21, Ἐλευθερία.] Διώρθωκα τὸ σόλοικον Ἐλευθερίας· ἐρεῖ γὰρ καὶ

προϊὼν (σελ. 84), Μισθὸς . . . εὐχαριστία, καὶ (σελ. 131), Μισθὸν . . . τὴν οὐσίαν, ταυτοπλώτως.—Στ. 22 Ἐπιβιώην.] Ἀμείνων ἔοικεν ἡ τῶν ΑΑ γραφὴ, Ἔτι βιώην, ᾗ κατηκολούθησε καὶ ὁ Α. — Στ. 23, Ἀμυνάμενος.] Ἔτρεψα τὸν ἐνεστῶτα εἰς τὸν ἀόριστον· (ὁ γὰρ νοῦς, Μετὰ τὸ ἀμύνασθαί με), ὃν ἐξέφρασαν ὅ, τε Λ καὶ ὁ Α.—Στ. 25, Σμύχομαι ἐν ἐμαυτῷ.] Οὕτως αἱ ΚΑ. ἴσως δ' ἂν ἦν ἄμεινον μετοχικῶς ἐκφράσαι, Σμυχόμενος ἐν ἐμαυτῷ, ὃ καὶ ἄλλοι πρὸ ἡμῶν ἐσημειώσαντο (Σημ. εἰς τοὺς Λουκιαν. Νεκρ. διαλ. ς, 3). Σμύχεσθαι κυρίως ἐστὶ, τὸ ἠρέμα καὶ κατὰ μικρὸν ἄνευ καπνοῦ καίεσθαι. καὶ ἐπὶ μὲν ταύτης τῆς σημασίας ἅπαξ ἐχρήσατο Ἡλιόδωρος τῇ λέξει, ἐν οἷς φησὶ (σελ. 67) « Καλάμους τε, » εἴπῃ τινὲς ἔτι σμυχόμενοι περιελείφθησαν ». εὐεπίφορος δὲ ἐστὶν εἰς τὴν τροπικὴν ἐκδοχὴν τοῦ, Σμύχεσθαι, καθ' ἣν οὐκ ἀκόμψως κέχρηται καὶ ἡ κοινὴ συνήθεια τῷ, Καρδιοφλογίζομαι.

Σελ. 29, στ. 2, Τὸν κῆπον . . . ἔνθα τὸ μνῆμα τῶν Ἐπικουρείων.] Αὐτὸς Ἐπίκουρος (ὥς φησι Διογένης ὁ Λαέρτιος ἐν Ἐπικούρου βίῳ) ἐώνητο τὸν κῆπον τοῦτον ὀγδοήκοντα μνῶν, ἕνεκα τοῦ συμφιλοσοφεῖν ἐν αὐτῷ τοῖς γνωρίμοις, καὶ κατέλιπε θνήσκων τῷ διαδεξαμένῳ τὴν σχολὴν αὐτοῦ Ἑρμάχῳ τῷ Μιτυληναίῳ, καὶ τοῖς συμφιλοσοφοῦσιν αὐτῷ, καὶ τοῖς Ἑρμάχου διαδόχοις ἐνδιατρίβειν ἀεὶ κατὰ φιλοσοφίαν. ἔοικε δὲ ὁ κῆπος οὗτος ἕτερος εἶναι τοῦ Ἀθήνησιν Ἐπικουρείου κήπου, περὶ οὗ φησὶ Πλίνιος (ΙΘ, δ', 162,) ὅτι πρῶτος Ἐπίκουρος κῆπον ἐν αὐτῷ τῷ ἄστει κατεσκεύασε, τέως ἐκτὸς τοῦ ἄστεος ὄντων τῶν κήπων. μνῆμα δὲ τῶν Ἐπικουρείων λέγων Ἡλιόδωρος, ὑπονοεῖν δίδωσιν αὐτόν τε Ἐπίκουρον καὶ πολλοὺς τῶν διαδεξαμένων αὐτὸν φιλοσόφων, ἐν τῷ κήπῳ ταφῆναι. καὶ Λυκοῦργος γὰρ ὁ Ῥήτωρ ἐν τῷ Μελανθίου τοῦ φιλοσόφου κήπῳ ἐτάφη, ὥς φησι Πλούταρχος ἐν βίῳ Λυκούργου, καὶ πολλῶν ἄλλων ἐνδόξων ἀνδρῶν μνήματα ἐν κήποις ἐτύγχανον ὄντα. — Στ. 7 Ἁβροτέρως.] Ἐν ταῖς ΑΑ, Ἁβρότερον· ἐν δὲ ταῖς ΚΑ, Ἁβρότερον καὶ Ἁβροτέραν. ἴσως μετὰ τὸ Ἁβροτέρως παρέλιπον οἱ Ἀντιγραφεῖς τὸν σύνδεσμον, Γάρ, ὃν ἐξέφρασεν ὁ Α, *Car il est besoing* κ. τ. λ. — Στ. 8, Ἠυτρέ-

πισται. ἡ δὲ περιέβαλέ τε.] Ἀντὶ τοῦ Ἠυτρέπισῖαι, ἐν ταῖς ΚΑ καὶ ΑΑ γράφεται, Ἠυτρέπισμαι, κατὰ μέσην δηλονότι διάθεσιν, οὐ πάνυ τι κατάλληλον τῷ προκειμένῳ χωρίῳ. τὸ δὲ Περιέβαλε σημαίνει, ἠσπάσαῖο τὴν Θίσβην, ὡς ἐξεδέξαῖο καὶ ὁ Α, *Demeneté l'embrassa.* ὁ μένῖοι Α, *Amiciebat sese* εἰπὼν, ἔοικεν ἑτέρᾳ γραφῇ ἐνῖυχεῖν τῇ, Περιέβαλλεῖό τε, ἣν ἐδκρίνει καὶ ὁ Κοῖνος, ἐν ταῖς εἰς τὸ περὶ διαλέκῖων τοῦ Κορίνθου σημειώσεσι (σελ. 72). — Στ. 15, Τῶν Ἀφροδίτης μυούμενον.] Ὤφειλεν εἰπεῖν, Τὰ ἀφροδίῖης μυούμενον, καὶ αἰτιαῖικήν· ῖοῦτο γὰρ ἡ χρῆσις βούλεῖαι, ᾗ καὶ αὐτὸς ἐν ἄλλοις (σελ. 86 καὶ 99) ἠκολούθησε. — Στ. 16, Παραλαμβάνει.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. Στ. 19, Διάγονῖος· καὶ σιωπῶσαν κ. τ. λ.] Ἐξ ἀσαφοῦς σαφὲς κατεστήσαμεν τὸ χωρίον, τῇ στίξει μόνῃ παραμυθησάμενοι. ὁ δὲ νοῦς, Καὶ ἡ Θίσβη, μετὰ τὸ παρεγγυῆσαι, ἤγουν παραινέσαι, τῇ δεσποίνῃ μετὰ σιωπῆς πληροῦν τὴν ἐπιθυμίαν, εἶπε πρὸς αὐτὴν, Ἐγὼ δὲ ἀπελεύσομαι ἐπὶ τὸν νεανίαν κ. τ. λ. τῆς αὐτῆς συνθέσεως ἔχεται καὶ ὁ προϊὼν (σελ. 165) ἐρεῖ, «Καὶ χρηστὰς ὑποθέμενος τῶν ἐσομένων τὰς ἐλπίδας... » Ἐγὼ μὲν ἐπὶ τὰ ἑξῆς τῆς πράξεως ἄπειμι, ἔφην».

Σελ. 50, στ. 2, Σεληναίας.] Τουτέστι, Σελήνης. καὶ Σεληναίης δὲ, ὡς παρὰ τῷ Κωμικῷ (Νεφ. 614),

.............ἐπειδὴ φῶς Σεληναίης καλόν.

ἔλεγον δὲ καὶ Ἀθηναίη ἀντὶ τοῦ Ἀθήνη· οἱ δὲ Ἴωνες, καὶ Ἀναγκαίη, ἀντὶ τοῦ Ἀνάγκη. — Στ. 5 Ἐψόφησε.] Ἤγουν ἔνδοθεν ἔκρουσε τὴν θύραν· τούτῳ γὰρ διαφέρει τὸ Ψοφεῖν τοῦ Κόπῖειν, ὃ σημαίνει τὸ ἔξωθεν κρούειν τὴν θύραν, ὥς φασιν οἱ τὰ τοιαῦτα ἠκριβωκότες, καίπερ αὐτοῦ τε Ἡλιοδώρου ἐν τοῖς ἑξῆς (σελ. 128) καὶ πλείστων ἄλλων ἑκατέρῳ χρησαμένων ἀδιαφόρως. — Στ. 12, Τὴν ἐπὶ τοῖς παροῦσιν ἀτιμίαν.] Ἐν μὲν ταῖς ΚΑ διπλῆ γραφὴ φέρεται, Τὴν ἐπὶ τοῖς μέλλουσιν ἀτιμίαν, καὶ, Τὴν ἐπὶ τοῖς μέλλουσαν ἀτιμίαν· ἐν δὲ ταῖς ΑΑ μετὰ τοῦ συνδέσμου, Καὶ τὴν ἐπὶ τοῖς μέλλουσαν ἀτιμίαν, ἐξ ἀμείνονος ἴσως ἑτέρας γραφῆς τῆς, Τὴν (ἢ Καὶ τὴν) ἐπὶ ῖούτοις μέλλουσαν ἀτιμίαν. προσγέγραπται δὲ ταῖς ΑΑ ὡς διόρθωσις μᾶλλον ἢ διάφορος γραφὴ, ὑφ' ἑτέρας καὶ οὐκ αὐτῆς τῆς τοῦ Α χειρὸς, Τὴν ἐπὶ τοῖς παροῦσι μέλλουσαν

ἀτιμίαν. ἐκ ταύτης τοίνυν ἔλαβον τὸ, Τὴν ἐπὶ τοῖς παροῦσιν ἀτιμίαν, παραλιπὼν ὡς παρέλκον τὸ, Μέλλουσαν· ἔοικε γὰρ ἐνταῦθα ἀντιτιθέναι τῷ, Παροῦσιν τὸ, Προσδοκηθέντων, ὡς καὶ προϊὼν (σελ. 71) ἐρεῖ, « Τῶν παρουσῶν συμφορῶν τὸ ἄπο- » ρον, καὶ τῶν προσδοκωμένων τὸ ἄδηλον ». — Στ. 16, Οἱ πολέμαρχοι. ] Τοῦτο οὕτως ἐκδεκτέον ὡσανεὶ ἔλεγεν, Ὁ ἀεὶ Πολέμαρχος, τουτέστιν, ὡς ἡ συνήθεια λέγει, Ὁ κατὰ καιρὸν Πολέμαρχος· εἷς γὰρ τῶν ἐννέα ἀρχόντων ἦν Ἀθήνησιν ὁ πολέμαρχος, καὶ οὐ πλείους. εἰκὸς δὲ οὕτω κληθῆναι, διὰ τὸ συνεδρεύειν καὶ συμψηφηφορεῖν τοῖς στρατηγοῖς, ὡς δηλοῖ Ἡρόδοτος (ϛ, ρθ´). παρὰ δὲ Θηβαίοις καὶ Λακεδαιμονίοις δύο παρ᾽ ἑκατέροις ἦσαν πολέμαρχοι, ὅπερ ἔστιν εἰκάσαι ἐξ ὧν φησὶ Πλούταρχος (Πελοπίδ. § 7, καὶ 17). — Στ. 18, Σπαράξασα. ] Οὕτως ἡ Β, ᾗ συνᾴδουσι καὶ αἱ ΑΑ. ταύτην τὴν γραφὴν παρέλαβε καὶ ὁ Μ. τὸ δὲ, Παράξασα τυπογραφικῶς ἔοικεν ἡμαρτῆσθαι ἐν τῇ Κ. ἔστι δὲ τὸ Σπαράξασα ἐνταῦθα οὐ πάνυ τι κυριολεκτικῶς εἰρημένον ἀντὶ τοῦ, Ἀποσπάσασα τὰς χεῖρας αὐτῆς τοῦ πρεσβύτου, ὃς κατεῖχεν αὐτὴν, οἷον ἐρεῖ καὶ προϊὼν (σελ. 427) « Τῶν κατεχόντων τὰ δεσμὰ σπαρα- » ξαντες» καὶ οὐχ, ὡς ὑπέλαβεν ὁ Μ, παραχθεὶς ὑπὸ τοῦ Λ, ἀντὶ τοῦ Ἀμύξασα, ἢ δρύψασα, τὰς χεῖρας τοῦ πρεσβύτου. ἐπὶ γὰρ ταύτης τῆς σημασίας ἐν τοῖς ἑξῆς (σελ. 294) χρήσεται τῷ Σπαράσσειν, καθὰ καὶ ἐπὶ τοῦ Τίλλειν τὰς τῆς κεφαλῆς τρίχας (σελ. 281,). ἐν δὲ τῷ προκειμένῳ χωρίῳ μακρῷ κυριολεκτικώτερον ἂν ἦν τὸ, Σπάσασα, ᾧ καὶ Ὅμηρος ἐχρήσατο (Ὀδυσσ. Β, 321),

. . . . Καὶ ἐκ χειρὸς χεῖρα σπάσεν Ἀντινόοιο·

ἢ γοῦν τὸ, Ἀπαράξασα, μάλα κομψῶς δηλοῦν τὰ, Μετὰ βίας ἀποσπάσασα. ὁ γοῦν Σουΐδας, ἐξηγῶν τὴν λέξιν, φησὶν, « Ἀπαῤῥάξειεν (γρ. Ἀπαράξειεν, ἢ Ἀποῤῥάξειεν), ἀποσ- » πάσειεν, ἀποχωρίσειεν ». ἔφη δέ που καὶ Θουκυδίδης, (Ζ, ξγ´) « Ἢν μὴ τοὺς ἀπὸ τοῦ πολεμίου καταστρώματος ὁπλί- » τας ἀπαράξητε », ὅπερ ὀρθῶς ὁ σχολιαστὴς ἑρμηνεύει διὰ τοῦ « Μετὰ ἀραγμοῦ καὶ συντριβῆς ἀποστήσητε ». καὶ Πλούταρχος δὲ (Μαρκέλλ. § 27), « Ὁ δὲ Ἀννίβας, ὡς ἀπέῤῥηξεν » ἑαυτὸν τοῦ Μαρκέλλου » εἶπεν, ἀπὸ τοῦ Ἀποῤῥήσσω ῥήμα-

τος, ὃ τοῦ Ἀποῤῥάσσω ἢ Ἀπαράσσω οὐδὲν ἄλλ' ἢ κατὰ διάλεκτον διενήνοχε. — Στ. 21, Εἰπὼν, τῷ τε δήμῳ κ. τ. λ. ] Οὕτως αἱ ΑΑ.

Σελ. 31, στ. 1, Κατά τι χρέος ἐμὸν ἴδιον. ] Μετενήνεκται ἐξ Ὁμήρου (Ὀδυσσ. Α, 409, καὶ Β, 45),

Ἀλλ' ἐμὸν αὐτοῦ χρεῖος (ἱκάνω)......

Στ. 8, Τὸ μὲν ἐκείνου πρόφασιν, μνήμῃ δὲ κ. τ. λ. ] Οὕτω, Μνήμῃ, αἱ ΚΑ καὶ ΑΑ, ἐν αἷς καὶ, Τὰ μὲν, ἀντὶ τοῦ, Τὸ μὲν. ἐν δὲ ταῖς ΔΑ 135 γράφεται, Μνήμην, κατ' αἰτιατικήν. ἔστι δὲ τὸ χωρίον κατὰ μίμησιν τοῦ πολυθρυλλήτου καὶ ὑπὸ πλείστων ὅσων παρῳδηθέντος ἐκείνου (Ἰλιάδ. Τ, 301),

..................Ἐπὶ δὲ στενάχοντο γυναῖκες
Πάτροκλον πρόφασιν, σφῶν δ' αὐτῶν κήδε' ἑκάστη.

ἔνιοι δὲ καὶ τὰς λέξεις αὐτὰς τοῦ Ποιητοῦ παροιμιακῶς μετενεγκεῖν ἢ παρῳδῆσαι μᾶλλον προείλοντο. τοιοῦτον τὸ τοῦ Ἀχιλλέως Τατίου (Β, λδ') « Ἐπεδάκρυσεν ὁ Κλεινίας, αὐτοῦ » λέγοντος ταῦτα, Πάτροκλον πρόφασιν ἀναμνησθεὶς Χαρι» κλέους». ὅπου ἴσως γραπτέον τε καὶ στικτέον... « Πάτρο» κλον πρόφασιν, ἀναμνησθεὶς δὲ Χαρικλέους ». εἴρηκε δὲ καὶ ὁ Χαρίτων (Η, ε'), « Ἐπένθουν δὲ (γρ. δὲ καὶ) Περσῶν οἱ » ἐντιμότατοι, Σταλείρας προφάσει, σφῶν δ' αὐτῶν κήδε' ἕκασ» τος ». Πλούταρχος δὲ καὶ ἀπὸ τῶν λυπηρῶν ἐπὶ τὰ μὴ τοιαῦτα μετήνεγκε τὴν Ὁμηρικὴν ῥῆσιν, εἰπὼν (περὶ τοῦ ἑαυτ. ἐπαιν. ἀνεπιφθ. § 19), « Καὶ μὴ δοκῶμεν Πάτρο» κλον πρόφασιν, σφᾶς δ' αὐτοὺς δι' ἐκείνων ἐπαινεῖν ». καὶ σημείωσαι ὅτι κομψοτέρα ἡ Ἡλιοδώρειος παρῳδία, καὶ παραπλήσιος τῇ τοῦ Ῥωμαϊκοῦ Συγγραφέως Τακίτου (Γ, λζ'), *Velut pro Vitellio conquerentes suum dolorem proferebant.*

Στ. 11, Ὑφ' ἡδονῆς τῶν γόων, ἔπαυσε τῶν δακρύων. ] Ἐν μὲν ταῖς ΑΑ γράφεται, Ὑφ' ἡδονῆς τῶν θρήνων, ἔπαυσε τῶν δακρύων· ἐν δὲ ταῖς ΔΑ 686, διπλῆ φέρεται γραφή· Ὑφ' ἡδονῆς τῶν γόων, ἔπαυσε τῶν θρήνων, καὶ, Ὑφ' ἡδονῆς τῶν γόων, ἔπαυσε τὸν θρῆνον. πρὸ δὲ τούτων, οὕτω διορθοῦν ἐπικεχειρήκει τις, ὥς φησι Βουρδελότος, Ὑφ' ἡδονῆς, τῶν γόων ἔπαυσε καὶ τῶν δακρύων, στίζων δηλονότι εἰς τὸ, Ἡδονῆς, καὶ προστιθεὶς τὸν σύνδεσμον, Καὶ, μετὰ τὸ Ἔπαυσε. καὶ ἔστι μὲν ἡ

διάνοια τῆς διορθώσεως οὐκ ἀπίθανος· τὰ δὲ τῆς λέξεως ἴσως ἂν ὀρθότερον ἔχοιεν οὕτως, Ὑφ' ἡδονῆς, τῶν γόων ἔπαυσε καὶ τῶν θρήνων, τὸ μέν τι, διὰ τὴν πρώτην γραφὴν τῶν ΔΑ, τὸ δὲ καὶ διὰ τὸ τοῦ Εὐριπίδου τουτὶ (Μηδ. 1211),

Ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,

ὃ παραινίττεσθαι ἔοικεν ὁ φιλευριπίδης Ἡλιόδωρος. ἐνδέχεται μέντοι τὴν ἀρχαίαν γραφὴν ὑπάρξαι, Ὑφ' ἡδονῆς τῶν ΛΟΓΩΝ, ἔπαυσε τῶν δακρύων. τοῦτο δὲ τῶν προδεδηλωμένων γραφῶν τε καὶ διορθώσεων ἁπαξαπασῶν μακρῷ ἂν ἦν ἄμεινον καὶ συνῳδὸν τοῖς πρόσθεν (σελ. 14) εἰρημένοις, « Μεγίστην » ἡγούμενοι παραψυχὴν τὴν τῶν ὁμοίων ἀκοήν »· πλὴν εἰ μή τις ὑπολάβοι ψυχρῶς πάνυ καὶ κακοζήλως τὸν Ἡλιόδωρον παραινίξασθαι τὸ τοῦ Εὐριπίδου. (Ἠλέκτρ. 125.),

Ἴθι τὸν αὐτὸν ἔγειρε γόον,
Ἄναγε πολύδακρυν ἁδονάν.

Στ. 15, Τῶν ὕπνων ἀποσεσύλητο.] Ἄμεινον ἂν εἶπε, Τὸν ὕπνον ἀποσεσύλητο, καὶ μᾶλλον συνᾷδον τῷ τοῦ Βακχυλίδου, « Οὐ δὲ συλᾶται μελίφρων ὕπνος ἀπὸ βλεφάρων (Στοβ. ΝΓ.) » ὅπερ ἔοικε παραινίττεσθαι ἐπὶ τοῦ παρόντος. συνάψει δὲ καὶ προϊὼν (σελ. 74) τὸ Συλᾶν μετὰ αἰτιατικῆς αὐτοῦ τοῦ συλωμένου πράγματος. εὐεπίφορος μέντοι καὶ πρὸς τὴν τῆς γενικῆς σύνταξιν (σελ. 168, 209, καὶ 278), ᾗ καὶ Σοφοκλῆς ἐχρήσατο (Οἰδ. Τύρ. 1330), εἰπών,

Ὅς μ' ἐξέωσε κἀπεσύλησεν πάτρας.

Στ. 19, Ἐπὶ τὴν τοῦ θεοῦ πρόσρησιν.] Τὴν τοῦ Ἡλίου δηλονότι, ὃς ὁ αὐτὸς ἐνομίζετο τῷ Ἀπόλλωνι. ὁ δὲ Ἀλεκτρυὼν πρὸ τοῦ ἀπορνεωθῆναι, νεανίσκος ἦν, ὡς φησιν ὁ χαριέστατος Λουκιανὸς (Ὀνειρ. ἢ Ἀλεκτρ. § 3), φίλος τῷ Ἄρει. ὁπότε δ' ἀπίοι παρὰ τὴν Ἀφροδίτην μοιχεύσων ὁ Ἄρης, ἐπήγετο καὶ τὸν Ἀλεκτρυόνα, καὶ ἀπέλειπεν ἔξω πρὸς ταῖς θύραις, μηνύσοντα ὁπότε φαίνοι ὁ Ἥλιος. εἶτά ποτε κατακοιμηθέντος τοῦ νεανίσκου, ὁ Ἥλιος κατιδὼν τοὺς περὶ τὸν Ἄρην κατεμήνυσε τῷ Ἡφαίστῳ τὴν μοιχείαν τῆς γυναικός· καὶ ὁ Ἥφαιστος ἐσαγήνευσε συγκοιμωμένους, περιβαλὼν τοῖς δεσμοῖς, ἃ πάλαι μεμηχάνητο ἐπ' αὐτούς. ὁ δὲ Ἄρης μετὰ τὸ ἀφεθῆναι ἀγανακτήσας κατὰ τοῦ νεανίσκου, ὡς προδόντος τὴν φρουρὰν, μετ-

ἔβαλεν αὐτὸν εἰς τουτὶ τὸ ὄρνεον, τὸν Ἀλεκτρυόνα· ὃς καὶ διὰ τοῦτο, ἀπολογούμενος δῆθεν τῷ Ἄρει, ἐπειδὰν αἴσθηται ἀνατέλλοντα τὸν Ἥλιον, πρὸ πολλοῦ βοᾷ. — Στ. 24, Κατὰ τὴν Μέμφιν τὴν ἑαυτοῦ πόλιν, τὸν νεὼν κ. τ. λ. ] Ἐξήλειψα τὸν Μὲν καὶ τὸν Καὶ, τὸν πρῶτον, ὅτι ἀνανταπόδοτος, τὸν δεύτερον, ὅτι τὸ ἐχόμενον, Ἐπερχόμενος, πρὸς μόνον τὸ, Νεὼν, συντάσσεται. συνᾴδουσι δὲ τῇ διορθώσει ταύτῃ ὅ, τε Λ καὶ ὁ Α. ἦν δὲ ἡ Μέμφις ἐπιφανεστάτη τῶν κατ' Αἴγυπτον πόλεων, ἐν ᾗ τὴν οἴκησιν ἐποιοῦντο σχεδὸν ἅπαντες οἱ βασιλεῖς τῆς Αἰγύπτου (Διόδωρ. Α, ν'). ἐν αὐτῇ δὲ ταύτῃ ἐστέφοντο καὶ οἱ ἔπειτα βασιλεύσαντες Αἰγύπτου ἐκ τῶν Ἀλεξάνδρου διαδόχων. ἐσώζετο δ' ἔτι κατὰ τὴν ἑβδόμην ἀπὸ Χριστοῦ ἑκατονταετηρίδα ἡ Μέμφις, ἧς τανῦν λυπρά τινα καὶ σχεδὸν ἐξίτηλα ἴχνη φαίνεται ἔν τινι χώρῳ καλουμένῳ Μὲνφ, οὐ μακρὰν ἀπέχοντι τοῦ μεγάλου λεγομένου Καΐρου, ὥς φησιν ὁ τὴν Ἡροδότειον Γεωγραφίαν Ἀγγλιστὶ συγγράψας Ῥεννέλλος (σελ. 497).

Σελ. 32, στ. 1, Τῆς Ἴσιδος. ] Περὶ τοῦ ναοῦ τούτου τῆς Ἴσιδος τάδε φησὶν Ἡρόδοτος (Β, ρϛ'), « Τῇ Ἴσι τε τὸ ἐν » Μέμφι ἱρὸν Ἄμασίς ἐστι ὁ ἐξοικοδομήσας, ἐὸν μέγα τε καὶ » ἀξιοθεητότατον». καὶ αὐτοὺς δὲ τοὺς πλοκάμους τῆς Ἴσιδος παρ' ἑαυτοῖς ἔχειν οἱ Μεμφῖται διετείνοντο, καὶ τοῖς ξένοις ἐπεδείκνυντο, καθὰ φησὶ Λουκιανὸς (Πρὸς τὸν ἀπαίδ. καὶ πολλ. βιβλ. ὠνούμ. § 14). τὸ δὲ ἐχόμενον, Λαμπαδίῳ, ἢ κλητικῶς ἐκδέξασθαι χρὴ, ἵν' ᾖ Λαμπάδων πυρὶ, ἢ εἰς αὐτὸ τοῦτο τὸ Λαμπάδων μεταποιητέον, ἣ δῆλον καὶ ἐξ αὐτῆς τοῦ ὀνείρου τῆς λύσεως (σελ. 267). — Στ. 5, Συμμιγοῦς πάντα. ] Ἐν τῇ Β, Συμμιγούσας πάντα, ἐξ ἀμείνονος, οἶμαι, γραφῆς τῆς, Συμμιγοῦς ἅπαντα. — Στ. 16, Παρθενίους. ] Ἐκ τῶν ΚΑ. — Στ. 22 Σῦλα. ] Οὕτως αἱ ΚΑ καὶ ΑΑ.

Σελ. 33, στ. 6, Πρὸς ἀνάγκης. ] Ἐν ταῖς ΔΑ 554, Πρὸς ἀνάγκην, ὃ καὶ συνηθέστερον. — Στ. 10, Φράζειν. ] Ἑρμηνεύειν, ἐξηγεῖσθαι. ὅθεν παρ' Ἡσυχίῳ, Φράσις, ἡ ἑρμηνεία, καὶ Φράσον, τὸ ἑρμήνευσον. — Στ. 11. Συνίη τι. ] Καὶ τυφλῷ δῆλον, ὅτι ἀπροσδιόνυσος ὅλως ὁ ἐνεστὼς, Συνίησι· ὅθεν διώρθωκα τρέψας εἰς τὸ, Συνίη τι, ὃ καὶ διφθογγογραφεῖν, Συνίει τι, βούλεται ἡ πλείων χρῆσις. κακῶς ἐξέφρασεν, ἢ μᾶλλον παρ-

ἔφρασε, τὸ χωρίον ὁ Α, εἰπὼν, *Pour ce qu'il entendoit desia bien la langue*, τουτέστι, Συνίει γὰρ ἀκριβῶς ἤδη τῶν Αἰγυπτίων· οὐδὲ γὰρ εἰκὸς ἀκριβῶς συνιέναι τὸν Κνήμωνα τὴν Αἰγυπτίων φωνὴν, ἄρτι καταπεπλευκότα εἰς Αἴγυπτον, καὶ πρὸ μικροῦ τοῖς λησταῖς αἰχμάλωτον γεγονότα, ἢ δῆλον ἐκ τῶν πρόσθεν (σελ. 11,) εἰρημένων. — Στ. 15, Κέκλημαι.) Δίωρθωκα τὸ χωρίον, τρέψας τὸ, Κέχρημαι εἰς τὸ, Κέκλημαι· οὕτω δὲ διορθῶσαι καὶ τὸν Α φασὶν ὅ, τε Βουρδελότος καὶ ὁ Μ, οὐκοῖδα ὅθεν εἰκάσαντες ἢ μαθόντες· οὔτε γὰρ ἐν τῇ Α, οὔτε ἐν ταῖς ΑΑ τὸ παράπαν ἐμφαίνεταί τι τοιοῦτον. ἡ δὲ τοῦ Βουρδελότου διόρθωσις, Οἷα ἂν κέχρημαι, ἐσχάτως βάρβαρος. — Στ. 18, Παρελέσθαι παρανομήσαντος.] Οὕτω προδήλως αἱ ΑΑ, τῇ τάξει μόνῃ διαφέρουσαι τοῦ Κ. ἐν δὲ τῇ Β λείπει τὸ Παρανομήσαντος. εἴρηται δὲ καινοπρεπῶς, ἢ μᾶλλον εἰπεῖν κακοζήλως, τὸ, Παρελέσθαι παρανομήσαντος, ἀντὶ τοῦ, Παρανόμως παρελομένου. αὖθις ἐνταῦθα ὅ, τε Βουρδελότος καὶ ὁ Μ, φασὶ τὸν Α, Παρελομένου, μόνον ἀνεγνωκέναι. Στ. 20, Ἐφ' ᾧ τε.] Ἐκ τῆς Β, ᾗ συνᾴδουσι καὶ αἱ ΑΑ. κακῶς ὁ Μ, Ἐφ' ᾧ γε, ἔγραψεν, ἀκολουθήσας τῇ διορθώσει τοῦ Κ.

Σελ. 34, στ. 5, Ὅσοι τι ῥώμῃ κ. τ. λ.] Ἔτρεψα τὸ Τῇ ἄρθρον εἰς τὸ Τι, ἵνα ᾖ ὁ νοῦς, Ὅσοι, ῥωμαλέοι ὄντες τὸ σῶμα, ὠφελήσειν τι ἔμελλον. τοῦτο καὶ γὰρ ὑπονοεῖν δίδωσιν ἡ βάρβαρος τοῦ ἄρθρου παράθεσις· εἶπε γὰρ ἂν, εἴπερ ἐνάρθρως ἐβούλετο λέγειν, Τῇ ῥώμῃ τοῦ σώματος, ἢ, Τῇ τοῦ σώματος ῥώμῃ. ἔστι δὲ καὶ ἕτερον χωρίον παραθεῖναι, ἐν ᾧ φησὶ (σελ. 22) μετὰ τοῦ Τι, «Ὅσοι τι καὶ καὶ τῇ ὑπονοίᾳ. . . δόντες». Στ. 8, Ἀφεὶς.] Ὤφειλον διορθῶσαι, Ἀφιεὶς, καίπερ ἁπαξαπάντων τῶν πρὸ ἐμοῦ, Ἀφεὶς, ἀορίστως ἐκδεδωκότων. ἐρεῖ δὲ καὶ προϊὼν (σελ. 388) «Τοὺς δὲ εὖ γεγονότας ἐλευθέρους ἀφιείς». — Στ. 10, Ἡ συνήθεια.] Μετὰ τοῦ ἄρθρου, ἐκ τῶν ΑΑ. — Στ. 23, Ἀπολογίσασθαι.] Τουτέστι, διηγήσασθαι, ὡς καὶ τὸ ἐν τῇ συνηθείᾳ, Λογαριάζω, ἀπὸ τοῦ ἀριθμολογεῖν μετενήνεκται ἐπὶ τὸ διηγεῖσθαι. Εὐριπίδης δὲ καὶ τῷ, Ἀναμετρεῖσθαι, ἐπὶ τῆς αὐτῆς σημασίας ἐχρήσατο, φήσας (Ὀρέστ. 14),

. . . . . Τί τἄρρητ' ἀναμετρήσασθαί με δεῖ;

ταύτης δὲ τῆς μεταφορᾶς ἔχεται καὶ τὸ Erzehlen τῶν Γερμανῶν, το Vertellen τῶν Βελγῶν, καὶ τὸ Contare τῶν Ἰταλῶν. καὶ αὐτὸ δὲ τὸ Conter (διηγεῖσθαι) τῶν Γάλλων παρὰ τὸ Compter (λογίζεσθαι) παρῆκται.

Σελ. 35, στ. 4, Στοχάζομαι.] Ἐν ταῖς ΚΑ γέγραπται, Λογίζομαι. οἰκειότερον μέντοι τοῖς χρόνοις Ἡλιοδώρου τὸ, Στοχάζομαι, ἀπ' αὐτοῦ ἤδη Πολυβίου ἀρξάμενον ἐκλαμβάνεσθαι, καὶ διαμεῖναν μέχρι καὶ δεῦρο ἐν τῇ συνηθείᾳ, ἐπὶ τῆς σημασίας τοῦ Λογίζομαι, ἢ Κρίνω. ἡ αὐτὴ δὲ συνήθεια καὶ Στοχαστικὸν οὐκ ἀκόμψως καλεῖ τὸν Φρόνιμον. — Στ. 20, Βιάζεσθαι γὰρ οἷς ἐξὸν, τ πυνθάνεσθαι περιττόν.] Οἰκεία λῃστῇ καὶ τυράννῳ ἡ θηριώδης αὕτη γνώμη· « Θηρίων γὰρ ἔργον εἶναι (φησί που Λυσίας » ὁ ῥήτωρ) ὑπ' ἀλλήλων βίᾳ κρατεῖσθαι, ἀνθρώποις δὲ προσήκειν » νόμῳ μὲν ὁρίσαι τὸ δίκαιον, λόγῳ δὲ πεῖσαι κ. τ. λ. »

Σελ. 36, στ. 7, Μᾶλλον, ἔφη, ὁ μὲν λόγος κ. τ. λ.] Καθ' ὑπερβατὸν, ἀντὶ τοῦ, Ὁ μὲν λόγος μᾶλλον ἥρμοζε, κ. τ. λ. ὅρα δὲ ὅπως ἐντεῦθεν μέχρι τέλους ἡ τῆς Χαρικλείας ἀπόκρισις καταλλήλως ἅμα τῷ ἤθει τῆς κόρης πέπλασται, καὶ λέξει καὶ διανοίᾳ τεχνικῶς πεποίκιλται. — Στ. 8, Πρέπειν γὰρ οἶμαι κ. τ. λ.] Ἔκ τε Σοφοκλέους (Αἴαντ. 293),

Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει,

καὶ Εὐριπίδου (Ἱκέτ. 40),

............Πάντα γὰρ δι' ἀρσένων
Γυναιξὶ πράσσειν εἰκὸς, αἵ τινες σοφαί.

Στ. 13, Ἄλλως τε διότι καὶ] Οὕτως αἱ ΑΑ, ἑλληνικώτερον. — Στ. 14, Ἐκβαίνειν ἀναγκάζομαι τοὺς κ. τ. λ.] Σημείωσαι τὸ, Ἐκβαίνειν, συντασσόμενον μετὰ αἰτιατικῆς, κατὰ τὸ, Παραβαίνειν, καὶ, Ὑπερβαίνειν· ἧς συντάξεως ἔστι καὶ παρὰ τῶν Ἀρχαιοτέρων λαβεῖν παραδείγματα. ἡ μέντοι συνηθεστέρα χρῆσις πρὸς γενικὴν συντάσσει τὸ ῥῆμα, διὰ τὸ καὶ τὴν, Ἐκ, μόνῃ γενικῇ συντάσσεσθαι. — Στ. 17, Καὶ ταῦτα ἐν ὁμίλῳ.] Ἐξήλειψα τὸν ἕτερον Καὶ, καίπερ ἐνδεχόμενον οὐ τῶν ἀντιγραψάντων, ἀλλ' αὐτοῦ Ἡλιοδώρου εἶναι τὸ ἁμάρτημα· ἐρεῖ γὰρ καὶ προϊὼν (σελ. 338) « Καὶ ἤδη » ταῦτα καὶ πρὸς τῶν βασάνων τετρυχωμένους ». — Στ. 19, Ἀμφιθαλεῖς.] Ἀμφιθαλὴς παῖς λέγεται, ᾧ ἀμφότεροι

θάλλουσι, τουτέστι ζῶσιν, οἱ γονεῖς, ὁ μηδετέρου τῶν γονέων ὠρφανισμένος. πρῶτος δ' Ὅμηρος ἐξηγήσατο τὴν λέξιν ἀντιδιαστείλας αὐτὴν πρὸς τὸ Ὀρφανὸς (Ἰλιάδ. Χ, 490 καὶ 496),

Ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθησι·
Τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξε.

ἐμφαίνει δὲ Ἡλιόδωρος Ἑλληνικὸν ἔθος, τὸ τινὰς τῶν τοῖς θεοῖς ὁπωσοῦν ἀνακειμένων ἀμφιθαλεῖς γεγονέναι. ἐν γοῦν τῷ Πυθίων ἀγῶνι τὴν εἰς τοὺς τῶν νικώντων στεφάνους χωροῦσαν δάφνην, μέχρι πολλοῦ ἀπὸ τῶν Θεσσαλικῶν τεμπῶν παῖς ἀμφιθαλὴς ἐκόμιζεν, ὥς φησιν ὁ σχολιάσας τὰ τοῦ Πινδάρου (Ὑποθ. Πυθ.). καὶ ἐν τοῖς γάμοις δ', Ἀθήνησιν, ἔθος ἦν ἀμφιθαλῆ παῖδα ἀκάνθας μετὰ δρυΐνων καρπῶν στέφεσθαι, καὶ λίκνον ἄρτων πλῆρες περιφέροντα λέγειν, Ἔφυγον κακὸν, εὗρον ἄμεινον (Ζηνοβ. Παροιμ. Γ, 98). παρά τε Ῥωμαίοις, οἳ πολλὰ τῶν Ἑλληνικῶν θρησκευμάτων τοῖς ἰδίοις ἐγκατέμιξαν, τοὺς ὑπηρετοῦντας τοῖς ἱεροῖς κούρους καὶ κόρας ἀμφιθαλεῖς γεγονέναι φησὶν ὁ Ἁλικαρνασσεὺς Διονύσιος (Ῥωμ. Ἀρχαιολ. Β, κβ').

Σελ. 37, στ. 6, Οἴκοι καταμεινάντων.] Ἀνθυπέβαλον τὸ, Οἴκοι (τουτέστιν, Ἐν οἴκῳ) τῷ, Οἴκαδε (ὅ ἐστιν, Εἰς οἶκον), αὐτοῦ Ἡλιοδώρου ὑπαγορεύσαντος τὴν διόρθωσιν, ἐξ ὧν προϊὼν (σελ. 51) ἐρεῖ καταλλήλως τῇ χρήσει, «Τούς »τε ὑπολειφθέντας αὐτῶν οἴκοι συλλεξάμενοι». καὶ τὸ τοῦ Λουκιανοῦ δὲ (Δημοσθ. Ἐγκωμ. § 26) ἡμάρτηται, φήσαντος, «Καὶ νῦν ὑπεμνήσθην (τὸ βιβλίον) ἔχων οἴκαδε», ὅ τινες τῶν Κριτικῶν εἰς τὸ, Οἴκοθι τρέπειν παραινοῦσι. ἐνδέχεται μέντοι οὐ τοῖς ἀντιγράφασιν, ἀλλ' αὐτοῖς τοῖς γράψασι τὴν ἀρχὴν ἡμαρτῆσθαι, τῷ μὲν Ἡλιοδώρῳ τὸ «Οἴκαδε »καταμεινάντων», τῷ δὲ Λουκιανῷ, ἢ γοῦν τῷ συγγράψαντι τὸ εἰς τὸν Δημοσθένην ἐγκώμιον, τὸ «Ἔχων οἴκαδε». ἐπεὶ γὰρ ἀπ' αὐτῶν ἤδη τῶν Λουκιανοῦ χρόνων, καὶ ἀνωτέρω, ἤρξατο ἡ νῦν ἐν τῇ συνηθείᾳ ἐπικρατοῦσα χρῆσις τῆς Εἰς προθέσεως ἀντὶ τῆς Ἐν, ὡς ἐστιν εὑρεῖν παρά τε τῷ εἰρημένῳ Λουκιανῷ, λέγοντι κατ' ἀρχὰς τοῦ ἐπιγραφομένου βιβλίου, Λούκιος ἢ Ὄνος, «Ἄνδρα οἰκοῦντα εἰς τὰ Ὕπατα», καὶ

ἄλλοις πλείστοις ὅσοις τῶν κατ᾽ ἐκεῖνον καὶ μετ᾽ ἐκεῖνον ἀκμασάντων συγγραφέων, ἀκόλουθον ἦν τοὺς ἁμαρτήσαντας περὶ τὴν προθετικὴν σύνταξιν, ἁμαρτῆσαι καὶ περὶ τὰ εἰς ἄμφω ταύτας τὰς προθέσεις ἀναλυόμενα, τὸ, Οἴκαδε, φημὶ, καὶ τὸ, Οἴκοι. εἰ γὰρ ἐξῆν λέγειν, Εἰς τὸν οἶκον (ὡς νυν λέγομεν ἅπαντες ἐν τῇ συνηθείᾳ), ἀντὶ τοῦ, Ἐν τῷ οἴκῳ, οὐδὲν ἐκώλυε καὶ, Οἴκαδε, λέγειν ἀντὶ τοῦ, Οἴκοι. πρὸς μέντοι τοὺς λέγοντας, ὅτι καὶ οἱ Ἀττικοὶ συγγραφεῖς (τοιούτους δὲ καλῶ Θουκυδίδην, Πλάτωνα, Ξενοφῶντα καὶ τοὺς κατ᾽ ἐκείνους, ἢ μικρὸν μετ᾽ ἐκείνους, ἀκμάσαντας) ἐχρήσαντο τῇ Εἰς ἀντὶ τῆς Ἐν, καὶ ταύτῃ ἀνάπαλιν ἀντὶ τῆς Εἰς, ἔστιν ἐκεῖνο φάναι, ὅτι πάνυ σπανίως κατηκολούθησαν τῇ τοιαύτῃ χρήσει. οἱ δὲ προστιθέντες, ὅτι καὶ τῶν ἐν τόπῳ καὶ εἰς τόπον ἐπιῤῥημάτων (οἷόν ἐστι τὸ Οἴκοι καὶ τὸ Οἴκαδε) ἀδιάφορος ἦν παρ᾽ αὐτοῖς ἡ χρῆσις, αὐτοσχεδιάζειν ἔμοι γε δοκοῦσι. — Στ. 10, Ἄνεμος Ἐξώστης.] Ὁ τραχὺς, κατὰ Σουΐδαν. εἴρηται δὲ ἀπὸ τοῦ ἐξωθεῖν καὶ παρατρέπειν τοῦ κατ᾽ εὐθεῖαν πλοῦ τοὺς ναυτιλλομένους. ἡ λέξις Ἡροδότειος (Β, ριγ΄.) « Καί μιν, ὡς ἐγένετο ἐν τῷ Αἰγαίῳ, ἐξῶσται » ἄνεμοι ἐκβάλλουσι εἰς τὸ Αἰγύπτιον πέλαγος. » — Στ. 11, Καταιγίζουσαι.] Πρὸς τὸ Λαίλαπες συνέταξε θηλυκὸν ὄν, δέον, Καταιγίζοντες, φάναι, πρὸς τὸ Πρηστῆρες. σημαίνει δὲ ὁ Πρηστὴρ, καθ᾽ Ἡσύχιον, καὶ, Σφοδρὸν ἄνεμον, καὶ Κεραυνόν. Λαίλαψ δὲ, κατὰ τὸν αὐτὸν, ἐστὶν ἀνέμου συστροφὴ μετὰ ὑετοῦ, τουτέστιν ὁ ἐν τῇ συνηθείᾳ καλούμενος Στρόβιλος, καὶ Ἀνεμοστρόβιλος. καὶ σημείωσαι ὅτι καὶ οἱ Ἀρχαῖοι, ἦ φησι Φρύνιχος (σελ. 176), τὴν βίαιον τοῦ ἀνέμου εἴλησιν καὶ συστροφὴν, Στρόβιλον ἐκάλουν, καὶ Συστροβιλῆσαι (ἴσ. Στροβιλῆσαι), τὸ στρέψαι. — Στ. 23, Ὀλλύντων καὶ ὀλλυμένων.] Παρῴδηται ἐξ Ὁμήρου (Ἰλιάδ. Δ, 450),

Ἔνθα δ᾽ ἅμ᾽ οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν,
Ὀλλύντων τε καὶ ὀλλυμένων· ῥέε δ᾽ αἵματι γαῖα.

Σελ. 38, στ. 1, Θεῶν τις.] Ὡς καὶ προϊὼν ἐρεῖ (σελ. 60). ἐν δὲ ταῖς ΔΑ 602 γράφεται, Θεός τις, ἀκόμψως. — Στ. 5, Ὑπερβέβληκε.] Οὕτω καὶ κατωτέρω (σελ. 101). ἐν δὲ τῇ Β, Ὑπερβέβηκε. — Στ. 9. Ἄμοιρον.] Αἱ ΑΑ, Ἀμοιρού-

της, κατὰ γενικὴν μετοχικήν· ὅπερ ἴσως ἄμεινον, παραπλησίως ἔχον τοῖς ἐν τοῖς ἑξῆς (σελ. 46), « Παντάπασίν ἐστι τοῦ » προσήκοντος ὑστερούντων », καὶ αὖθις (σελ. 352), « Ἐοι- » κε . . . θεηλατουμένων εἶναι, καὶ δυσμενείας κρείττονος πειρωμένων ». — Στ. 13, Ὅταν καὶ τὴν τιμὴν ἀνακτήσῃ τῆς προφητείας.] Ἐν ταῖς ΔΑ 552 γράφεται, Ὅταν καὶ τὴν ἱερωσύνην καὶ τὴν τιμὴν ἀνακαλέσῃ τῆς προφητείας. καὶ τὸ μὲν Ἀνακαλέσῃ (ὅπερ ἐμφέρεται καὶ ἐν τῇ Β,) οὐκ ὀρθῶς λέλεκται· τὸ δὲ, Καὶ τὴν ἱερωσύνην, οὐ κακῶς ἔοικε προστεθεῖσθαι, ἐπεὶ καὶ δι' ὅλης ταύτης τῆς Μυθιστορίας Ἡλιόδωρος συνωνύμως κέχρηται τῷ, Προφητεία, καὶ τῷ, Ἱερωσύνη, ὡς καὶ τῷ, Προφήτης, καὶ τῷ, Ἱερεύς. οἱ γὰρ ἱερεῖς ἦσαν ἅμα καὶ προφῆται, διὰ τὸ προμηνύειν εἴτ' ἐκ τῶν σπλάγχνων τῶν θυομένων ζώων, εἴτ' ἐκ τῆς τῶν ὀρνέων πτήσεως, ἢ ἐξ ἄλλων τινῶν συμβόλων, ἢ σημείων, τὰ μέλλοντα. ὅθεν καὶ Πλούταρχος (περὶ τοῦ Σωκρ. δαιμον. § 7,) τῆς αὐτῆς ταύτης Μέμφεως, περὶ ἧς ἐνταῦθα ὁ λόγος, Προφήτην ὀνομάζει, Χόνουφιν τὸν ἱερέα, ᾧ συνεγένετο Πλάτων, ὅτε εἰς Αἴγυπτον πόθῳ τῆς Αἰγυπτίων σοφίας παρεγένετο. — Στ. 14, Εὐθυμότερος ἂν ἄγοιτο.] Ἴσως ἄμεινον ἐπιῤῥηματικῶς γράφειν, Εὐθυμοτέρως. προσέθηκα δὲ τὸν, Ἂν, σύνδεσμον, ὃν παρέλιπον οἱ Ἀντιγραφεῖς, πλανηθέντες ὑπὸ τῆς ὁμοιότητος τῶν δύο πρώτων στοιχείων τοῦ ἑπομένου, Ἀγοιτο. ταύτης δὲ τῆς ὁμοιότητος ἕτερον ἁμάρτημα παραθέσθαι οὐκ ἄκαιρον ἴσως τὸ παρὰ Πλουτάρχῳ (περὶ τῶν ὑπὸ τοῦ θείου βραδ. τιμωρουμ. § 18), « Ψυχὴν » ἀνδρὸς ἀσεβοῦς καὶ παρανόμου μετὰ θάνατον ἐφορῶσαν . . . » παῖδας, ἢ φίλους, ἢ γένος οἰκεῖον αὐτῆς, ἀτυχήμασι χρω- » μένους μεγάλοις δι' αὐτὴν, καὶ δίκην τίνοντας, οὐδεὶς ἊΝ » ἈΓΑΠΉΣΕΙΕΝ αὖθις ἐπὶ ταῖς τοῦ Διὸς τιμαῖς ἄδικον » γενέσθαι καὶ ἀκόλαστον »· ὅπου γραπτέον « . . . οὐδεὶς » ἊΝ ἈΝΑΠΕΊΣΕΙΕΝ ». — Στ. 25, Ἑκών τε τὸ μέρος καὶ ἄκων.] Ὅλον τοῦτο τὸ περὶ τῆς ἀναβολῆς τοῦ γάμου χωρίον ἐμιμήσατο καὶ Ἀχιλλεὺς ὁ Τάτιος (Δ, ζ΄.), ἀντιθεὶς τῇ μὲν Χαρικλείᾳ τὴν Λευκίππην, τῷ δὲ λῃστάρχῳ Θυάμιδι τὸν στρατηγὸν Χαρμίδην. διαφέρει δὲ ἡ σοφιστικὴ τοῦ Τατίου ἐν τούτοις ἀπεραντολογία, τῆς κομψοτάτης καὶ γραφικῶς

διατετυπωμένης ἀφηγήσεως τοῦ Ἡλιοδώρου, ὅσῳ διαφέρουσιν ἀνθρώπων πίθηκοι.

Σελ. 39. σ7. 10, Ηὐτρεπισμένους.] Οὕτως ἔγραψα τὸ πᾶσι πρὸ ἐμοῦ ἀναυξήτως ἐξενεχθὲν, Εὐτρεπισμένους. — Στ. 11, Ποιησομένους.] Ἀπήλειψα τὸν σόλοικον ἀόριστον, Ποιησαμένους. — Στ. 16, Ἁβροτέραν.....καί πη κ. τ. λ.] Ἀπήλειψα τὸ περιττὸν ἄρθρον, Τήν. ἀντὶ δὲ τοῦ Καὶ εἴπῃ, ἴσως μὲν ἐχρῆν γράφειν, Καὶ ἔτι, ὡς καὶ ὁ Λ ἔοικεν ἐκδεδέχθαι *Atque etiam*· προειλόμην μέντοι γράψαι, Καί πη, ἐξελὼν τὸν συναπτικόν. ἰσοδυναμεῖ δὲ τοῦτο ἐνταῦθα τῷ, Καί ποτε, ὅπερ ἐξέφρασε καὶ ὁ Λ διὰ τοῦ *Quelquefois*. καὶ ἐν τῇ συνηθείᾳ δὲ, ἐπὶ χρονικῆς σημασίας, ἀδιαφόρως χρώμεθα τῷ τε χρονικῷ, Κάποτε, καὶ τῷ τοπικῷ, Κάπου. ἅπερ ἐστὶ ἀντὶ τοῦ, Κάμποτε, καὶ, Κάμπου, διὰ τοῦ μ̄ (ὡς ἀπὸ τοῦ Κἂν ποτε καὶ Κἂν που), καθά φαμεν καὶ Καμμία, ἀπὸ τοῦ Κἂν μία, καὶ Καμπόσος, ἀπὸ τοῦ Κἂν πόσος. — Στ. 21, Καταναγκασθείη.] Ὤφειλεν εἰπεῖν Καταναγκασθῆναι, ἵν' εἶχε συνηρτῆσθαι τῷ προηγησαμένῳ, Γίγνεσθαι· ὁ δὲ ὡς ἀπ' ἄλλης ἀρχῆς ὑπακουομένης τῆς, Ὡς μὴ (ὅπερ ταυτὸ δύναται τῷ, Τοῦ μὴ), συνάψας ἐξήνεγκε κατ' εὐκτικὴν ἔγκλισιν.

Σελ. 40, σ7. 3, Μαστεύων.] Ζητῶν, ἐρευνῶν. λέγεται δὲ καὶ, Ματεύων, δίχα τοῦ σ̄. ἅπαξ ἐχρήσατο τῇ λέξει Ὅμηρος (Ἰλιάδ. Ξ, 110)· συνεχέστερον δ' Εὐριπίδης. — Στ. 9, Ἢ μή τι πεπόνθοι.] Ἐξήλειψα τὸν κακῶς παρεισδύντα συναπτικόν· πλὴν εἰ μή τις προέλοιτο γράφειν, Ἤ εἴ τι πεπόνθοι, ἐξαλείψας τὸ, Μή. — Στ. 11, Ὅρκων μὲν καὶ σπονδῶν κ. τ. λ.] Ἐξ Ὁμήρου (Ἰλιάδ. Δ, 158),

Οὐ μέν πως ἅλιον πέλει ὅρκιον, αἷμά τε ἀρνῶν,
Σπονδαί τ' ἄκρητοι, καὶ δεξιαὶ, ᾗς ἐπέπιθμεν.

Στ. 16, Τὴν κατ' ἐμοῦ.] Οὕτως αἱ ΑΑ, ὀρθῶς· καὶ γὰρ καὶ ἐν τοῖς ἑξῆς (σελ. 156) ἐρεῖ, « Τὴν ἐπ' αὐτῇ δοκιμασίαν ἔχοντα ». — Στ. 18. Εἰ δὲ μὴ, γίγνεται.] Τῶν πρὸ ἐμοῦ μὴ σιξάντων εἰς τὸ, Εἰ δὲ μὴ, ἀσαφὲς ἐγίνετο τὸ χωρίον· ὁ γὰρ Λ μετέφρασε, *Nisi contrarium potius eveniat*, ὅπερ ἐστὶν, Εἰ δὲ μὴ γίγνεται τοὐναντίον. οὐ τοῦτο δὲ βούλεται λέγειν

ἡ Χαρίκλεια τῷ Θεαγένει, ἀλλὰ, Εἰ δὲ μὴ ἀνυπόπτως ἔχεις πρός με, τουτέστιν, εἰ δὲ μὴ πιστεύεις μοι, γίγνεται τοὐναντίον κ. τ. λ.

Σελ. 41, στ. 1, Τό τε.] Οὕτω γραπτέον διῃρημένως, ἢ γοῦν, ὥς τινες γράφουσι, Τό, τε, μεθ' ὑποδιαστολῆς, καὶ οὐχ ὡς οἱ πρὸ ἐμοῦ ἐπιῤῥηματικῶς, Τότε. — Στ. 3, Ἀπὸ τῆς σῆς ὁμιλίας.] Ἐκ δύο γραφῶν ἡμαρτημένων, τῆς τε, Ἀπὸ τῆς ὁμιλίας, ἥπερ ἐμφέρεται ἐν τῇ Β καὶ ταῖς ΑΑ καὶ τῆς, Ἀπὸ σῆς ὁμιλίας, ἣν ἔχουσιν οἱ λοιποὶ, οὐ χαλεπῶς διεσκεύασα τὸ χωρίον, γράψας, Ἀπὸ τῆς σῆς ὁμιλίας. ἀντὶ δὲ τοῦ, Φυλάττουσα, ἐν ταῖς ΚΑ καὶ ΑΑ γράφεται, Φυλάξασα. — Στ. 5, Ἐπὶ παισί.] Οὕτω διώρθωκα τὸ παρ' ἅπασι τοῖς πρὸ ἐμοῦ ἐμφερόμενον, Ἐπὶ πᾶσι, ὅπερ ὁ Λ, *Post omnia* μετέφρασε. Γάμον ἐπὶ παισὶν ἐκάλουν οἱ Ἀρχαῖοι τὸν ἔννομον καὶ ἐπὶ παιδογονίᾳ γιγνόμενον γάμον, ἀντιδιαστέλλοντες πρὸς τὴν μόνης ἡδονῆς ἕνεκα γιγνομένην ἀνδρὸς πρὸς γυναῖκα ἄθεσμον μίξιν. καὶ ἔστι παραθέσθαι αὐτὸν Ἡλιόδωρον μαρτυροῦντα, ἐν οἷς προϊὼν (σελ. 445) ἐρεῖ, « Ξυνωρίδα ταύτην » γαμηλίοις νόμοις ἀναδείκνυμι, καὶ συνεῖναι θεσμῷ παιδο» γονίας ἐφίημι ». ἔλεγον δὲ τὸν αὐτὸν τοῦτον ποιητικώτερον καὶ « Γάμον ἐπ' ἀρότῳ παίδων γνησίων », ὡς ἔστιν ἰδεῖν παρὰ τῷ Χαριεστάτῳ Λουκιανῷ (Τίμ. ἢ μισάνθρ. § 17), καὶ τῷ πιθηκωδῶς καταισχύνοντι τὰ παρ' ἄλλοις καλὰ Ἀρισταινέτῳ (Α. Ἐπιστολ. ιθ'). — Στ. 11, Σαυτῆς.] Ἐν ταῖς ΑΑ, Σὺν αὐτῆς· ἐν δὲ ταῖς ΔΑ 159 ἐμφέρεται, Ἑαυτῆς· οὐδὲ τοῦτο κακῶς, ἐπεὶ καὶ προϊὼν (σελ. 65,) ἐρεῖ « Γέγονας ἡμῖν αὐτάγγε» λος τῶν ἑαυτῆς συμφορῶν ». οἱ γὰρ Ἀττικοὶ τῷ Ἑαυτοῦ ἀδιαφόρως ἐοίκασι χρῆσθαι καὶ ἐπὶ τῶν τριῶν προσώπων, ὡς ἔστιν ἰδεῖν παρὰ τοῖς ἀρίστοις τῶν συγγραφέων· οὓς ζηλώσας Ἡλιόδωρος ἐρεῖ καὶ ἐν τοῖς ἑξῆς (σελ. 307), Ἑαυτοῦ, ἀντὶ τοῦ, Ἐμαυτοῦ, καὶ (σελ. 430), Ἑαυτῆς, ἀντὶ τοῦ Ἐμαυτῆς. ἐν μέντοι τῷ προκειμένῳ χωρίῳ, ἀναγνωστέον ἐμοὶ δοκεῖ οὔτε, Ἑαυτῆς, οὔτε, Σαυτῆς, ἀλλὰ, Σὸν αὐτῆς· τὸ γὰρ τῶν ΑΑ Σὺν αὐτῆς, οὐδέν ἐστιν ἕτερον, ἢ προφανῶς ἡμαρτημένη γραφὴ τοῦ, Σὸν αὐτῆς. τῶν Ἀττικῶν δ' οὐδὲν ἧττον εἶναι καὶ τὸ τὰς κτητικὰς τῶν ἀντωνυμιῶν προτιθέναι τῶν ἀναφο-

ρικῶν, οὐ χαλεπόν ἐστι πιστώσασθαι παραθεμένους, τοῦτο μὲν, τὸν Κωμικὸν (Πλούτ. 33) λέγοντα,

Τὸν ἘΜῸΝ μὲν ἈΥΤΟΥ͂ τοῦ ταλαιπώρου σχεδὸν
Ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον,

τοῦτο δὲ, τὸν Σοφοκλέα (Ἠλέκτρ. 251),

Ἐγὼ μὲν, ὦ παῖ, καὶ τὸ ΣῸΝ σπεύδουσ' ἅμα,
Καὶ ΤΟΥΜῸΝ ἈΥΤΗ͂Σ, ἦλθον..........

Στ. 23, Καὶ ἡ Χαρίκλεια.] Οὕτως αἱ ΑΑ, μετὰ τοῦ συνδέσμου.

Σελ. 42, σ7. 1, Φόβους.] Ἐξήλειψα τὸ ἄρθρον, Τούς· πλεονάζει γὰρ πάνυ σολοίκως. — Στ. 17, Πολλὰ μία ἡμέρα κ. τ. λ.] Ἴσως ἐκ Σοφοκλέους (Αἴαντ. 131),

Ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
Ἅπαντα τἀνθρώπεια.........

ἧς ἐννοίας ἔχεται καὶ τὸ τοῦ Πινδάρου (Ὀλυμπ. Ζ, 173),

................ Ἐν
Δὲ μιᾷ μοίρᾳ χρόνου,
Ἄλλοτ' ἀλλοῖαι διαιθύσσουσιν αὖραι.

ὁ δὲ Ἀχιλλεὺς Τάτιος (Α, ή.) οὕτως ἐξέφρασε τὴν Ἡλιοδώρειον γνώμην, «Καὶ γὰρ εἰς τὴν προθεσμίαν τῶν γάμων » χρόνος ἐστὶν ἡμερῶν. πολλὰ δ' ἂν γένοιτο καὶ ἐν νυκτὶ μιᾷ· » καὶ μετὰ (γρ. κατὰ) σχολὴν ζητήσομεν». τῆς αὐτῆς δέ πως ἐννοίας ἔχεται καὶ τὸ ἐν τῇ συνηθείᾳ παροιμιῶδες, ἐπὶ τῶν ἐνδεχομένων συμφορῶν ὡς ἐπὶ τὸ πολὺ λεγόμενον, «Τὰ »φέρει ἡ ὥρα, χρόνος δὲν τὰ φέρει». καὶ σημείωσαι ἐν παρόδῳ τὸ ἀρκτικὸν τῆς παροιμίας, Τὰ, Ἰωνικῶς ἀντὶ τοῦ, Ἃ, παραληφθέν. εὑρήσεις δὲ τοῦτο καὶ ἐν ἑτέραις παροιμίαις, οἷον, «ΤᾺ, ὡς δὲν θέλεις, γίνονται, θέλε τα καὶ ὡς γίνονται», καὶ, «ΤᾺ κιρνᾷς, χάνεις, καὶ ΤᾺ χρεωστεῖς, πληρώνεις». καὶ ἔοικεν ὁ Ἰωνισμὸς οὗτος τὴν ἀρχαιότητα τῶν εἰρημένων παροιμιῶν κατελέγχειν, καίπερ καὶ ἐν ποιήμασιν, οἷά ἐστιν ὁ καλούμενος Ἐρωτόκριτος, καὶ ἄλλα, οὐ σπανίου τῆς τοιαύτης χρήσεως οὔσης. — Στ. 19, τοῦτό τοι.] Ἐλλειπτικῶς τῆς Διά, ὡς καὶ ἐν τοῖς ἑξῆς (σελ. 363). ἐχρήσατο καὶ Λουκιανὸς εἰπὼν (Νιγρίν. § 37) «Τοῦτό τοι καὶ ἥδονται καὶ » δακρύουσι μεταξὺ ἀκούοντες». ἔστι δὲ ταὐτὸν τῷ, Ταῦτα

τοι, ἢ, Ταῦτ' ἄρα (καὶ ἐν τούτοις τῆς προθέσεως συνυπακουομένης)· πλὴν ὅτι μόνῳ τῷ, Ταῦτα, ἐλλειπτικῶς οἱ Ἀρχαῖοι ἐχρῶντο, τὸ δὲ ἑνικὸν, Τοῦτο, κατὰ τὸ πλῆρες ἐκφέρειν προείλοντο. δῆλον δὲ τοῦτο καὶ ἐκ τοῦ Ξενοφῶντος (Κύρ. Ἀναβ. Δ, σελ. 188) «ΤΑΥ͂ΤΑ ἐγὼ ἔσπευδον, καὶ ΔΙᾺ » ΤΟΥ͂ΤΟ σὲ οὐχ ὑπέμενον». — Στ. 20, Τὸ παρὸν ἐπινοίαις ὑπερεθέμην ταῦτα, τὰ πρόδηλα κ. τ. λ.] Τὸ, Ἐπινοίαις, ἐκ τῆς Β· ἡ δὲ τοῦ, Ταῦτα, προσθήκη ἐκ τῶν ΑΑ. ἐρεῖ δὲ καὶ προϊὼν (σελ. 241) «Τὸν γάμον. . . διεκρουσάμην ἐπινοίαις». τὸ δὲ, Τὸ παρὸν, ἐνταῦθα οὐ πρὸς τὸ, Ὑπερεθέμην συντακτέον, ἀλλ' ἐπιῤῥηματικῶς ἐκληπτέον, ὡς τὸ, Τὸ νῦν, ἢ Τὰ νῦν. καὶ ἔστιν εὐεπίφορος εἰς τοῦτο ὁ Ἡλιόδωρος, οἷον (σελ. 200) «Ἔγνων τὸ παρὸν ὑπερθέσθαι χρησταῖς ἐπαγγελίαις»· καὶ αὖθις (σελ. 303), «Πρόφασις τὸ παρὸν » ὑπερθέσεως ἐπινενόηται». λέγει δὲ καὶ ἡ συνήθεια ἐλλειπτικῶς, Τὸ παρὸν, καὶ συνεχέστερον ἐντελῶς, Κατὰ τὸ παρόν.

Σελ. 43, στ. 15, Φόνους ἴσους.] Ἀντὶ τοῦ Φόνους, ἐν τῇ Β γράφεται, Πόνους· ὃ δὴ καὶ προείλετο ὁ Α ἐν τῇ μεταφράσει. ὀρθῶς μέντοι ἔχειν τὴν γραφὴν, Φόνους, δηλοῖ μὲν τὸ προηγησάμενον, Τραύματα, δηλοῖ δὲ καὶ τὸ ἐν τοῖς ἑξῆς (σελ. 50), «Τοὺς μὲν τρώσαντας, τοὺς δὲ ἀνελόντας». ἀντὶ δὲ τοῦ, Ἴσους, ὁ Κ εἰκάζει γεγράφθαι τὴν ἀρχὴν, Ἴσως. — Στ. 16, Ὅ, τί ποτε λέγοι.] Οὕτως αἱ ΑΑ. — Στ. 23, Ἀλλ' αὐτός τε ἔνδυναι.] Ἔτρεψα τὸν σόλοικον, Γε, εἰς τὸν, Τε. δῆλον δὲ τοῦτο καὶ ἐκ τῶν Ὁμήρου (Ἰλιάδ. Β, 191)

ἈΛΛ' ΑΥ̓ΤΟ͂Σ ΤΕ κάθησο, ΚΑῚ ἌΛΛΟΥΣ ἵδρυε λαούς,

καὶ (Ἰλιάδ. Ο, 475),

ΜΑ͂ΡΝΑΟ ΤΕ Τρώεσσι, ΚΑῚ ἌΛΛΟΥΣ ὄρνυθι λαούς·

ἃ προφανῶς ἐνταῦθα παρῳδεῖ Ἡλιόδωρος.

Σελ. 44, στ. 1, Ὑπερκύπτοντας.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. ἀναφέρεται δὲ πρὸς τὸ σημαινόμενον διὰ τῆς λέξεως Πλῆθος, κατὰ τὸ, Φάσαν ἡ πληθύς (Ἰλιάδ. Β, 278). — Στ. 3, Ἀνιείς.] Οὕτως ἐν ἅπασι γέγραπται· ἄμεινον δὲ γράφειν, Ἀνεὶς, κατὰ τὸν ἀόριστον. — Στ. 13, Ὁ δὲ πόλεμος ἡμῖν

μελήσει. ] Ἑτέρα παρῳδία ἐξ Ὁμήρου (Ἰλιάδ. Ζ, 490),

Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε,
Ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
Ἔργον ἐποίχεσθαι· ΠΟ'ΛΕΜΟΣ Δ' Α'ΝΔΡΕΣΣΙ ΜΕΛΗ'ΣΕΙ.

ταῦτά φησιν Ἕκτωρ πρὸς Ἀνδρομάχην τὴν ἰδίαν γυναῖκα. ὁ δὲ χαριέστατος Ἀριστοφάνης, τὰ σπουδαίως Ὁμήρῳ πεποιημένα, εἰς τὸ γελοιότερον παρῳδήσας, τὰς γυναῖκας αὐτὰς παράγει λεγούσας πρός τοὺς ἰδίους ἄνδρας, καὶ παρακελευομένας αὐταῖς παραδοῦναι, ὡς ἄμεινον διαθησομέναις, τὰ κατὰ τὸν πόλεμον (Λυσιστρ. 536),

Κᾆτα ξαίνειν ξυζωσάμενος,
Κυάμους τρώγων·
Πόλεμος δὲ γυναιξὶ μελήσει.

Στ. 23, Σύλων.] Ἐκ τῶν ΚΑ καὶ ΛΑ.

Σελ. 45, σΊ. 1, Τὸν οὐδόν.] « Οὐδὸς (φησὶν ὁ Σουΐδας), » φλιά, βατήρ, τὸ κάτω τῆς θύρας ». ἔστι δὲ τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον, Κατώφλιον, τουτέστιν ἡ κάτω φλιὰ τῆς θύρας. οὗτος τοίνυν ὁ τῆς θύρας οὐδὸς ἦν, ὡς ἂν εἴποι γε Σοφοκλῆς (Οἰδ. Κολ. 1590), « Καταῤῥάκτης ὀδὸς », ἤγουν ἐγίγνετο ἄλλη θύρα, δι' ἧς ἀνοιγομένης κατίεσαν ὑπὸ γῆν. τὴν δὲ τοιαύτην θύραν ἡ συνήθεια Κλαβανὴν ὠνόμασε, οὐδὲ τούτου ἴσως τοῦ ὀνόματος ἀπηλλοτριωμένου τῆς ἀρχαίας φωνῆς, ὡς ἔστιν εἰκάσαι ἐκ τοῦ Ἡσυχίου, παρ' ᾧ εὕρηται, « Αἰβάνη, θύρα », εἴτε τῶν ἀντιγραψάντων κακῶς τό, Κλαιβάνη, ἤ, Κλιβάνη, μεταποισάντων ἐκ τοῦ κ εἰς τὸ α στοιχεῖον, εἴτε καὶ τῆς συνηθείας αὐτῆς, οἷα φιλεῖ γίγνεσθαι, μεταποιησάσης τὸ Αἰβάνη εἰς τὸ Κλαβανὴ ἢ Κλαιβανή· ἀμφοτέρως γὰρ λέγεται. καὶ ὁ μὲν Ἡρόδοτος (Ε, ις'), Θύρην καταπακτὴν, εἴρηκε τὴν παρ' ἡμῖν Κλαβανήν· Πλούταρχος δὲ, Θύραν καταῤῥακτὴν (ἐν Ἀράτ.), καὶ Θύραν ἐπιῤῥακτήν (πρὸς Ἡγεμ. ἀπαίδ. § 4). — Στ. 13, καὶ ὡς εἰς ἑσπέραν ... φοιτήσειν κατεπαγγειλάμενος.] Περιττὸν τὸ Ὡς, χωρὶς εἰ μή τις φαίη Ἀττικῶς παρέλκειν, κατὰ τὸ « Ἀπέπλεον ὡς ἐς τὰς Ἀθήνας », ἢ τὸ Σχεδὸν, σημαίνειν, κατὰ τὸ, « Ὡς τέσσαρα στάδια », ἵνα ᾖ, Οὐκ ἀκριβῶς εἰς ἑσπέραν, ἀλλὰ περί που τὴν ἑσπέραν. εἰκὸς δὲ καὶ ἀντὶ τοῦ, Ὅτι, παρειλῆφθαι, ἵνα ᾖ τὸ ἑξῆς, Κατεπαγγειλάμενος

αγγειλάμενος ὡς εἰς ἑσπέραν φοιτήσει, κακῶς τῶν ἀντιγραφέων, Φοιτήσειν, ἀπαρεμφάτως γραψάντων. ἐρεῖ γὰρ καὶ προϊὼν (σελ. 328,) « Καὶ ὡς ἑκοῦσα ἐπιβήσεται τῆς πυρᾶς » ἐπαγγειλαμένη ». — Στ. 16, Διαδρᾶναί οἱ τὴν μάχην.] οὕτως αἱ ΚΑ καὶ ΑΑ. τουτέστι Διαδρᾶναι αὐτῷ (ἤγουν τῷ Θεαγένει) τὴν μάχην, ὡσανεὶ ἔλεγε, Διαδρᾶναι διὰ τὸν Θεαγένην, ἢ χαριζόμενος τῷ Θεαγένει, τὴν μάχην, ἵνα δηλονότι σώσῃ τὸν Θεαγένην. δύναται δὲ ἡ ἀντωνυμία, Οἱ, καὶ ἐκ περιττοῦ κεῖσθαι, ἢ καὶ ἐξηρτῆσθαι τοῦ Ὑποθέσθαι, ἢ Συμβουλεῦσαι, ἢ Παραινέσαι, ἢ ἄλλου του ῥήματος τοιούτου, ἀβλεψίᾳ τῶν ἀντιγραψάντων παραλειφθέντος, ἢ καὶ προσυπακουομένου κατὰ σχῆμα τὸ λεγόμενον, Ἐξ ἀναλόγου (Ἴδε Εὐστάθ. Ὀδύσσ. Γ, 289). Καὶ ἔσται ὁ νοῦς, Ἀλλ' ὑποθέσθαι αὐτῷ διαφυγεῖν τὴν μάχην. ἐνδέχεται μέντοι καὶ γραφικῶς ἡμαρτῆσθαι τὸ, Οἱ, ἀπὸ τῆς διφθόγγου τοῦ Διαδρᾶναι, διὰ τὴν ὁμοιότητα, παραπλασθὲν, καθὰ καὶ ἐπὶ τῆς ἑτέρας γραφῆς, Διαδρᾶσαι σοι, τῷ Σαι, τὸ, Σοι, παρεπλάσθη. — Στ. 22, Μονονουχὶ ζῶσαν κ. τ. λ.] Τοῦθ' ὃ καὶ ἡ παρὰ τῷ Σοφοκλεῖ (Ἀντιγ. 919) Ἀντιγόνη περὶ ἑαυτῆς λέγει,

Ἀλλ' ὧδ' ἔρημος πρὸς φίλων ἡ δύσμορος,
Ζῶσ' εἰς θανόντων ἔρχομαι κατασκαφάς.

Σελ. 46, στ. 10, Τούτους.] Οὕτως αἱ ΑΑ, κατ' αἰτιατικήν· ὁ γὰρ νοῦς, Τούτους, ὧν οἱ πολέμιοι ἐν αὐτῷ ἤδη τῷ ἐργάζεσθαι τὰ τοῦ πολέμου εἰσὶ, μὴ κατὰ τάχος διὰ τῶν αὐτῶν ἔργων ἀμύνεσθαι κ. τ. λ. — Στ. 13, Ὁ Λόγος.] Ἐνάρθρως, ἐκ τῶν ΑΑ. ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (σελ. 411), « Περὶ βασιλείας γὰρ... ὁ λόγος », τῆς χρήσεως ἐν τοῖς τοιούτοις ἀπαιτούσης πάντως τὸ ἄρθρον. — Στ. 16, Ὅσα καὶ νικᾶν περιγίγνεται.] Αἱ ΑΑ, Ὅσα καὶ νικᾶν περιγίνηται. ἀλλ' οὐδετέρα τῶν γραφῶν ἔρρωται· ὤφειλε γὰρ εἰπεῖν, Ὅσα ἐκ τοῦ νικᾶν, ἢ, τῷ νικᾶν, ἢ γοῦν, τοῖς νικῶσι περιγίγνεται. — Στ. 19. Ἔνσπονδον.] Ἐκ τῶν ΑΑ. — Στ. 20, Τοὺς ἁλόντας.] Περιττὸν τὸ ἄρθρον, καί πως καὶ ἀδιανόητον ἀπεργάζεται τὸ λεγόμενον, ὥσπερ ἂν εἰ οὕτως ἐκπέφραστο, Ἀναγκαῖον τοὺς ἁλόντας ἢ περιεῖναι κρατοῦντας, ἢ τεθνάναι. ἴσως ἐγέγραπτο πάλαι, Ἢ τεθνάναι τούτους ἁλόντας ἀναγκαῖον. — Στ.

21, Τεθηγμένοι.] Ἐχρήσατο ἐν τοῖς πρόσθεν (σελ. 43), τῷ Θήγειν, κυρίως, ἐπὶ τοῦ, Ἀκονᾷν· ἐνταῦθα δὲ μεταφορικῶς, ἀντὶ τοῦ, Παρορμᾷν, παροξύνειν, ἐνισχύειν. ἔστι δὲ ταύτης τῆς σημασίας ὅσα πλεῖστα μαρτύρια παραθέσθαι ἔκτε τοῦ περὶ Κύρου παιδείας τοῦ Ξενοφῶντος, καὶ πολλῶν ἄλλων ἀρίστων συγγραφέων. — Στ. 24, Ἐκάλει.] Ἐν ταῖς ΑΑ γράφεται, Ἀνεκάλει. ὅπερ ἴσως ἄμεινον.

Σελ. 47, στ. 9, Ἀφόρητον] Ἡμάρτηται τὸ, Ἀπόῤῥητον, τῶν ΔΑ 63. — Στ. 10, Κατάκροτος.] Κακῶς ἐν ταῖς ΑΑ, Κατάκρατος· τὸ δὲ Κατάκροτος, ὅπερ οὔπω κατεγράφη ἐν τοῖς Λεξικοῖς, σημαίνει ἐνταῦθα, θορυβώδης, οἷα φιλεῖ γίγνεσθαι παρὰ τὰς μάχας ἢ συμμιγὴς τῶν πολεμούντων βοή. ἔχοι δ' ἄν τις ἄλλως καὶ ἐπ' εὐφημίας τῆς μετὰ κρότου γιγνομένης χρήσασθαι τῇ λέξει· καὶ γὰρ καὶ τὸ, Κατακροτεῖ, Ἡσύχιος ἐξηγεῖται διὰ τοῦ, « Ἄγαν ἐπαινεῖ. κατευφη- » μεῖ ». ἐν δὲ τῷ Περὶ τῶν τῆς συντάξεως σχημάτων συνταγματίῳ, ὃ προσετέθη τῷ Ἐνετίῃσιν ἐκδοθέντι, ἐν ἔτει 1757, τετάρτῳ τῆς Θεοδώρου τοῦ Γαζῆ Γραμματικῆς βιβλίῳ, σελ. 84, ὅλον τουτὶ τὸ χωρίον τοῦ Ἡλιοδώρου, ὁ τὸν Θεόδωρον ἐκδοὺς, παρὰ τυφλῷ Τυπογράφῳ, οὐ πανυ τι ὀξὺ δεδορκὼς αὐτὸς, οὕτως ἀθλίως καὶ παρῴδησε καὶ μετέγραψε· « Νομί- » σατε ὁρᾷν ἁλισκομένην τὴν Τροίαν, καὶ τὴν μὲν φλόγα τὰ » οἰκοδομήματα ΝΕΜΟΜΕ'ΝΗΝ, Ε'Π'Ι Δ'Ε ΤΟ'ΥΣ » Ο'ΦΘΑΛΜΟ'ΥΣ ΜΕ'ΛΑΝ Ε'ΜΠΥΡΟΝ, Κ'ΑΠ'Ι » Τ'ΗΝ Α'ΚΟ'ΗΝ Η'Χ'ΗΝ ΚΑΤΑ'ΚΡΙΤΟΝ Ε'ΠΙ- » ΦΕΡΟΜΕ'ΝΗΝ, τοὺς δὲ πολεμίους, ἄνδρας ἀποκτείνον- » τας, γυναῖκας ἄγοντας ». — Στ. 13, Τῶν δέ.] Τουτέστι, τῶν ἐπεληλυθότων λῃστῶν. — Στ. 22, Καθ' ὅ.] Ἄμεινον οὕτω γράφειν διῃρημένως· ἀναφέρεται γὰρ εἰς τὸ Ὄναρ. — Στ. 25, Καὶ πρὸς τὰ ἐναντία τῶν προτέρων.] Ἴσως περιττὸς ὁ σύνδεσμος. ὁ δὲ νοῦς, ἔκρινε νῦν τὸ ὄναρ ἐναντίως τῇ πρόσθεν (σελ. 32) κρίσει.

Σελ. 48, στ. 1, Συνέβαλλεν.] Οὕτως ἡ Β, κατὰ τὸν παρατατικόν. ἐν δὲ ταῖς ΚΑ καὶ ΑΑ, Μετέβαλεν. — Στ. 2, Ἀφαιρεθείσης.] Ἴσως, Ἀφαιρεθείς· οἷον καὶ ἐν τοῖς ἑξῆς (σελ. 83), « Παίδων » πρὸς λῃστῶν ἀφαιρεθείς ». — Στ. 4, Ὡς δολερὰν ὀνειδίσας.]

Καὶ Κροῖσος παραπλησίως ὡς ψεύστην τε καὶ ἀχάριστον ὀνειδίζει τὸν Ἀπόλλωνα, ἀπαληθεὶς ὑπὸ τοῦ χρησμοῦ (Ἡρόδοτ. Α, 90). καὶ Ξέρξης ἔπειτα, διαλυθείσης ὑπὸ χειμῶνος τῆς γεφύρας, πληγὰς ἐκέλευσεν ἐμφορῆσαι τῷ Ἑλλησπόντῳ, «Ὡς ἐόντι καὶ ΔΟΛΕΡΩι τε καὶ ἁλμυρῷ ποταμῷ (Αὐτ. Ζ, 35)». ἡ τῶν τριῶν ἄρα τούτων βαρβάρων βάρβαρος μεμψιμοιρία, σοφὸν εἰς τὰ μάλιστα, ἀποφαίνει τὸν Ἐπίκτητον εἰπόντα, «Ἀπαιδεύτου ἔργον τὸ ἄλλοις ἐγκαλεῖν ἐφ' » οἷς αὐτὸς πάσχει κακῶς». — Στ. 8, Κλοπεύοντας.] Ἴσως ἔγραψεν Ἡλιόδωρος, Κλοτοπεύοντας, ὅ ἐστι διατρίβοντας καὶ παρακλέπτοντας τὸν καιρὸν, καὶ φυγομαχοῦντας· παρῳδεῖν γὰρ ἔοικεν ἐνταῦθα τὸ τοῦ Ὁμήρου (Ἰλιάδ. Τ, 148),

........................Νῦν δὲ μνησώμεθα χάρμης
Αἶψα μάλ'· οὐ γὰρ χρὴ ΚΛΟΤΟΠΕΥΕΙΝ ἐνθάδ' ἐόντας,
Οὐδὲ διατρίβειν..........................

τὸ δὲ Κλοπεύειν (ἢ, ὡς ἕτεροι γράφουσι, Κλωπεύειν, ἀπὸ τοῦ Κλώψ) οὐδέν τι σχεδὸν πλεῖον βούλεται σημαίνειν τοῦ Κλέπτειν. — Στ. 16, Ἑαυτοῦ.] Ἐκ τῶν ΑΑ ἡ γραφή. — Στ. 17, Συνέσεσθαι.] Ἐν ταῖς ΚΑ, Συνέπεσθαι· ἴσως ἐξ ἀμείνονος γραφῆς τῆς, Συνέψεσθαι. — Στ. 18, Ἀπατώμενον.] Τουτέστι, κακῶς οἰόμενον, ὡς καὶ ἐν τοῖς πρόσθεν (σελ. 25), «Παρόντος ἀκούειν ἀπατῶμαι». ὁ δὲ Μ προείλετο τὴν ἡμαρτημένην γραφὴν τῶν ΚΑ, Ἀπαντώμενον. — Στ. 24, Καθαλάμενος.] Ἤγουν, καταπηδήσας. οὕτω διώρθωκα τρέψας εἰς τὸν ἀόριστον, τὸν ἡμαρτημένον ἐνεστῶτα, Καθαλλόμενος, ὅ ἐστι καταπηδῶν. εἴρηται δέ μοι περὶ τούτου καὶ ἐν τοῖς πρόσθεν (σελ. 20). ἴσως δὲ καὶ τὸ ἐχόμενον, Καὶ πολλὰ, τρεπτέον εἰς τὸ, Καὶ τὰ πολλά.

Σελ. 49, στ. 1, Ἑλληνίδι τῇ γλώττῃ.] Οὕτω μετὰ τοῦ ἄρθρου αἱ ΑΑ.

Σελ. 50, στ. 5, Τὸ μέν τι.] Οὕτω διώρθωκα κἀνταῦθα καὶ ἐν ἄλλοις χωρίοις, τρέψας εἰς τὸ ἀόριστον, Τι, τὸν διαβεβαιωτικὸν, Τοι. — Στ. 10, Ἐπιστρέψαντες.] Ἐν ταῖς ΔΑ 406 γράφεται, Ἐπιτρέψαντες, ὅπερ ἀλλότριον τοῦ παρόντος χωρίου, κἂν εἰ Δορβίλλος ἐγκρίνειν ἔοικε τὴν δίχα τοῦ σ γραφήν. — Στ. 13, Εἷς γὰρ οὐδεὶς.] Τουτέστιν, Οὐδεὶς ὅλως· τὸ γὰρ,

Εἷς, πλείονα ἐπίτασιν ἐμφαίνει τῆς ἀρνήσεως, συναπτόμενον τῷ Οὐδεὶς, ὡς καὶ ἐν τοῖς ἑξῆς (σελ. 92), «Ἓν οὐδὲν ἀπελίμπανον». καὶ ἔστι τούτου μυρία παραθέσθαι παραδείγματα ἐκ τῶν δοκίμων συγγραφέων, εἴ μοι καταπυκνοῦν τὸν λόγον προὔκειτο παραδείγμασι. μετιόντες τοίνυν ἐπὶ τὰ καιριώτερα, διορθωτέον εἶναι φαμὲν τὸν Ἡσύχιον ἐν οἷς φησιν, «ἘΝΟΥΔΈΝ, ἐπὶ τοῦ πολλοῦ λέγεται». δῆλον γὰρ ὅτι διῃρημένως χρὴ γράφειν δασύνοντας. ἝΝ ΟΥ̓ΔΈΝ· ὅπερ ἀσαφῶς πάνυ ἐξηγήσατο διὰ τοῦ, «Ἐπὶ τοῦ πολλοῦ λέγεται», τοῦτο βουλόμενος ἐμφῆναι, ὡς ἔοικεν, ὅτι τὸ Ἓν, συναπτόμενον τῷ Οὐδὲν, τοσούτου δεῖ σημαίνειν ἑνότητα, ὥστε καὶ πλήθους ἔννοιαν παρίστησι. τὸ γὰρ, Οὐδεὶς, καὶ καθ' ἑαυτὸ ἐπὶ πολλῶν ἀποφατικῶς λεγόμενον, προσλαβὸν τὸ Ἓν, ἐπιτείνει τὴν ἀπόφασιν, τῷ μηδεμίαν ὑπολείπειν ἐξαίρεσιν, καὶ ἐμφαίνει ἐκ τοῦ ἐναντίου τὸ, Ἁπαξάπαντες· οἷον εἴ τις λέγοι, «Εἷς οὐδεὶς ἐξῆλθε τῆς πόλεως», ταὐτὸ πάντως φήσει τῷ λέγοντι, «Ἁπαξάπαντες ἔμειναν ἐν τῇ πόλει». τὸ δὲ ἐχόμενον, Ἔβαλεν, καίπερ οὕτω πάντων γραψάντων τῶν πρὸ ἐμοῦ, ὤφειλον τρέψαι, εἰς τὸ, Ἔβαλλεν, παρατατικῶς.—Στ. 20, Καθέντα.] Ἀορίστως, ἔκ τε τῆς Β καὶ τῶν ΚΑ· ὁ γὰρ ἐνεστὼς, Καθιέντα (ὃς ἐμφέρεται καὶ ἐν ταῖς ΑΑ), ἀκατάλληλός ἐστιν ἐνταῦθα.

Σελ. 51, στ. 10, Σκύλων.] Οὕτω παρ' ἅπασιν· ἀλλ' ἴσως κἀνταῦθα Σύλων γραπτέον.—Στ. 17, Ἐπιβουλῆς συνθήκη, τῆς ἱερωσύνης καὶ προφητείας ... παρελόμενος.] Διεσκεύασα τὸ χωρίον ἐκ τῶν δύο τούτων γραφῶν τῆς τε ΑΑ, Ἐπιβουλῇ τῆς ἱερωσύνης τῆς προφητείας ... παρελόμενος, καὶ τῆς ΔΑ 552, Ἐπιβουλῆς συνθήκῃ τὴν ἱερωσύνην τῆς προφητείας ... παρελόμενος. τὸ μὲν γὰρ, Ἐπιβουλῆς συνθήκη, ὀρθῶς ἔχειν ἔοικε, διὰ τὸ «Τὴν ἐπιβουλὴν συνθείσης (σελ. 226)»· τὸ δὲ, Τῆς ἱερωσύνης καὶ προφητείας, διὰ τὸ καὶ ἐν ἄλλοις (σελ. 266, 268, καὶ 275), συνωνύμως κεχρῆσθαι τοῖς δύο τούτοις ὀνόμασι τὸν Ἡλιόδωρον. διττὴ δὲ καὶ τοῦ, Παραιρεῖσθαι, ἡ σύνταξις· οὐ γὰρ μόνον, Παραιροῦμαί σου τοῦτο, ἀλλὰ καὶ, Παραιροῦμαί σε τοῦτο, λέγειν ἔξεστι.—Στ. 23, Αἰσθανόμενος·] Ἐν τῇ Β καὶ ταῖς ΚΑ, Αἰσθόμενος.

Σελ. 52, στ. 6 Αὐτῶν.] Τουτέστιν, Ἑαυτῶν· ἐν δὲ ταῖς ΑΑ,

Αὐτῶν, ψιλῶς. ἐρεῖ καὶ προϊὼν (σελ. 349), « Μοῖραν αὐ-
» τάρκη τῶν ὁμογλώσσων εἰς τὴν φρουρὰν ἀποκληρώσας ». — Στ. 9, Πρὸς τὸ νησίον.] Ἐν ταῖς ΑΑ, Πρὸς τὴν νῆσον. — Στ. 10, Σῦλα.] Οὕτως αἱ ΑΑ. — Στ. 11, Κατ' αὐτό.] Οὐδετέρως, διὰ τὸ προηγησάμενον, Νησίον· ὃ δὴ καὶ Κοῖνος, ἐν ταῖς εἰς τὸ περὶ διαλέκτων τοῦ Κορίνθου σημειώσεσι (σελ. 39), διωρθώσατο πρὸ ἐμοῦ. εἰ δὲ γράφοις, Τὴν Νῆσον, ὡς αἱ ΑΑ, τότε καὶ, Κατ' αὐτὴν, γραπτέον. καὶ ἴσως ἄμεινον τοῦτο· ἐπεὶ καὶ μετ' ὀλίγα, « Ὡς δὲ πᾶσαν ἐπιδραμόντες », φήσει. ἀλλ' ὅμως τὰ τοιαῦτα ἔξεστι παραμυθεῖσθαι καὶ τῷ Πρὸς τὸ σημαινόμενον λεγομένῳ σχήματι.

Βιβλίῳ Β, Σελ. 53, στ. 6, Ἀπρόσμαχον τὴν αὐγὴν ἀπολαβοῦσα.] Ἀντὶ τοῦ, Ἀπολαβοῦσα, ἴσως ἐγέγραπτο, Ἐπιβαλοῦσα, ἢ γοῦν, Ἐπιβάλλουσα. ἐπεὶ γὰρ ἐν οὐδὲν οὕτως ἐπίφοροι οἱ Ἀντιγραφεῖς, ὡς ἐπὶ τὸ συγχέειν τὰ δύο ταῦτα ῥήματα, τό τε, Βαλεῖν, καὶ τὸ, Λαβεῖν, καὶ τὰς δύο προθέσεις, τήν τε, Ἐπὶ, καὶ τὴν, Ἀπό. ἄλλως τε δὲ καὶ χαίρει Ἡλιόδωρος τῇ φράσει ταύτῃ, οἷον (σελ. 328), « Ἐπέβαλλεν ὁ ἥλιος
» τὴν ἀκτῖνα », καὶ (σελ. 368), « Ἡλίου τὴν ἀκτῖνα ἐπιβάλ-
» λοντος, μαρμαρυγή τις ἄφραστος καὶ εἰς τοὺς πορρωτάτω
» διεῤῥιπίζετο ». ἐπεὶ δὲ τοῦ προκειμένου χωρίου, ἡ φλὸξ ἐστὶν ἡ μετὰ τὸ δῦναι τὸν ἥλιον ἐπιβαλοῦσα τὴν αὐγὴν ἀπρόσμαχον, τουτέστι μηκέτι κωλυομένην διαφαίνεσθαι ὑπὸ τῆς ἀνταυγάσεως τοῦ ἡλίου· δι' οὗ καὶ παρῳδεῖν ἔοικέ πως, ἢ γοῦν αἰνίττεσθαι, τὸ Ὁμηρικὸν (Ἰλιάδ. Σ, 210),

................Ἅμα δ' ἠελίῳ καταδύντι
Πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ' αὐγὴ
Γίγνεται ἀΐσσουσα, περικτιόνεσσιν ἰδέσθαι.

Σελ. 54, στ. 5, Τὸ ἐξ ἀνθρώπων κάλλος.] Τὸ, Ἐξ ἀνθρώπων, οὐδὲν ἄλλο σημαίνειν οἷόν τε κυρίως, ἢ τὸ ἔξω τῶν ἀνθρώπων, ἤγουν τὸ ἀπῳκισμένον καὶ οἷον ἀπηλλοτριωμένον τῆς ἀνθρωπίνης φύσεως. ἐπεὶ δὲ τὸ τοιοῦτον ἢ θεῖον, ἢ θηριῶδές τι τυγχάνειν ἀνάγκη, διττὴν εἰκότως ἔλαχε τὴν σημασίαν καὶ τὸ, Ἐξ ἀνθρώπων· ἢ γὰρ σημαίνει τὸ συνηθέστερον λεγόμενον, Ὑπὲρ ἄνθρωπον, ἢ τὸ, Ἀπάνθρωπον καὶ ἀπηνέστατον· ἔστω παράδειγμα τοῦ πρώτου, τό τε ἐν τῷ προκειμένῳ χω-

ρίῳ, Ἐξ ἀνθρώπων κάλλος, τουτέστι τὸ ὑπὲρ ἄνθρωπον ἢ θεῖον κάλλος, καὶ ὁ προϊὼν (σελ. 85) ἐρεῖ, « Τὰ ἐξ ἀνθρώπων χρήματα », ἤγουν τὰ ὑπὲρ ἄνθρωπον χρήματα, τοσαῦτα δηλονότι ὅσα οὐδεὶς ἂν ἀνθρώπων κτήσαιτο. τῆς αὐτῆς ἔχεται διανοίας καὶ τὸ ἐν ταῖς εἰς Ἱπποκράτην (Τομ. Β, σελ. 905) ψευδῶς ἀναφερομέναις ἐπιστολαῖς, « Ἐπὶ τὸν μέγαν (ἂν) » ἠρχόμην Περσέων βασιλέα, ἔνθα πόλιες ὅλαι προσίεσαν » ΤΗ͂Σ ἘΞ ἈΝΘΡΩ΄ΠΩΝ ἘΥΔΑΙΜΟΝΙ΄ΗΣ γεγεμισμέ» ναι ». τοιοῦτον δ' ἔοικε, καίπερ οὐ πάνυ τι σαφῶς ἐκπεφρασμένον, καὶ τὸ Ἐπικούρῳ (παρὰ Διογ. Λαερτ.) λεχθὲν, » Ἔνδοξοι καὶ περίβλεπτοι τινὲς ἐβουλήθησαν γενέσθαι, τὴν » ἐξ ἀνθρώπων ἀσφάλειαν οὕτω νομίζοντες περιποιήσεσθαι »· εἴη γὰρ ἂν ἡ ἐξ ἀνθρώπων ἀσφάλεια, ἡ μεγίστη καὶ μόνοις ἀνήκουσα τοῖς κατοικοῦσι τὸν Ὄλυμπον ἀσφάλεια,

....... Ὅθι φασὶ θεῶν ἕδος ἈΣΦΑΛΈΣ ἈΙΕ΄Ι
Ἔμμεναι.....................................

καθά φησιν Ὅμηρος (Ὀδυσσ. Ζ, 42). καὶ ταῦτα μὲν περὶ τῆς πρώτης σημασίας τοῦ, Ἐξ ἀνθρώπων. τῆς ἑτέρας δὲ, Αἰσχίνην ἔχομεν παρασχέσθαι μάρτυρα, λέγοντα (κατὰ Τιμάρχ.), « Καὶ δήσαντες πρὸς τὸν κίονα. . . ἐμαστίγουν τὰς » ἐξ ἀνθρώπων πληγὰς », τουτέστι τὰς ἀπηνεῖς καὶ ἀπανθρώπους πληγάς. Αἰσχίνῃ δὲ κατηκολούθησαν ὅ, τε Αἰλιανὸς (Ζώων ἰδιότ. Α, κα΄), « Μαστιγοῦσί τε πολλαῖς καὶ ταῖς ἐξ « ἀνθρώπων ξαίνουσι », καὶ ὁ τὸν Ἱεροκλέους βίον γράψας (Σουΐδ. Ἱεροκλ.), « Εἰς δικαστήριον ἀχθεὶς ἐτύπτετο τὰς « ἐξ ἀνθρώπων πληγὰς », καὶ ἄλλοι. — Στ. 9. Ἐσχάτων καὶ ἀψύχων φιλημάτων.] Οὕτως ἔχει τάξεως τὸ χωρίον ἐν ταῖς ΑΑ, ὁ δὲ Κ γράφει, Ἐσχάτων φιλημάτων καὶ ἀψύχων, ὅπερ ἐπελαθόμην καταχωρίσαι εἰς τὸ τῆς σελίδος ἄκρον.— Στ. 20, Διικνεῖσθαι.] Μακρῷ ἂν ἄμεινον εἶπε, Διικέσθαι, κατὰ τὸν ἀόριστον.

Σελ. 55, στ. 1, Παρὰ τὴν πρώτην.] Οὕτως ἐν ταῖς ΚΑ καὶ ΑΑ.—Στ. 2, Ἀπὸ Ὕσπληγγος.] Ὕσπληξ, ἐπὶ σταδιοδρομίας, ἣν οἱ Ἀττικοὶ Βαλβίδα φασίν· ἕτεροι μέντοι διαφορὰν οἴδασιν Ὕσπληγγος καὶ Βαλβίδος, τὴν μὲν, ξύλον ἐγκάρσιον εἶναι λέγοντες, τὴν Ὕσπληγγα, ἀπείργουσαν τέως τοὺς δρομοῦ-

μένους, τὴν δὲ Βαλβίδα, γραμμὴν κοίλην ἐγκεχαραγμένην τῷ ἐδάφει, εἰς ἣν ἐγκαταπεσούσης τῆς Ὕσπληγγος ἀφίεντο τρέχειν οἱ δρομεῖς· ὅθεν καὶ Ἀφετηρία ἐκλήθη ἡ Ὕσπληξ. — Στ. 3, Ἀπεσφενδόνητο.] Μεταφορικῶς, προσυπακουομένου τοῦ, Εἰς τὴν λίμνην, ἢ Εἰς τὸ ὕδωρ, ὃ μὴ συνέντες οἱ πρὸ ἡμῶν, ἀσαφῶς τὴν ῥῆσιν ἡρμήνευσαν. δῆλον δὲ γενήσεται μάλιστα παραθεμένοις τὸ παράλληλον τουτὶ χωρίον, ἐκ τῶν ἑξῆς (σελ. 356), « Ἐπὶ κεφαλὴν ἀπὸ τῶν τειχῶν εἰς τὸ » ἐκτός τε καὶ τὸ ὕδωρ ἐκσφενδονηθῆναι ». ἔστιν οὖν ὁ νοῦς τοῦ προκειμένου χωρίου, Ὁ πορθμένων αὐτοῖς, ὡς συνέβαλον οἱ πολέμιοι τὸ πρῶτον, ἀπὸ τῆς βοῆς, ὥσπερ ἀπὸ ψόφου ὕσπληγγος καταπεσούσης, τουτέστιν, ἅμα τῷ τῆς βοῆς τῶν πολεμίων αἰσθέσθαι, ἐξετίναξεν ἑαυτὸν ἀπὸ τοῦ σκάφους εἰς τὴν λιμνην (ὅθεν ἔμελλεν εἰς γῆν ἀπονήξασθαι), τοσούτῳ τάχει, ὅσῳ περ ἂν λίθος ἀπὸ σφενδόνης βληθείς.—Στ. 8, Χαλεπῶς δὲ.] Ἐκ τῶν ΑΑ. Στ. 9, Προσορμήσαντες.] Γέγραφα ἀμεταβάτως· Προσορμεῖν γὰρ αὐτός ποί τις λέγεται· Προσορμίζειν δὲ τὴν ναῦν —Στ. 15, Διαπλόκους.] Οὕτω διώρθωκα, ὡς πρὸς τὴν αἰτιατικὴν, Καλύβας, ἣν ἐξ ἀνάγκης ὑπακουστέον διὰ τὸ, Καταφλέξας. Στ. 18, Καὶ εἰς τέφραν κ. τ. λ.] Σημείωσαι Τέφρας καὶ Σποδιᾶς διαφοράν. Τέφρα μὲν γάρ ἐστιν ἡ πάσης ὑπὸ τοῦ πυρὸς ἐξαναλωθείσης τῆς ὕλης καταλειπομένη κόνις, ἣν ἡ συνήθεια, Ἀχυλίαν, ὠνόμακε, ἴσως διὰ τὸ μηδένα χυλὸν ἔτι ὑπολείπεσθαι ἐν αὐτῇ εἰς πυρὸς τροφὴν ἐπιτήδειον· Σποδιὰ δὲ, ἢ Σποδὸς, ἐν ᾗ λεπτά τινα ψήγματα διαμένουσιν ἔτι καὶ λείψανα πεπυρωμένων ἀνθράκων, ἣν καὶ Θερμοσποδιὰν, καὶ Μαρίλην ἔλεγον, ἡ δὲ συνήθεια, Ἀνθρακούφην, λέγει, ὡσανεί τινα Ἀνθρακιὰν κούφην. μάρτυς δὲ τῆς διαφορᾶς ταύτης καὶ Ὅμηρος, ἐπὶ μὲν τῆς τέφρας λέγων (Ἰλιάδ. Ψ, 250),

Πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ,
Ὅσσον ἐπὶ φλὸξ ἦλθε, βαθεῖα δὲ κάππεσε τέφρη·

ἐπὶ δὲ τῆς σποδοῦ (Ὀδυσσ. Ι, 375),

Καὶ τότ' ἐγὼ τὸν μοχλὸν ὑπὸ σποδοῦ ἤλασα πολλῆς,
Εἵως θερμαίνοιτο. . . . . . . . . . . . . . . . . . .

ὅθεν καὶ Σποδεῖν, τὸ ἐν τῇ σποδῷ ὀπτᾶν ἔλεγον.—Στ. 21, Ἀποσβεσθείσης.] Αἱ ΚΑ καὶ ΑΑ, Ἐναποσβεσθείσης. τὸ δὲ

ἐχόμενον, Καί πρὸς τὸ βάσιμον ἀποψυγείσης, ἐστὶ, τῆς σποδιᾶς ψυγείσης τοσοῦτον, ὥστε μὴ φλέγειν τὸν ἐπιβαίνοντα. Στ. 25, Ἀπέβησαν.] Ἤγουν ἀπὸ τοῦ στομίου πρὸς τὸ ἐνδότερον τοῦ σπηλαίου ἔβησαν. ἐν δὲ ταῖς ΑΑ γράφεται, Ὑπέβησαν, οὐκ ὀρθῶς· τὸ γὰρ Ὑποβαίνειν, Ὑπαναχωρεῖν πως ἐστίν· οἷον τὸ ἐν τοῖς ἑξῆς (σελ. 93), « Ὑπέβη δὲ εἰς τοὐπίσω ».

Σελ. 56, στ. 10, Δεδιὼς μή τι κ. τ. λ.] Οὐκ ἂν ἀπροσδιονύσως παρῴδησεν ἐνταῦθα τὸ (Ἰλιάδ. Σ, 34),

Δείδιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ.

τὸ δὲ, Μή τι κακὸν ἑαυτὸν ἐργάσηται (ὡς ἐμφέρεται ἐν ταῖς ΔΑ 191), διπλῇ αἰτιατικῇ, τῶν Ἀττικῶν ἐστι· καθὰ καὶ προϊὼν (σελ. 292) ἐρεῖ, « Μὴ δή τι λάθοι κακὸν αὐτός τε ἑαυτὸν κἀκείνην » ἐργασάμενος ». χαίρουσι γὰρ ὡς ἐπίπαν οἱ Ἀττικοὶ τῇ τοιαύτῃ συντάξει, οὐ μόνον τὸ Ἐργάζομαι καὶ τὰ συνώνυμα, οἷον, Δρῶ, Ποιῶ, πρὸς αἰτιατικὴν προσώπου συνάπτοντες, ἀλλὰ καὶ Ἀποστερῶ, ἢ Ἀφαιροῦμαί σε τοῦτο, καὶ Ἀρέσκω σε, καὶ Λέγω σε κακὰ, ἢ καλῶς, καὶ ἄλλα τοιουτότροπα λέγοντες. τοιοῦτόν ἐστι καὶ τὸ παρ' Ὁμήρῳ (Ἰλιάδ. Ρ, 237),

Καὶ τότ' ἄρ Αἴας ΕἸΠΕ βοὴν ἀγαθὸν ΜΕΝΕΛΑΟΝ.

εἰκὸς δὲ καὶ τὴν συνήθειαν ἐκ τούτων ὁρμηθεῖσαν, ἐπὶ τοσοῦτον καταχρήσασθαι τῇ συντάξει, ὡς ἅπαντα σχεδὸν τὰ πρὸς δοτικὴν φερόμενα ῥήματα, αἰτιατικῇ συντάττειν· λέγει γὰρ οὐ μόνον, Μὲ ἔκαμε πολὺ κακὸν, Μὲ (καὶ Μοῦ) ἐπῆρε τὸ ἔνδυμα, Μὲ ἤρεσεν ὁ λόγος σου, Μὲ εἶπεν ὅτι, ἀλλὰ καὶ Μὲ ἔδωκεν, ἢ Μὲ ἐχάρισεν ἔνδυμα, Ὀλίγον με μέλει, Μὲ πιστεύει, κ. τ. λ. ὅτι δὲ ταῦτα πάντα ἐλλειπτικὰ προθέσεώς ἐστι τῆς, Εἰς, ἢ τῆς, Πρὸς, ἱκανὸν ἂν εἴη τεκμήριον, ὃ φθὰς ὁ λόγος ἐδήλωσεν ἐξ Ὁμήρου, παρατιθέμενον οἷς αὐτὸς ἐν ἄλλοις (Ἰλιάδ. Λ, 403) κατὰ τὸ πλῆρες ἐξήνεγκεν, εἰπὼν,

Ὀχθήσας δ' ἄρα ΕἸΠΕ ΠΡΟ'Σ ὃν μεγαλήτορα ΘΥΜΟ'Ν.

Στ. 18, Κινδύνοις θαλασσῶν, Κινδύνοις πειρατηρίων, κ. τ. λ.] Περὶ τοῦ Ἀσυνδέτου λεγομένου σχήματος, ὅτι ἐμπαθέστερον ἀπεργάζεται τὸν λόγον, εἴρηται καὶ ἐν τοῖς πρόσθεν (σελ. 15.). ἐνταῦθα δ' οὐκ ἀπεικὸς καὶ παρῳδῆσαί πως τὸν Ἡλιόδωρον τὴν Ἀποστολικὴν ῥῆσιν (Β, Κορινθ. ΙΑ, κϛ'),

κϛ΄), « Κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν ... κινδύνοις ἐν θαλάσσῃ κ. τ. λ.

Σελ. 57, σ. 1, Εἰς οὐδὲν δ' ὄφελος.] Προσέθηκα τὸν, Δὲ, ὃν ἀπαιτεῖ ἐνταῦθα ὁ προηγησάμενος, Μέν.—Στ. 10, Ἀπείρατος.] Ἢ προσυπακουστέον τὴν γενικὴν, Γάμου, ἀπὸ τοῦ προηγησαμένου, Γαμετὴν, ἢ προσθετέον, ὡς ὑπὸ τῶν ἀντιγραφέων παραλειφθεῖσαν· ἐν γὰρ τοῖς ἑξῆς (σελ. 436), « Γάμου » καὶ ἀνδρὸς ὁμιλίας ἀπείρατον », κατὰ τὸ πλῆρες ἐρεῖ.—Στ. 12. Χαρίκλειαν.] Κατὰ αἰτιατικὴν, ὡς αἱ ΚΑ καὶ ΑΑ. ἀναφέρεται γὰρ ἐπὶ τὸ, Προσφθέγξομαι· καθὰ καὶ προϊὼν ἐρεῖ (σελ. 281), « Τὸ γὰρ χρηστὸν ὄνομα καλεῖν ἀπεστέρημαι, » Πατέρα ». οὕτω δὲ καὶ Πλούταρχος (Ἑπτ. σοφ. συμποσ. § 20), « Οὗ καὶ τὸ ὄνομα διαμνημονεύουσιν, Ἔναλον »· καὶ αὖθις (ἐν Ἀριστείδ. § 6), « Ἀνὴρ πένης καὶ δημοτικὸς » ἐκτήσατο τὴν βασιλικωτάτην καὶ θειοτάτην προσηγορίαν, » ΤῸΝ ΔΊΚΑΙΟΝ », ὅπου οὐκ ὀρθῶς ᾠήθησάν τινες ἀναγνωστέον εἶναι, ΤΟΥ̃ ΔΙΚΑΊΟΥ.—Στ. 16, Φίλιον.] Ἐν ταῖς ΑΑ καὶ ΚΑ, Φίλον.

Σελ. 58, σ. 2, Ὑπήκουσε.] Ἤγουν Ἀπεκρίνατο πρὸς τὴν φωνήν. ἔστι δὲ ἡ χρῆσις τῶν Ἀττικῶν· οἷον τὸ τοῦ Θεοφράστου (Χαρακτ. Δ.), « Καὶ κόψαντος τὴν θύραν, ὑπακοῦσαι αὐ» τός.—Στ. 3, Τὸ μὲν τοιούτου σώματος κ. τ. λ.] Παρὰ τὴν ὑποσημειωθεῖσαν τῇ σελίδι γραφὴν τοῦ Κ, ἐν τῇ Β ἐμφέρεται, Τὸ μὲν ὅτι τοιούτου σώματος, δι' οὗ πρός· ἐν δὲ ταῖς ΑΑ, Τὸ μὲν ὅτι τοιούτου σώματος, δίοτι οὗ πρός· δηλονότι ἡμαρτημένως τε ἅμα καὶ ἀσυντάκτως ἐν ἁπάσαις. γραπτέον οὖν, ὡς διώρθωκα, Τὸ μὲν, τοιούτου σώματος, οὗ πρὸς, κ. τ. λ. — Στ. 6, Ὑπὸ νερτερίων εἰδώλων.] Τὰ τῶν Νερτέρων, τουτέστι τῶν ὑπὸ γῆν, εἴδωλα φησὶν, ἃ δὴ καὶ Φάσματα φθάσας εἴρηκεν ἐν τοῖς πρόσθεν (σελ. 4), ὡς Εὐριπίδης (Ἀλκεσ. 1127).

Ὅρα γε, μήτι φάσμα νερτέρων τοδ' ᾖ.

Νέρτεροι δὲ, (κατ' ἀφαίρεσιν τῆς ἀρχικῆς συλλαβῆς παρὰ τὸ, Ἐνέρτεροι) λέγονται οἱ Καταχθόνιοι, ἤγουν οἱ ὑπὸ γῆν ὄντες. Στ. 23, Ἡδίστης.] Ὡς καὶ ἐν τοῖς ἑξῆς (σελ. 187), Ἡδίστην θέαν, ἐρεῖ θηλυκῇ καταλήξει. ἐνταῦθα μέντοι, ἀντὶ τοῦ, Ἡδίστης,

ἐν ταῖς ΔΑ 352 γράφεται, Ἡδίστου. καὶ ἴσως τοιαύτη ἦν ἡ ἀρχαία γραφὴ, πρὸς τὸ κακοζηλότερον Ἀττικίσαντος τοῦ Ἡλιοδώρου· εὐεπίφοροι γὰρ οἱ Ἀττικοὶ εἰς τὰς ἀρσενικὰς καταλήξεις ἐπὶ τῶν θηλυκῶν, Ἀργὸς, Γενναῖος, καὶ Στεῤῥὸς γυνὴ, λέγοντες. καὶ τοὺς μὲν Ἀττικοὺς ἐξ ἀνάγκης ἐχρῆν ἀκολουθεῖν τῇ χρήσει, ἕως ἤκμαζε παρ' αὐτοῖς ἡ τῶν τοιούτων χρῆσις. οἱ δὲ Ἀττικίζοντες, πλατὺν ἂν ὀφλισκάνοιεν γέλωτα, εἰ τὴν ἀκριβῆ τήρησιν πεντήκοντα ἢ καὶ ἑκατὸν καινῶς ἐσχηματισμένων λέξεων ἀποχρῶσαν οἴονται εἰς τὸ λέγειν ἢ γράφειν κατὰ Ξενοφῶντα καὶ Πλάτωνα.

Σελ. 59, σί. 19, Ὥσπερ ἡνωμένοι.] Ὅπερ Ἡλιόδωρος μὲν αὐτὸς ἐν τοῖς ἑξῆς (σελ. 179) κομψότερον, Οἱονεὶ συμπεφυκότες, ἐρεῖ, ὁ δὲ Λόγγος (Β, σελ. 39), Ὥσπερ συνδεδεμένοι, εἴρηκεν. ἀντὶ δὲ τοῦ, Ἡνωμένοι (ὅπερ ἡ συνήθεια ἀναυξήτως, καθὰ σχεδόν τι πάντας τοὺς παρακειμένους, Ἑνωμένοι, λέγει), ἡμαρτημένως ἐν τῇ Β, Ἡρωμένοι, γράφεται. οὐδὲν δ' ἧττον ἁμαρτάνει καὶ ὁ Κ, ψιλῶς γραπτέον εἶναι ἡγησάμενος, Ἠνωμένοι, παρὰ τὸ Ἐνεόω δῆθεν ῥῆμα· οὐ γὰρ οἶδεν ἡ χρῆσις τὸ Ἐνεόω, παρὰ τὸ Ἐνεὸς, καίπερ ἐγκρίνασα τὸ Κωφόω, παρὰ τὸ συνώνυμον Κωφός.—Στ. 24, Ἕως ὁ Κνήμων πίδακά τινα διαμώμενος.] Ἀντὶ τοῦ, Ἕως ὁ Κνήμων, ἐν ταῖς ΔΑ 315 γράφεται, Καὶ ὁ Κνήμων. τὸ δὲ Πίδακα σημαίνει Πηγὴν, παρὰ τὸ Πιδάω, ὃ μόνῃ γραφῇ διαφέρει τοῦ Πηδάω, ὥσπερ καὶ τὸ ποιηταῖς μᾶλλον ἐν χρήσει, Ἵκω, τοῦ κοινοῦ, Ἥκω. ἔνθεν καὶ εἰκάζειν ὁπωσοῦν ἔξεστιν ἐλαχίστην καὶ μόλις ἀκοῇ καταληπτὴν ὑπάρξαι τὴν διαφορὰν τῆς προφορᾶς τοῦ ι καὶ η παρὰ τοῖς Ἀρχαίοις. ἔγραψα δὲ διορθωσάμενος, Διαμώμενος, ὃ οἱ πρὸ ἐμοῦ, Διασμώμενος, ἐξέδωκαν, καίπερ ἡμαρτῆσθαι τὴν γραφὴν ταύτην ἱκανῶς ἀποδειχθέντος τοῖς Κριτικοῖς (σημ. εἰς τὸ, Διασμώμενοι τοῦ Ἡσυχ.)· Διασμᾶν μὲν γάρ ἐστι τὸ τρίβοντα ἢ ξέοντα καθαίρειν τι, ᾧ δὴ καὶ ἐχρήσατο ἐν τοῖς πρόσθεν (σελ. 43) εἰπὼν, Κράνος τι διασμῶντα· Διαμᾶν δὲ, τὸ Σκαλεύειν καὶ διιστᾶν τὴν γῆν, κυρίως μὲν τῇ λεγομένῃ Ἄμῃ, γεωργικῷ ἐργαλείῳ, πλατύτερον δὲ, καὶ ἄλλοις ἐργαλείοις, ἢ καὶ αὐτῇ τῇ χειρὶ, ὅπερ εἴρηκεν Εὐριπίδης (Βακχ. 707),

Ὅσαις δὲ λευκοῦ πώματος πόθος παρῆν,
Ἄκροισι δακτύλοισι διαμῶσαι χθόνα,
Γάλακτος ἐσμοὺς εἶχον..........

Στ. 25, Συῤῥυεῖσαν.] Οὕτως ἡ Β καὶ αἱ ΔΑ 315.

Σελ. 60, στ. 1, Ἐπέῤῥανε.] Ἐν τῇ Β, Ἐπεῤῥώνυε· ἐν δὲ ταῖς ΔΑ 315 γράφεται, Ἐπέραινε, ἐξ ἀμείνονος, ὡς ἔοικε, γραφῆς τῆς, Ἐπέῤῥαινε, κατὰ τὸν παρατατικόν.— Στ. 5, Κειμένους δὲ ἑαυτοὺς καταλαβόντες κ. τ. λ.] Οὕτως αἱ ΑΑ. τὸ δὲ, Ὀρθωθέντες ἀθρόον, ἄνευ τοῦ ἄρθρου, ἐκ τῶν ΚΑ. καὶ ἐν τοῖς ἑξῆς (σελ. 428.) δὲ ἀνάρθρως, «Ὠρ-» θώθη τε ἀθρόον» ἐρεῖ. — Στ. 11. Προσπαλαίσας.] Ἐκ τῶν ΑΑ. — Στ. 12. Πέπτωκεν.] Οὕτω γράφειν ἐτόλμησα, ἀντὶ τοῦ παρὰ πᾶσι φερομένου, Ἔγνωκεν, ἅμα μὲν ψυχρὸν ἐπιεικῶς ὑπολαβὼν εἶναι ἐνταῦθα τὸ, Ἔγνωκεν, ἅμα δὲ διὰ τὸ, Ἡττήθη, καὶ τὸ, Ἀπαραίτητα, οἷς εἰκός ἐστιν ἐπενεγκεῖν τὸν Ἡλιόδωρον τὸ, ΣΩΦΡΌΝΩΣ ΠΈΠΤΩΚΕΝ (τουτέστιν εὐσχήμως ἡττήθη τὴν ἀπαραίτητον ἧτταν τοῦ ἔρωτος), αἰνιττόμενον, ἢ καὶ παρῳδῆσαι βουλόμενον τὸ τῷ Εὐριπίδῃ (Ἑκάβ. 569) περὶ τῆς Πολυξένης σεμνῶς μάλα ῥηθὲν,

..................Ἡ δὲ, καὶ θνήσκουσ', ὅμως
Πολλὴν πρόνοιαν εἶχεν ΕΎΣΧΗΜΩΣ ΠΕΣΕῖΝ.

Στ. 14, Ὑπερησχυνόμην τε ὁρῶν.] Οὕτω γραπτέον, ὡς διώρθωσεν ὁ Καντέρος, Ὑπερησχυνόμην· ἐξήλειψα δὲ καὶ τὸν πρὸ τοῦ, Ὁρῶν, σύνδεσμον, ἀβλεψίᾳ τῶν ἀντιγραψάντων παρεισδύντα εἰς τὸ χωρίον. — Στ. 21, Εὖγε ποιῶν.] Πολὺ καὶ πολύσημον τὸ, Εὖ ποιῶν, ἢ, Καλῶς ποιῶν, ἔστι δ' ὅτε καὶ, Ὀρθῶς ποιῶν, παρὰ τοῖς συγγραφεῦσι, τοῖς κώλοις τῶν περιόδων παρενειρόμενον· χαίρει δὲ μάλιστα τούτῳ ὁ Ἡλιόδωρος. κἀνταῦθα μὲν, ἰσοδυναμεῖν αὐτὸ δόξειεν ἄν τις τῷ, Εὐποιῶν, ἢ, Εὐεργετῶν, συνυπακουομένης τῆς Ἡμᾶς, αἰτιατικῆς· ἔστι δ' οὐ ταὐτὸν δύναται τῷ, Ὡς ἦν ἄξιον, ἢ δίκαιον, Ὡς ἐχρῆν. ἐν γὰρ τοῖς ἑξῆς (σελ. 65) «Σὺ μὲν, ΚΑΛΩ͂Σ ΠΟΙΟΥ͂ΣΑ, τέθνηκας», εἰρηκὼς ὁ Ἡλιόδωρος, τοῦτο προϊὼν (σελ. 441), οἱονεὶ αὐτὸς αὐτὸν ἑρμηνεύων, «Καὶ τὸν μὲν Καλάσιριν, ΩΣ ἘΧΡΗ͂Ν, τεθνηκότα καταλαβὼν», φησὶ, κατὰ τὸ Ὁμηρικὸν ἐκεῖνο (Ὀδυσσ. Α. 46),

Καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ·

εἶχε γὰρ ἂν καὶ οὕτως εἰπεῖν, « Καὶ ὁ μὲν Καλάσιρις, καλῶς » ποιῶν, τεθνηκὼς ὑπ' ἐμοῦ κατελήφθη »· οὐκ ἀγνοεῖ δὲ οὐδὲ ἡ συνήθεια τὸ, Καλῶς ποιῶν· οἷον ὅτε τις, τεθνάναι τινὰ τῶν ἐξωλεστάτων πυθόμενος, λέγει, « Ἔκαμε καλὰ ν' » ἀποθάνῃ » ἢ καὶ, πρὸς τὸ σκωπτικώτερον τὸν λόγον ἀποκλίνων, « Ἔκαμε πολλὰ φρόνιμα ν' ἀποθάνῃ ». ἄλλοτε δὲ τὸ, Καλῶς ποιῶν, ἰσοδυναμεῖ τῷ, Εὐτυχῶς, ἐπιῤῥήματι, οἷον ἐν τούτοις (σελ. 230) « Καὶ ψεύδῃ γε ἅμα, καλῶς κατὰ » τοῦτο ποιοῦσα ».

Σελ. 61, στ. 3. Πεζομάχος. ] Τουτέστι κατὰ γῆν μαχόμενος· πρὸς γὰρ τὸ, Ναυμάχος ἀντιδιέσταλται. οὐ γὰρ ἂν σώζοιτο ἡ εἰρωνεία τοῦ, Γενναῖος καὶ Ἀττικὸς, εἰ ἀντιδιαστέλλοιτο πρὸς τὸ, Ἱππεύς· ἐπεὶ ἐνδοξότεροι οἱ ἱππεῖς τῶν πεζῇ μαχομένων. ὅτι δὲ καὶ τοῦτο δηλοῖ τὸ, Πεζομάχος, μάρτυς Θουκυδίδης, εἰπὼν ( Βιβλ. Α, ριϛ. ), « Φοίνιξι καὶ Κυπρίοις καὶ » Κίλιξιν ἐναυμάχησαν καὶ ἐπεζομάχησαν ἅμα ».—Στ. 16. Ἀθηναίαν. ] Τὸ, Ἀθηνείαν, τυπογραφικῶς ἡμαρτημένον παρὰ μόνῳ τῷ Κ, χαίρειν εἴασαν οἱ μετ' αὐτὸν, πλὴν τοῦ Μ. ἔστι δὲ οὐδὲ τὸ Ἀθηναίαν ὀρθὸν, εἰ χρὴ πιστεύειν τοῖς τα τῶν Ἀττικῶν ἀκριβοῦσι. τὸν μὲν γὰρ ἄνδρα Ἀθηναῖον ἔλεγον, τὴν γυναῖκα δὲ, οὐκ ἔτ' Ἀθηναίαν (ἵνα μὴ συνεμπέσῃ τῷ τῆς θεοῦ ὀνόματι, ἣν Ἀθηναίαν, καὶ, κατὰ συναίρεσιν, Ἀθηνᾶν ἐκάλουν ), ἀλλ', Ἀττικὴν, ὡς καὶ αὐτὸς Ἡλιόδωρος ἐν τοῖς ἑξῆς ( σελ. 86 ), Ἀττικῆς ἐρωμένης, καὶ, Ἀττικῆς κόρης, λέγει. ὁ μέντοι Στέφανος ἐν τῷ περὶ Πόλεων, ( Λέξ. Ἀθῆναι ), καὶ ὁ Σουΐδας ( Λέξ. Ἀθηναίας ), μάρτυρας τῆς ἐναντίας χρήσεως παρέχονται οὐκ εὐκαταφρονήτους Ἀττικοὺς Κωμῳδίας ποιητάς. εἰκὸς μὲν οὖν οὕτως ἐσχηκέναι τὴν ἀρχαίαν τῶν Ἀττικῶν χρῆσιν, ἐπὶ μὲν τῆς θεοῦ, Ἀθηναία, ἐπὶ δὲ γυναικὸς Ἀστῆς, Ἀττικὴ, λεγόντων· ἐπεὶ δὲ μεταπεσούσης τῆς χρήσεως, οἷα φιλεῖ γίγνεσθαι, « ἤρξαντο αἱ ἀσταὶ, ἤτοι Ἀττι» καὶ γυναῖκες, Ἀθηναῖαι λέγεσθαι, τότε δὴ ἐπενοήθη καὶ » τὸ τὴν θεὸν μηκέτι Ἀθηναίαν καλεῖσθαι, ἀλλὰ, κατὰ συν» αίρεσιν, Ἀθηνᾶν », ὡς παρασημειοῦται ὁ Εὐστάθιος ( Ἰλιαδ. Δ, σελ. 84 ).

Σελ. 62. σῖ. 9. Ψάλλουσα.] Ἐν τῇ Β ἐμφέρεται, Ψάλασα, κατὰ τὸν ἀόριστον χρόνον· ὅπερ ἴσως δοκιμώτερον. — Στ. 11, Καθ' ἑαυτῆς.] Ἀνοίκειον ὂν τοῦ παρόντος χωρίου τὸ, Καθ' ἑαυτὴν, οὐκ ὤκνησα μεταβαλεῖν εἰς τὸ, Καθ' ἑαυτῆς. — Στ. 13, Ἐπίχρυσος.] Τὸ παρὰ πᾶσιν, Ὑπόχρυσος, δύο ταῦτα δύναιτ' ἂν σημαίνειν, ἤτοι, Ὀλιγόχρυσος, τῆς προθέσεως μειωτικῶς ἐκλαμβανομένης, ἢ, Ὑποκάτωθεν (ἤγουν ἔνδοθεν) χρυσοῦς· ὧν ἄμφω ἀνεπίδεκτον τὸ χωρίον. ὅθεν διώρθωκα, Ἐπίχρυσος, τῆς, Ἐπὶ, πλῆθος ἐνταῦθα καὶ ἐπίτασιν δηλούσης, ὡς ἐν τῷ, Ἐπίδοξος, Ἐπιποθεῖν, καὶ Ἐπιμελεῖσθαι. Στ. 16, Ἐπειδὴ κυρτουμένην αὐτῇ τὴν παρειὰν κ. τ. λ.] Αἰνίττεται τὸν περὶ τῆς Ἀθηνᾶς μῦθον, ἣ τέως αὐλεῖν εἰωθυῖα, ἐπειδὴ, εἰς ποταμὸν ἀπερείσασα τὴν ὄψιν, ἀσχημονεῖν ἔδοξε, τοὺς αὐλοὺς ἔῤῥιψεν· ὅθεν καὶ Ἀλκιβιάδης ὕστερον, ὥς φησὶ Πλούταρχος (Ἐν Ἀλκιβ. § 2), φεύγων ὡς ἀγεννὲς καὶ ἀνελεύθερον τὸ αὐλεῖν, ἔλεγεν, « Αὐλείτωσαν Θηβαίων παῖδες· » οὐ γὰρ ἴσασι διαλέγεσθαι. ἡμῖν δὲ τοῖς Ἀθηναίοις, ὡς οἱ » πατέρες λέγουσιν, ἀρχηγέτις Ἀθηνᾶ καὶ πατρῷος Ἀπόλ- » λων, ὧν ἡ μὲν ἔῤῥιψε τὸν αὐλὸν, ὁ δὲ καὶ τὸν αὐλητὴν ἐξ- » έδειρε ». — Στ. 18. Τό τε ὄμμα πιμπράμενον.] Λείπουσι ταῦτα ἐν ταῖς ΑΑ.

Σελ. 63, σῖ. 7, Ἢ τεθνηκότα.] Αἱ ΑΑ ὀρθώτερον (οἶμαι), Ἢ καὶ τεθνηκότα, μετὰ τοῦ, Καί. — Στ. 8, Ἐκέλευον.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ γράφεται, Ἠνάγκαζον. — Στ. 23, Κατὰ τὴν Ναύκρατιν ἀνεύροιμι.] Οὕτω διώρθωκα τὸ παρ' ἅπασιν ἡμαρτημένον, Ναυκρατίαν, τὴν τελευταίαν συλλαβὴν, οὐδὲν ἄλλ' ἢ τὴν πρόθεσιν οὖσαν, συνάψας τῷ ἑπομένῳ ῥήματι. πρῶτον μὲν γὰρ παρὰ πᾶσι τοῖς ἀρχαίοις Ἱστορικοῖς τε καὶ Γεωγράφοις ἡ κατ' Αἴγυπτον αὕτη πόλις, Ναύκρατις καλεῖται, ὡς δῆλον καὶ ἐκ τοῦ Ἐθνικοῦ, Ναυκρατίτης, ᾧ ἐχρήσατο ἀνωτέρω (σελ. 62) Ἡλιόδωρος· μόνος δὲ Στέφανος, ἐν τῷ Περὶ πόλεων, ἐξ ἑτέρου ἐθνικοῦ τοῦ, Ναυκρατιώτης, καὶ Ναυκρατίαν, ἢ οὐδετέρως, Ναυκράτιον, εἰκάζει κληθῆναί ποτε τὴν πόλιν. εἶτα καὶ τὸ, Ἀνεύροιμι, οὐ ταυτὸν πάντως τῷ, Εὕροιμι· Εὑρίσκει μὲν γάρ τις τύχῃ καὶ τὸ ὅλως ἀγνοούμενον, ἢ γοῦν ἀμφιλούμενον· Ἀνευ-

ρίσκει δὲ τὸ ζητούμενον. τῆς δὲ Ναυκράτιδος, ἥπερ ἦν Μιλησίων ἄποικος, καὶ περιφανὲς ἁπάσης Αἰγύπτου ἐμπόριον, τανῦν ἐρείπιά τινα ἀμυδρὰ περιλέλειπται, πλησίον τοῦ καλουμένου, Σαλαγιάρ.

Σελ. 64, σΊ. 2, Ἔνθα δὴ νυνὶ καὶ σὺν ὑμῖν ἐξετάζομαι.] Τὸ παρ᾽ ἅπασιν, Ἐνθάδε, γραφικῶς ἡμαρτημένον, ἔτρεψα εἰς τὸ, Ἔνθα δὴ, ἤγουν Ὅπου δή. πεισθείσῃ δὲ οὕτω γεγραφέναι τὸν Ἡλιόδωρον, εἰ συνάψοις ἀμέσως τὸ, Ἔνθα δὴ, τῷ προηγησαμένῳ, Συνέπλευσα (σελ. 63), τὰ λοιπὰ τῷ διαμέσου περιγράψας οὕτως· «Ὦ καὶ δεύτερον εἰς τὴν Αἴγυ» πτον συνέπλευσ (ι πη. . .τὰς δίκας), ἔνθα δὴ νυνὶ καὶ » σὺν ὑμῖν ἐξετάζομαι». τὸν δὲ νοῦν τοῦ, Ἐξετάζομαι, κακῶς ἐξέλαβεν ὁ Λ. ὁ δὲ Κ καὶ καθάπτεται, μὴ συνεὶς αὐτὸς, τοῦ νοήσαντος Α. τὸ γὰρ Ἐξετάζεσθαι σύν τινι, ἢ μετά τινος, ταὐτὸ δύναται τῷ, Ἀναστρέφεσθαι, ἀριθμεῖσθαι μετά τινος, καὶ ἁπλῶς τῷ, Συνεῖναί τινι.—Στ. 6, Θεοῦ τινος ἂν ἴσως δεήσει φράζοντος.] Ἴσως ἐγέγραπτο, Δεήσειε, διὰ τὸν, Ἂν, σύνδεσμον· καίπερ καὶ τοῦ, Ἂν, ἔσθ᾽ ὅ τε πρὸς μέλλοντα ὁρισΊικὸν συντασσομένου, ἐπὶ τῆς ἐνδεχομένης ὕλης, ἣν ἐνταῦθα ἱκανῶς ἐμφαίνει παρατεθὲν, τὸ Ἴσως. προσέχειν ὅμως δεῖ ταῖς τοιαύταις συντάξεσι, ὡς πολλάκις οὐ τῶν συγγραφέων, ἀλλὰ τῶν ἀντιγραφέων, αὐτὰς καινοτομούντων· οἷόν ἐσΊι τὸ παρὰ τῷ Δευαρίῳ (Περὶ Μορίων, σελ. 36), ὡς μαρτύριον τῆς τοῦ, Ἂν, πρὸς ὁρισΊικὸν μέλλοντα συντάξεως, ἐκ τοῦ Γαληνοῦ προφερόμενον, «Εἰ γάρ τι καὶ παρεῖται κατὰ ταύτας, » ῥαδίως ἐκ τῶν προειρημένων ἊΝ ΕΥ῾ΡΕΘΗ΄ΣΕΤΑΙ», ὅπου γραπτέον ἔοικε μονολεκτικῶς, ἈΝΕΥΡΕΘΗ΄ΣΕΤΑΙ. Στ. 12, Πρῶτα μὲν «εὐαγγελίζομαί σε τὴν κ. τ. λ.] Τὸ, Εὐαγγελίζομαι, συντάσσεται πρὸς δοτικὴν προσώπου καὶ αἰτιατικὴν πράγματος, ὡς καὶ ἐν ἄλλοις (σελ. 204, 232 καὶ 391) συνέταξεν Ἡλιόδωρος. ὤφειλε τοίνυν κἀνταῦθα εἰπεῖν, «Εὐαγγελίζομαί σοι τὴν Δημαινέτης τελευτήν». καὶ Φρύνιχος μὲν (σελ. 112), δοτικῇ προσώπου συντάσσεσθαι λέγων, καὶ μαρτύρια παρατίθεται τῆς τοιαύτης συντάξεως ἐκ τῶν Κωμῳδῶν. Θωμᾶς δὲ ὁ ΜάγισΊρος, ὁμολογῶν τῷ Φρυνίχῳ, προσσημειοῦται καὶ τοῦθ᾽ ὅτι ἅπαξ παρ᾽ Ἡλιοδώρῳ ἐνέτυχεν αἰτιατι-

κῇ συντασσομένῳ τῷ ῥήματι, τουτὶ δηλονότι αἰνιττόμενος τὸ χωρίον. ἔστι μὲν οὖν εἰκάσαι γραφικῶς ἡμαρτῆσθαι τὸ ΣΕ ἀντὶ τοῦ ΣΟΙ· εἰκὸς δὲ καὶ αὐτὸν τὸν Ἡλιόδωρον οὕτω γεγραφέναι, τῇ τῶν Εὐαγγελιστῶν ἀκολουθήσαντα χρήσει. καὶ γὰρ ἐν τῇ Νέᾳ Διαθήκῃ διττῶς εὕρηται συντεταγμένον τὸ ῥῆμα, καὶ δοτικῇ προσώπου, κατὰ τοὺς Ἀττικοὺς, «Καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι (Πρὸς Ῥωμ. Α, ιε΄.), καὶ αἰτιατικῇ «Εὐηγγελίζετο τὸν λαὸν (Λουκ. Γ, ιη΄), καὶ, «Εὐηγγελίζετο τὰς πόλεις πάσας (Πράξ. Η, μ΄.) — Στ. 15, Ἔπειτα φράζω.] Σημείωσαι τὸ, Ἔπειτα, ἀνταποδιδόμενον τῷ Πρῶτα μὲν, ἄνευ τοῦ, Δὲ, συνδέσμου· καὶ ἔστιν ἡ χρῆσις Ἀττικῶν, τὸ μὴ ἐξ ἀνάγκης συνάπτειν τὸν, Δὲ, τῷ, Ἔπειτα, ἢ, Εἶτα, ἄλλως τε καὶ ὅτε ὁ προηγούμενος, Μὲν, συνάπτεται τῷ, Πρῶτα, ἢ, Πρῶτον· καὶ τούτου παραδείγματα μυρία οὐ μόνον παρ' Ἡλιοδώρῳ (σελ. 226, 245, 248, καὶ 352), ἀλλὰ καὶ παρὰ πᾶσι τοῖς ἀρίστοις συγγραφεῦσί τε καὶ ποιηταῖς. ταυτὸ δὲ τοῦτο συμβαίνει, καὶ ὅτε ὁ, Μὲν, συμπέπλεκται τῷ, Μάλιστα, οἷόν ἐστι τὸ τοῦ Σοφοκλέους (Οἰδ. Τύρ. 647],

> ΜΑ'ΛΙΣΤΑ Μ'ΕΝ τόνδ' ὅρκον αἰδεσθεὶς θεῶν,
> Ε'ΠΕΙΤΑ κἀμὲ..........................

ἢ τῷ, Τοῦτο, ὡς παρὰ τῷ αὐτῷ Σοφοκλεῖ (Φιλοκτ. 1345),

> ..........ΤΟΥ'ΤΟ Μ'ΕΝ παιωνίας
> Ἐς χεῖρας ἐλθεῖν· Ε'ΙΤΑ τὴν πολύστονον
> Τροίαν ἑλόντα, κλέος ὑπέρτατον λαβεῖν.

Στ. 19, Θρύπτεται.] Θρύπτεσθαι κυρίως σημαίνει, τὸ εἰς λεπτὰ κατακλᾶσθαι, καὶ συντρίβεσθαι· ὅθεν, Θρύμματα, καθ' Ἡσύχιον, τὰ κλάσματα τοῦ ἄρτου, ἅπερ ἡ συνήθης φωνὴ, οὐ μόνον, Θρύμματα, ἀλλὰ καὶ, Θρούβαλα, καλεῖ, οἱονεὶ Θρύβαλα, εἴτε τῆς ἀρχαίας τοῦ ῡ προφορᾶς κἀν τούτῳ, καθὰ καὶ ἐν ἄλλοις πλείστοις, ὑπεμφαινομένης, εἴτε καὶ αὐτοῦ τοῦ ῡ, εἰς τὴν ου δίφθογγον τραπέντος, κατὰ Βοιωτῶν διάλεκτον, καθ' ἣν καὶ Θουγάτηρ, καὶ Κοῦμα, καὶ Κοῦνες, καὶ Οὔδωρ ἔλεγον, ἀντὶ τοῦ Θυγάτηρ, Κῦμα, Κύνες, Ὕδωρ. ἀπὸ δὲ τοῦ, Θρούβαλον, καὶ ῥῆμα, Θρουβαλίζω, οἱονεὶ Θρυβαλίζω, τὸ εἰς λεπτὰ

συντρίβω, ὡς ἀπὸ τοῦ Σκύβαλον, τὸ Σκυβαλίζω. καὶ δῆλον ἐκ τῆς ἀναλογίας, ὅτι τὸ Θρουβαλίζω οὐδὲν ἀλλοτριώτερόν ἐστι τῆς τῶν Ἑλλήνων φωνῆς, ἢ τὸ συνώνυμον αὐτοῦ, Θρουλλίζω, ὅπερ οἱ Ἀρχαῖοι, Θρυλλίζω, ἢ, Θρυλλίσσω, ἔλεγον, ταυτὸν ὡς εἰπεῖν ὂν τῷ, Θρύπτω. ἁπάντων δὲ τούτων ῥίζα καὶ πηγή ἐστι τὸ ἐν τῇ συνηθείᾳ ἁπλούστατον καὶ πρωτότυπον Θρύω, ὅπερ ἡμαρτημένως Θρειῶ ἐν τοῖς Λεξικοῖς γράφεται. καὶ ταῦτα μὲν περὶ τῆς κυρίας τοῦ ῥήματος σημασίας· ἐν δὲ τῷ προκειμένῳ χωρίῳ μεταφορικῶς ἐχρήσατο τῷ, Θρύπτεσθαι, ἀντὶ τοῦ Αὐχεῖν, σεμνύνεσθαι. ἀλλαχοῦ δὲ (σελ. 296, 297 καὶ 304), ἀντὶ τοῦ ἄλλως λεγομένου, Ἀκκίζεσθαι, τουτέστι προσποιητῶς παραιτεῖσθαι, καὶ τὸν μὴ δυνάμενον, ἢ μὴ βουλόμενον, ὑποκρίνεσθαι.

Σελ. 65, στ. 7, Διεπραξάμην.] Οὕτω διώρθωκα τὸ, Διαπραξαμένη (ὅπερ ἐν ταῖς ΑΑ ἔτι χεῖρον, Καὶ διαπραξαμένη, μετὰ τοῦ συνδέσμου γράφεται), ἵν᾽ ᾖ τὸ ἑξῆς, «Ἃ μὲν ἀδικεῖν ἔδοξα, βιασθεῖσα διεπραξάμην, ἃ δὲ » τετιμώρημαι τὴν σοὶ πολεμίαν, ἑκοῦσα διεπραξάμην», ἀπὸ κοινοῦ τοῦ, Διεπραξάμην, λαμβανομένου. τὸ δὲ ἐχόμενον, Ἀμετάκλητος, ἴσως ἦν, Ἀμετάβλητος· τὸ γὰρ β̄ οἱ Ἀντιγραφεῖς, σχηματίζοντες πολλάκις κατὰ τὸ ū τῶν Λατίνων, ὡς ἔστιν ἰδεῖν ἐν παλαιοῖς ἀντιγράφοις, συνέχεαν τῷ κ̄. πρὸς μέντοι τῷ κομψότερα εἶναι, καὶ ταὐτὸ σχεδὸν βούλεται ἡ λέξις, Ἀμετάκλητος, ἐμφερομένη παρὰ τῷ Σουΐδᾳ. οὕτω καὶ τὸ παρὰ τοῖς Γάλλοις *Irrévocable* ὅπερ ἐστὶ κατὰ λέξιν, Ἀμετάκλητος, σημαίνει πολλάκις τὸ, Ἀμετάβλητος. — Στ. 8, Πρὸς ὃ Βούλει.] Κρεῖττον ἐν τοῖς τοιούτοις τὸ εὐκτικόν· ὡς καὶ ἐν τοῖς ἑξῆς (σελ. 358), «Χρῆσθαι πρὸς » ὅ, τι βούλοιτο.» — Στ. 13. Τῆς Ἀττικῆς.] Οὕτως ἡ Β καὶ αἱ λοιπαὶ καὶ ταύτην τὴν γραφὴν ἐξέφρασαν ὅ, τε Λ, καὶ ὁ Α. ἐν δὲ ταῖς ΚΑ καὶ ΑΑ ἐμφέρεται κατ᾽ αἰτιατικὴν πτῶσιν, Τὴν Ἀττικὴν, τουτέστιν, Ἐμὲ τὴν ἐξ Ἀθηνῶν ἀνέχεσθαι βαρβάρου φίλτρον, ὅ ἐστιν ἔχθρας ἀνιαρώτερον. Στ. 16. Αὐτάγγελος.] Αὐτὴ καὶ μὴ δι᾽ ἑτέρου τὰς σεαυτῆς συμφορὰς ἐξαγγείλασα. — Στ. 16. Ἑαυτῆς.] Αἱ ΑΑ, Σεαυτῆς. ζήτει τὰ περὶ τῆς Ἀντωνυμίας ταύτης σημειωθέντα ἀνωτέρω.

(σελ.

(σελ. 45). — Στ. 23, Πάλιν.] Ἐν ταῖς ΑΑ, Πάλαι, ὅπερ ἐξέφρασε καὶ ὁ Λ. — Στ. 25, Ὡς ἐγώ σε.] Ἐξήλειψα τὸν εἰς οὐδὲν χρήσιμον σύνδεσμον τοῦ, Κἀγώ.

Σελ. 66. στ. 6. Ἄγαν ἀνδριζόμενος.] Ἐν ἅπασιν οὕτως ἐμφέρεται· ὃ δὴ καὶ εἰρωνικῶς εἰρῆσθαι ἐξεδέξατο, καθὰ καὶ τὸ μικρῷ πρόσθεν (σελ. 60), « Ὥρα σοι σαυτὸν ὑπομνῆσαι » τῆς ἄγαν ἀνδρείας ... ὁ γενναῖος καὶ Ἀττικὸς πεζομά- » χος ». μόνος δὲ ὁ Α μετέφρασεν, ὡσπερανεὶ ἀντὶ τοῦ, Ἄγαν ἀνδριζόμενος, διὰ μιᾶς λέξεως γεγραμμένον ἐτύγχανεν, Ἀνανδριζόμενος· καὶ ἴσως οὐ χεῖρον, εἴγε ἦν ἐν χρήσει τὸ, Ἀνανδρίζεσθαι. ἐν ἐκείνοις μὲν γὰρ κατάδηλος ἡ εἰρωνεία διὰ τῶν ἑξῆς γίγνεται· ἐνταῦθα δὲ ἐπηλυγάζεται καὶ ἀμωσγέπως ἐκλύεται διὰ τοῦ προσεχοῦς, Εὐλαβούμενος. — Στ. 12, Καθειμένην.] Οὕτω διορθώσας ἔγραψα (παρὰ τὸ Καθίημι), τουτέστι Κεχαλασμένην, ἢ Ἐμβεβλημένην εἰς τὸ σπήλαιον. δῆλον δὲ καὶ ἐκ τῶν ἑξῆς (σελ. 67), « Ἔλαθεν εἰς τὸ σπήλαιον καθεὶς », καὶ (σελ. 70), « Καθῆκεν εἰς τὸ σπήλαιον ». λέγονται δὲ καὶ μεταφορικῶς, Καθειμένα χωρία, τὰ ὁμαλά. ὅθεν διορθωτέον τὸν Ἡσύχιον καὶ τὸν Σουΐδαν, τὸν μὲν γράφοντα, « Καθή- » μενον, τὸ κοῖλον καὶ ὁμαλὸν χωρίον καὶ πεδίον », τὸν δὲ Σουΐδαν, « Καθήμενον πεδίον, τὸ ὁμαλὸν », μεταγράφοντας ἐν ἀμφοτέροις, Καθειμένον. — Στ. 14, Ἐπίπαν.] Ἐκ τῆς Β τὸ, Ἐπίπαν (ἄνευ τοῦ, Ὡς), ὅπερ ἰσοδυναμεῖ τῷ, Πάντως, ἢ Ἐξ ἅπαντος· ὡς καὶ παρὰ Θουκυδίδῃ (Β, 51), « Τὸ μὲν » οὖν νόσημα ... τοιοῦτον ἦν ἐπίπαν τὴν ἰδέαν », ὅπερ ὁ Σχολιαστὴς ἐξηγεῖ, Καθόλου. οἱ λοιποὶ (οἷς συνᾴδουσι καὶ αἱ ΑΑ) Ὡς ἐπίπαν, μετὰ τοῦ, Ὡς, ὅπερ ἐστὶ κολαστικὸν τοῦ, Ἐπίπαν. ἔοικε δὲ ἡμαρτῆσθαι τὰ τῆς γραφῆς, τῶν ἀντιγραφέων εἰς οὐδὲν δέον ἐπαὶ διπλωσάντων τὴν, ως, συλλαβὴν τοῦ προηγησαμένου, Ἀνηρηκώς. — Στ. 17, Γνωρίζω.] Αἱ ΚΑ καὶ ΑΑ, Νομίζω. — Στ. 18, Ἐκτετόρνευται.] Μακρῷ κρεῖττον τὸ, Ἐκτετόρευται, τῶν ΚΑ καὶ ΑΑ, ὅπερ οὐκ οἶδ' ὅπως λαθὼν παρῆκα, ὡς καὶ οἱ πρὸ ἐμοῦ ἐκδόται. Στέφανος μὲν οὖν ἐν τῷ Θησαυρῷ τῆς Ἑλληνικῆς γλώσσης, πρὸς δὲ καὶ αὐτὸς πρὸ αὐτοῦ ὁ Ἡσύχιος, οὐδεμίαν ἐοίκασι διαφορὰν εἰδέναι τοῦ, Τορεύειν καὶ τοῦ, Τορνεύειν. ὁ δὲ Σαλμάσιος (Πλινιακ. Γυ-

μνασ. σελ. 735) καὶ ὁ Κασωβὼν (ἐν ταῖς εἰς τὸν Στράβων. ση[..]είωσ. σελ. 381), τὸ μὲν Τορεύειν, ἐπὶ τοῦ γλύφειν ἢ ὁπωσδηποτοῦν ἐγχαράσσειν τύπους ζώων ἢ ἄλλων τινῶν ἐν ἀγγείοις, ἢ σκεύεσιν, ὡς ἐπίπαν ἐκ μετάλλου πεποιημένοις, τὸ δὲ Τορνεύειν, ἐπὶ τοῦ στρογγυλοῦν καὶ ὁμαλίζειν τὰ ξύλα διὰ τοῦ τεκτονικοῦ ἐργαλείου τοῦ καλουμένου, Τόρνου· ὃν οἶδε καὶ ἡ συνήθεια, καθὰ καὶ αὐτὸ τὸ, Τορνεύειν. καὶ ἐπειδὴ τὸ Τορνεύειν, εἰς κύκλον ἐστὶ περιάγειν, καὶ οἷον ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ ἐπανιέναι, ἐνλεῦθεν ἡ τῶν Ἰταλῶν γλῶσσα τῷ, *Tornare* καὶ, *Ritornare*, ἐπὶ τοῦ ἐπιστρέφειν καὶ ἐπανέρχεσθαι ἐχρήσατο. — Στ. 22, Καθάπερ τὸ ἄδυτον τὸ Πυθοῖ.] Ἤγουν τὸ, ἐν Πυθοῖ, ἀπὸ τῆς ὀνομαστικῆς Πυθώ. ἦν μὲν οὖν ἡ Πυθὼ αὐτὸς ὁ τόπος, ἐν ᾧ ἦσαν οἱ Δελφοί· τὸ δὲ Ἄδυτον τοῦ ναοῦ, χάσμα γῆς ἦν, ὡς φησὶ Διόδωρος ὁ Σικελιώτης (Βιβλ. Ιϛ, κϛ΄) ὑπ᾽ αἰγῶν εὑρεθὲν τὸ πρῶτον, εἰς ὃ πρὸ τοῦ κατασταθῆναι τὴν προφῆτιν, καὶ τὸν τρίποδα κατασκευασθῆναι, προσιόντες οἱ βουλόμενοι ἐμαντεύοντο.— Ἐν Τροφωνίου.] Ἐλλειπτικῶς τοῦ, Ἄντρῳ, ὅπερ ἦν ἐν Λεβαδίᾳ τῆς Βοιωτίας. ὅθεν καὶ ἡ παροιμία, Ἐς Τροφωνίου μεμάντευται, ἐπὶ τῶν ἀγελάστων καὶ σκυθρωπῶν· καθόσον οἱ εἰσιόντες εἰς Τροφωνίου οὐκέτι ἐγέλων, ἐκπεπληγμένοι ὑπὸ τῶν ἐμφιλοχωρούντων ἐκεῖσε ὄφεων. διάφοροι δὲ οἱ περὶ Τροφωνίου λεγόμενοι λόγοι, οὓς ἔστι μαθεῖν παρὰ τοῦ Σχολιάσαντος τὸν Ἀριστοφάνην (Νεφέλ. 508). — Στ. 23, Θεοφωνεῖν.] Οὐχ εὕρηται ἡ λέξις παρὰ τοῖς Λεξικογράφοις· τὸ, Θεσπιῳδεῖν γὰρ ἢ, Χρησμῳδεῖν, ὡς ἐπὶ τὸ πολὺ βούλεται ἡ χρῆσις ἐν τοῖς τοιούτοις.

Σελ. 67, στ. 15, Καὶ πρὸς τὸν τάραχον ΚΑῚ ΤῊΝ σπουδὴν...καταλιπών.] Ἴσως ἐγέγραπτο, ΚΑΤᾺ σπουδὴν, ἵν᾽ ᾖ, Διὰ τὸν τάραχον, ἢ ὑπὸ τοῦ τα[ρ]άχου, ὡς εἶχε σπουδῆς, καταλιπὼν τὴν Θίσβην περὶ τὸ στόμιον, διὰ τὸ μὴ σχολάζειν ἐνδοτέρῳ ταύτην εἰσαγαγεῖν.

Σελ. 68, στ. 1, Σμυχόμενοι.] Ἠρέμα καὶ κατὰ μικρὸν καιόμενοι. εἴρηται δὲ περὶ τούτου ἐν τοῖς πρόσθεν (σελ. 33). — Στ. 6, Πρὸς ἑαυτούς.] Τουτέστι πρὸς ἀλλήλους. ἔφθην εἰρηκὼς καὶ περὶ τούτου διὰ μακρῶν ἐν τοῖς πρόσθεν (σελ. 7).— Στ. 18, Ἄγριόν τι.] Οὕτως αἱ ΚΑ.

ὁ δὲ Κ (ὡς κατηκολουθήκασι καὶ οἱ λοιποὶ), Ἄγριόν τε. ὅπερ ἐπελαθόμην ὑποσημειώσασθαι ἐν αὐτῇ τῇ σελίδι. — Στ. 25, Εὐσχήμονα.] Ἐν τῇ Β γράφεται, Εὔσχημον.

Σελ. 69, στ. 5, Παράλογον.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. τὸ δὲ ἐχόμενον, Στῆθι... ἢ βεβλήσῃ, παρῴδηται ἐξ Ὁμήρου (Ἰλιάδ. Κ, 370),

Ἠὲ μέν', ἤέ σε δουρὶ κιχήσομαι...........

καὶ σημείωσαι τὸ, Βεβλήσῃ, διὰ τὸν Ἁλικαρνασσέα Διονύσιον, ὃς, καίπερ ὢν κριτικώτατος, τοὺς Μετ' ὀλίγον λεγομένους μέλλοντας, καλλονῆς χάριν, ἀντὶ τῶν Μελλόντων παραλαμβάνεσθαι ὑπέλαβεν (περὶ συνθ. ὀνομ. ς', σελ. 43), ὡς μηδενὶ διαφέρον ἄλλῳ τὸ, Λελύσεται, τοῦ, Λυθήσεται, ἅπερ αὐτὸς φέρει παραδείγματα, ἢ τῷ σχηματισμῷ. καὶ τοὺς μὲν κατὰ Διονύσιον καὶ τοὺς ἑξῆς χρόνους ἀκμάσαντας συγγραφεῖς ἀληθὲς ἴσως τὸ ἀδιαφόρως ἔστιν ὅτε κεχρῆσθαι τοῖς Μέλλουσι καὶ τοῖς λεγομένοις Μετ' ὀλίγον Μέλλουσσι, ἐπεὶ καὶ οἱ Γραμματικοὶ ὡς εἰπεῖν ἅπαντες οὐδὲν περὶ αὐτῶν σαφὲς ἀπεφήναντο, πλὴν ὅτι, Μετ' ὀλίγον μέλλοντας ὀνομάσαντες, ἀμυδρῶς πάνυ τὴν ἐνοῦσαν αὐτοῖς ἐνίοτε ἔμφασιν τοῦ μετ' ὀλίγον ἐσομένου ᾐνίξαντο· ἀλλ' οὐ διὰ τὴν ἄλογον ἐνίων χρῆσιν τῆς οἰκείας οἱ Μετ' ὀλίγον μέλλοντες ἐκστήσονται δυνάμεως. οἷον ἐν τῷ χωρίῳ τούτῳ, ὁ Ἡλιόδωρος, Βεβλήσῃ, φήσας, τὴν ὅσον οὔπω γενησομένην βολὴν, ἢ μᾶλλον εἰπεῖν, οὐκ ἐν τῷ μέλλειν γίγνεσθαι ταύτην (ὅπερ ἐξέφρασεν ἂν διὰ τοῦ Μέλλοντος, Βληθήσῃ), ἀλλ' ἐν τῷ μέλλειν γεγενῆσθαι, παραστῆσαι, καὶ τὸ ἀπὸ τῆς βολῆς μᾶλλον τραῦμα ἢ τὴν βολὴν αὐτὴν ἐβουλήθη δηλῶσαι· τὸ γὰρ, Βεβλήσῃ, ταὐτόν ἐστι τῷ, Βεβλημένος, ἢ τετρωμένος ἔσῃ· εἰς τοῦτο γὰρ καὶ ἀναλύεται, ᾗ δῆλον καὶ ἐκ τῆς τοῦ Μετ' ὀλίγον μέλλοντος πρὸς τὸν παρακείμενον συγγενείας. ἀμφοτέροις γὰρ ἡ ἐπαναδίπλωσις πρόσεστι. καὶ εἰ τὸ, Τετύφαται, ἀναλύεται (καὶ τῶν Γραμματικῶν ὁμολογούντων) εἰς τὸ, Τετυμμένοι εἰσὶ, καὶ τὸ, Τετύψονται, πάντως εἰς οὐδὲν ἄλλ' ἢ εἰς τὸ, Τετυμμένοι ἔσονται, ἀναλυθήσεται. καὶ οὐκ ἀλόγως ἴσως οἱ Γραμματικοὶ Μετ' ὀλίγον μέλλοντα ὠνόμασαν τὸν τοιοῦτον μέλλοντα· παράκειται γὰρ καὶ οὗτος τῷ ἁπλῷ Μέλλοντι, ὥσπερ ὁ ἰδίως λεγόμενος παρακείμενος τῷ ἐνεστῶτι.

καὶ ἔστι φάναι ὅτι, ὥσπερ τὸν παρακείμενον, τὸ ἐντελὲς ἐμφαίνοντα τοῦ ἐνεστῶτος, οὐδὲν κωλύει καὶ, Ἐντελῆ ἐνεστῶτα, καὶ, Πρὸ ὀλίγου ἐνεστῶτα, καλεῖν, τὸν αὐτὸν τρόπον καὶ ὁ τὴν ἐπαναδίπλωσιν ἐπιδεξάμενος Μέλλων, εἴη ἂν ἐντελὴς Μέλλων, καὶ πρὸς μὲν τὸν ἁπλοῦν Μέλλοντα, Πρὸ ὀλίγου Μέλλων, πρὸς δὲ τὸν Ἐνεστῶτα, Μετ᾽ ὀλίγον Μέλλων, ἅτε τοῦ Ἐνεστῶτος καὶ τοῦ Μέλλοντος ἐν μεθορίῳ πως κείμενος· ἐμφαίνει γάρ τὴν ἐντέλειαν τοῦ μέλλοντος, καὶ μετὰ τῆς ἐντελείας καὶ αὐτὸ τὸ ὅσον οὔπω τοῦ μέλλοντος, ὡς ἐν τῷ χωρίῳ τούτῳ· ἔστι δὲ ὅτε τὸ συνεχὲς καὶ ἀδιάλειπτον τῆς ἐνεργείας αὐτῆς τοῦ ἐνεστῶτος, κομψῶς πάνυ δηλοῖ, οἷον ἐν τοῖσδε τοῦ Πλάτωνος ( Ε. Πολιτ. σελ. 457 ), « Κάλλιστα γὰρ δὴ τοῦτο καὶ λέγεται καὶ » ΛΕΛΕΞΕΤΑΙ, ὅτι τὸ μὲν ὠφέλιμον καλὸν, τὸ δὲ βλα-» βερὸν, αἰσχρὸν », ἐν οἷς εἰ, ΛΕΧΘΗΣΕΤΑΙ, ἀντὶ τοῦ, Λελέξεται, ἔλεγεν ὁ Πλάτων, οὐ μὰ τὰς Χάριτας καλλονὴν ἐνεποίησεν ἂν τῷ λόγῳ, ὡς ᾤετο Διονύσιος, ἀλλ᾽ ἀκυρολογίας ὦφλε δίκην. σημαίνει γὰρ ἐνταῦθα τὸ, Λελέξεται, οὐ τὸ ἁπλῶς, Λεχθήσεται, ἀλλὰ τὸ, Ἀεὶ λεχθήσεται, ἢ μᾶλλον, Διατελέσει λεγόμενον, Οὐ παύσεται λεγόμενον. κἀνταῦθα μὲν διὰ τοῦ, Διατελεῖν, ἢ, Οὐ παύεσθαι, ἀποχρώντως ἂν σαφηνίζοιτο ἡ τοῦ Μετ᾽ ὀλίγον μέλλοντος δύναμις· ἔστι δὲ οὐ ἄλλο παραληπτέον ῥῆμα, ἢ καὶ τὸ προκείμενον εἰς σημασίαν ὑπό τι διάφορον μεταληπτέον. ἔστω παράδειγμα τοῦ πρώτου τὸ παρὰ Ἀριστοφάνει ( Ἱππ. 1370 ),

> Οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται,
> Ἀλλ᾽, ὥσπερ ἦν τὸ πρῶτον, ΕΓΓΕΓΡΑΨΕΤΑΙ.

ἆρ᾽ οὖν, ἧ φησὶ Διονύσιος, καλλονῆς χάριν, φήσομεν τὸν Κωμικὸν μὴ φάναι, Ἐγγραφήσεται, ἐν τῷ δευτέρῳ στίχῳ; ἢ οὐ καὶ τυφλῷ δῆλον, ὡς ἕτερόν ἄν τι, ἢ ὃ λέγειν ἐβούλετο, εἶπεν, εἰ οὕτως ἔλεγεν. ἐβούλετο δὲ λέγειν, Οὐκ ἐξαλειφήσεται· τοῦτο δέ ἐστι, ΜΕΝΕΙ ΕΓΓΕΓΡΑΜΜΕΝΟΣ, οὕτως, ὥσπερ ἦν τὸ πρότερον, ὅπερ ἄλλως ἐξενεγκεῖν οὐκ ἦν οἷόν τε, ὅτι μὴ διὰ τοῦ ΕΓΓΕΓΡΑΨΕΤΑΙ. μεταβῶμεν δὲ καὶ ἐπὶ τὸ τοῦ δευτέρου παράδειγμα, λαβόντες ἐκ τοῦ Πλουτάρχου ( Λακων. Ἀποφθ. ), « Ἐρωτηθεὶς ( ὁ Λέων ), ποίαν τις ἂν πόλιν » οἰκήσας ἀσφαλῶς οἰκοίη, Ὅπου, ἔφη, μήτε πλείω, μήτε

» ἐλάσσονα ΚΕΚΤΗΣΟΝΤΑΙ οἱ ἐνοικοῦντες ». ἐνταῦθα, εἰ τὸ, Κτηθήσονται, ἰσοδυναμεῖν τῷ, Κεκτήσονται, οὐδ' αὐτὸς ἂν εἴποι ὁ τῆς Κωμῳδίας Μελιτίδης, σχολῇ γ' ἂν Διονύσιος ὁ κριτικώτατος φαίη. λείπεται οὖν τὸ, Κτήσονται. ἀλλὰ τοῦτο σημαίνει, Πορίσονται· ἐβούλετο δὲ οὐ τοῦτο λέγειν ὁ παρὰ τῷ Πλουτάρχῳ Λέων, ἀλλὰ τὸ, Ἕξουσιν, ὅπερ ἰσοδυναμεῖ τῷ, Κεκτημένοι ἔσονται, εἰς ὃ καὶ ἀναλύεται τὸ, Κεκτήσονται. καὶ περὶ μὲν τούτων μακρῷ πλείονα ἂν ἔχων εἰπεῖν, ἐνταῦθα καταπαύσω τὸν λόγον· ὅσα δὲ καὶ τοῦ προκειμένου παρεκβὰς εἴρηκα, λελέχθων ἕνεκα τῶν φιλολόγων νέων, οἷς ἐκ τῆς φιλοσόφου τῶν ἀρχαίων Συγγραφέων ἀναγνώσεως μᾶλλον, ἢ τῆς τῶν Γραμματικῶν ἀδολεσχίας, τὴν τῆς Ἑλλάδος φωνῆς γνῶσιν θηρατέον ἐστί. εἰ γὰρ μήτε Διονυσίῳ, τῷ φιλοσόφως τὰ τῆς Γραμματικῆς ἐξετάσαντι, ἀνεξετάστως χρὴ πιστεύειν ἐν ἅπασιν, ἦπουγε ὡς Ἑλληνισμοῦ διδασκάλοις σφᾶς αὐτοὺς ἐγχειρίζειν ὀφείλουσι τοῖς λαλιστέροις μὲν χελιδόνος ἐν τοῖς προχείροις, ἀφωνοτέροις δὲ καὶ αὐτῶν τῶν ἰχθύων ἐν τοῖς ὧν ἄνευ οὐχ ὅπως ἑλληνίζειν, ἀλλ' οὐδὲ συνιέναι τὰ τῶν Ἑλλήνων οἷόν τε. ἐκεῖνο δὲ πρὸ πάντων ἐνθυμητέον, ὡς ὁ δίχα φιλοσοφίας τὰ τῆς Γραμματικῆς ἐρευνῶν διάκενός ἐστι λεξιθήρας, καὶ Γραμματιστὴς ἂν δικαιότερον ἢ Γραμματικὸς καλοῖτο. — Στ. 11 Ἀδικῶν.] Ἴσως γραπτέον, Ἀδικεῖν· εὐσυνάρτητα γὰρ οὕτω μᾶλλον ἂν εἴη τὰ τῆς συντάξεως. ὁ δὲ νοῦς, Διατεινόμενος ἀδικεῖν τε οὐδὲν, καὶ γεγενῆσθαι τῶν φιλίων τῇ προτεραίᾳ, καὶ παρὰ φίλους ἥκειν τανῦν.

Σελ. 70, στ. 8, Μάθοι δ' ἂν ἡδέως.] Ἐν ταῖς ΚΑ, Μαθεῖν ἄν· ἐν δὲ ταῖς ΑΑ, Μαθεῖν δὲ ἄν. — Στ. 14, Ἔτι τοῦ αἵματος.] Οὕτως ἡ Β, ἄνευ τοῦ, Καί. — Στ. 15, Θερμὸν ἔτι τὸν σίδηρον ἀποπτύοντα.] Παρῳδήθη ἐκ τῶν Ὁμήρου (Ἰλιάδ. Υ, 475),

Πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι........

καὶ (Ψ, 780),

Στῆ δὲ κέρας μετὰ χερσὶν ἔχων βοὸς ἀγραύλοιο,
Ὄνθον ἀποπτύων..........................

Στ. 18, Ἀχλύϊ.] Εἰκότως ἄν τις ὑπολάβοι ἐνταῦθα, « Ἀχεῖ » καὶ σιγῇ κάτοχος » γεγραφέναι τὸν Ἡλιόδωρον· ὡς που καὶ Πλούταρχος εἴρηκεν (ἐν Νικίᾳ § 10), « Ἀχεῖ καὶ θαύματι πε-

» πληγότος », καὶ αὖθις (ἐν Εὐμει. § 18), « Ἄχει καλείχετο, » καὶ κλαυθμὸς ἦν ». Ὅμηρος δὲ καὶ την σιγὴν τῷ ἄχει συνῆψεν, ἐν οἷς περὶ Πηνελόπης λέγει ( Οδυσσ. Δ, 704 ),

........................ Τὼ δέ οἱ ὄσσε
Δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή·

καὶ προϊὼν ἐπάγει ( Αὐτ. 716 ),

Τὴν δ' ἄχος ἀμφεχύθη θυμοφθόρον........

ἴσως δὲ καὶ, Ἀχνύϊ, ἔγραψεν Ἡλιόδωρος διὰ τοῦ ν· εὕρηται γὰρ καὶ ἡ Ἀχνὺς συνωνύμως τῷ Ἄχει τὴν ἀνίαν ἢ λύπην σημαίνουσα ( ὡς δηλοῖ καὶ τὸ, Ἄχνυμαι, ῥῆμα, ᾧ συνεχῶς Ὅμηρος χρῆται )· ἧς καὶ μαρτύριον οὐκ οἶδα ὅθεν λαβὼν παρατίθεται ὁ Ἐτυμολόγος ( σελ. 182 ) τὸ,

Τῆς δ' ὀλοφυρομένης ἀμφ' ἀχνύϊ εἴβεται αἰών.

χωρὶς εἰ μή τις καὶ παρὰ τούτῳ γραπτέον, Ἀμφ' ἀχλύϊ, καὶ τὸ παρ' Ἡλιοδώρῳ Ἀχλύϊ ὀρθῶς ἔχειν διατείνοιτο, ὡς παρῳδηθὲν ἢ μετενεχθὲν ἐξ Ὁμήρου, ὃς καὶ τὴν Ἀχλὺν, ἤγουν τὸν σκοτισμὸν, ὡς παρεπόμενον τῆς λύπης οἶδεν, ἐν οἷς παρεισάγει τὸν Ἕκτορα ἀνιώμενον ἐπὶ τῷ τοῦ ἀδελφοῦ θανάτῳ ( Ἰλιαδ. Υ, 421 ),

Κάρ ῥά οἱ ὀφθαλμῶν κέχυτ' ἀχλύς........

εὕρηται δὲ καὶ Ἀχλύμενος ἀντὶ τοῦ λυπούμενος παρ' Ἡσυχίῳ. — Στ. 22, Τὸ ὄνομα κατὰ μέρος ἀποτέμνων κ. τ. λ. ] Γραφικῶς τοῦτο· αὐτὸν γὰρ ἄν τις τὸν Θέρμουθιν ὁρᾶν δόξειεν εἰς ὕπνον καταφερόμενον, καὶ ἀκούειν ἀποτέμνοντος αὐτοῦ τὸ Θίσβης ὄνομα καὶ κατὰ μικρὸν κερματίζοντος, οἷον, Ὦ Θισβη, Ὦ Θίσ— Ὦ Θί— καὶ τελευταῖον, Ὦ, μόνον.

Σελ. 71, σ/. 2, Ἐπεισήει. ] Οὕτως ἡ Β. — Στ. 4, Ἄπορον. ] Ἐν ταῖς ΑΑ, Ἄπειρον. — Στ. 5, Ἐζόφουν. ] Πληθυντικῶς γράφειν δεῖν ἔγνων διὰ τὰ προηγούμενα, Πλῆθος, Ἄπορον, καὶ Ἄδηλον, πολλὰ ὄντα· ἀλλ' ἴσως, ἄμεινον κατὰ χώραν ἐᾶν τὴν γραφήν· χαίρει γὰρ Ἡλιόδωρος τῷ πολλοῖς οὐσιαστικοῖς ἑνικὸν ἐπάγειν ῥῆμα. — Στ. 12, Ῥιπτεῖ. ] Οὕτως αἱ ΚΑ, ὅπερ ἐστὶν Ἀττικώτερον· ὡς καὶ ἐν τοῖς ἑξῆς ( σελ. 247 ), Ἀναῤῥιπτοῦντες, ἐρεῖ, ἀντὶ τοῦ, Ἀναῤῥίπτοντες, καὶ ( σελ. 375 ), Πιεζοῦντες, ἀντὶ τοῦ, Πιέζοντες. — Στ. 19, Ἠνέσχετο. ] Ἐν τῇ Β, Ὑπηνέσχετο. — Στ. 20, Ἐσπά-

σαντο.] Ἐν ταῖς ΚΑ καὶ ἄλ., Ἐπάσαντο, τουτέστιν, ἐγεύσαντο. ἐρεῖ μέντοι καὶ ἐν τοῖς ἑξῆς (σελ. 173), « Ὀλίγον δὲ » καὶ ὕπνου σπάσωμεν) ». — Στ. 22 Τῇδε ξυγκειμένη.] Τοῦτον τὸν τρόπον (καὶ οὐκ, Ἐν τῷδε τῷ τόπῳ, ὡς ἐξέλαβεν ὁ Λ.) κειμένη μετὰ τοῦ Θεαγένους· τὸ γὰρ, Τῇδε, ἐνταῦθα οὐ τοπικὸν, ὡς ἐν τοῖς ἑξῆς (σελ. 73). — Στ. 23, Ὑποκαθήμενος.] Τουτέστι, δολερὸν καὶ ἐπίβουλον ἔχων τὸ βλέμμα, ἀπὸ μεταφορᾶς τῶν ἐνεδρευόντων, οὓς Ὑποκαθῆσθαι (σελ. 200), λέγομεν· « Ἐνέδραν (φησὶν Ἡσύχιος), ἔγκρυμμα δολερὸν, » ὑποκάθισμα », — Στ. 25, Ἐξῄρητο.] Ἐχρήσατο καὶ Χαρίτων (Ζ, ε). τῇ λέξει. ἀλλ' ὅμως συνηθέστερα τὸ, Ἐκκόπτειν (σελ. 77), καὶ τὸ, Ἐξορύττειν, ἐστὶν ἐπὶ ὀφθαλμῶν. ἄμεινον δὲ λέγειν ἐν παρατάσει, Ἐξῃρεῖτο (ὡς μετέφρασε καὶ ὁ Λ), ὅ ἐστιν, Ἐξελεῖν ἐπεχείρει, καὶ ἐνεργητικῶς δὲ, Ἐξῄρει, ὡς καὶ προϊὼν ἐρεῖ (σελ. 72) « Τόν ὀφθαλμὸν . . . ἐξεῖλε τὸν « δεξιόν »· τὰ γὰρ τοῦ Μέσου ἐνταῦθα οὐ πάνυ τι ἔῤῥωται.

Σελ. 72, στ. 14, Ἐπεκώμασε.] Ἔτρεψα τὸν παρατατικὸν εἰς τὸν ἀόριστον, ὑπαγορεύοντος τοῦτο καὶ τοῦ ἑπομένου, Ἐξεῖλε. — Στ. 21, Ὀφθαλμὸν . . . καὶ Ψυχήν.] Ἐρωτικαὶ φιλοφρονήσεις, διαμείνασαι μέχρι καὶ δεῦρο ἐν τῇ συνηθείᾳ· λέγομεν γὰρ πρὸς τοὺς ὁπωσοῦν ἀγαπωμένους, Ὀμμάτιά μου, Φῶς μου, Ψυχή μου. — Στ. 25, Ἄλλῃ πῃ φράζεσθαι.] Τουτέστι, κατ' ἄλλον τινὰ τρόπον ἐξηγεῖσθαι.

Σελ. 73, στ. 2, Εἴποτε ἦσαν.] Τὸ, Εἰ, οἱ μεταφράσαντες, σύνδεσμον συναπτικὸν ἐξεδέξαντο. ἔοικε μέντοι Ἡλιόδωρος εὐκτικῶς ἀντὶ τοῦ, Εἴθε, χρήσασθαι τῷ Εἰ· ὃ δὴ καὶ μετὰ τοῦ, Ποτὲ, σύναψας, ὑπονοεῖν παρέχει καὶ αὐτὸ τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον εὐκτικὸν, Ἄμποτε (ἐκ τοῦ Ἄν, καὶ τοῦ Ποτὲ συγκείμενον), οὐδὲν ἄλλ' εἶναι ἢ τὸ, Εἴ ποτε. ἔστιν οὖν ὁ νοῦς τοῦ χωρίου, Τῆς δὲ Χαρικλείας, ὁμολογούσης ἔχειν πατέρας, καὶ εἰπούσης, Εἴθε ἦσαν, ἤγουν, Εἴθ' ὤφελον εἶναι ζῶντες. ἄξιον δὲ προσσημειώσασθαι ὅτι καὶ τὸ Ὁμηρικὸν, Εἴποτ' ἔην, εὐκτικῶς ἔοικεν ἐκλαβεῖν ὁ Ἡλιόδωρος· καὶ γὰρ παρῳδεῖ δηλονότι ἅπερ ὁ ποιητὴς τὸν Τηλέμαχον παράγει λέγοντα περὶ τοῦ ἰδίου πατρὸς (Ὀδυσσ. Ο, 267),

. . . . . . . . . . . Πατὴρ δέ μοι ἐστὶν Ὀδυσσεὺς,
Εἴ ποτ' ἔην· νῦν δ' ἤδη ἀπέφθιτο λυγρῷ ὀλέθρῳ.

ταῦτα δὲ δῆλός ἐστιν ἄλλως ἐκδεξάμενος ὁ Εὐστάθιος ἐξ ὧν φησι, « Καὶ ὅρα τὸ, Εἴποτ' ἔην, περιπαθῶς τε λεχθὲν, καὶ ἐπὶ » διορθώσει τοῦ, Πατὴρ δέ μοι ἐστὶν Ὀδυσσεύς· οὐ γάρ ἐστιν » ὁ ἤδη φθαρεὶς ὀλέθρῳ λυγρῷ, ἀλλὰ ΗΝ ΠΟΤΕ». — Στ. 5, Φύντας.] Ἐν ἅπασι δισυλλάβως καὶ προπερισπωμένως, Φῦντας, πλὴν τῆς Β, ἐν ᾗ ἄμεινον καὶ τῇ κοινῇ χρήσει μᾶλλον οἰκείως γράφεται, Φύσαντας. τὸ μὲν γὰρ, Φύντας (παρὰ τὸ, Φῦμι) ταὐτόν ἐστι τῷ Γεννηθέντας, οἷον τὸ (Εὐριπίδ. Ἡρακλείδ. 510),

Πατρὸς δ' ἐκείνου φύντας, οὗ πεφύκαμεν·

τὸ δὲ, Φύσαντας (παρὰ τὸ, Φύω) σημαίνει τὸ Γεννήσαντας, οἷον τὸ (Αὐτ. Φοινίσσ. 34),

Ἔστειχε, τοὺς φύσαντας ἐκμαθεῖν θέλων.

γένοιτο δ' ἂν κατάδηλος παρ' ἄλληλα τεθέντων τῶν ῥημάτων ἡ δύναμις, οἷον (Αὐτ. Φοινίσσ. 8),

Πολύδωρον ἘΞΕΦΥΣΕ· τοῦ δὲ Λάβδακον
ΦΥΝΑΙ λέγουσιν..................

ὤφειλον οὖν γράφειν, Φύσαντας, εἰ μὴ ἐκώλυεν αὐτὸς Ἡλιόδωρος, γράψας καὶ ἐν ἄλλοις χωρίοις, Φύντα, ἀντὶ τοῦ, Φύσαντα, καὶ, Φύντι, ἀντὶ τοῦ, Φύσαντι (σελ. 264). καὶ οὐ θαυμαστὸν τοὺς ἐπὶ τῆς τοῦ Ἑλληνισμοῦ παρακμῆς γεγονότας πολλὰ τοιαῦτα καινοτομῆσαι, ὅπου γε καὶ τῶν πολλοῖς ἔτεσι προγεγονότων τοὺς πλείστους χαλεπὸν ἐν ἅπασιν ἀνεπιλήπτους εὑρεῖν — Στ. 6, Ἐπὶ πατέρα κ. τ. λ.] Ὁ νοῦς, Οἱ ὄνειροι σοφίζονται, τουτέστι σοφῶς δηλοῦσι καὶ σημαίνουσι, τὸν πατέρα καὶ τὴν μητέρα τοὺς αἰτίους τοῦ βλέπειν τὸ φῶς ἡμῖν, διὰ τῆς συζυγίας τῶν ὀμμάτων, ἤγουν τῶν δύο ὀφθαλμῶν, ὡς αἰσθανομένων τὸ φῶς καὶ ὑπουργούντων τοῖς ὁρατοῖς. ἔνθα καὶ σημειωτέον, ὡς δεῖγμα τῆς Ἡλιοδώρου πολυμαθίας, ὅτι οὐκ ηὐτοσχεδίακε τὴν τοῦ ὀνείρου κρίσιν, ἀλλ' ἐξ αὐτῶν τῶν Ὀνειροκριτικῶν βίβλων τοῦ διακοσίοις ὁμοῦ τι προγεγονότος ἔτεσιν Ἀρτεμιδώρου μετενήνοχε. ταῦτα δὲ ἐκεῖνός φησι περὶ τῶν ἐν ὕπνοις φανταζομένων παθημάτων τῶν ὀφθαλμῶν (Ὀνειροκριτ. Α, κη'.) «Τὸ δὲ δοκεῖν τετυφλῶσθαι ἀμφοτέρους τοὺς ὀφθαλ» μοὺς, σημαίνει τοῖς παισὶν ὄλεθρον τοῦ ἰδόντος, καὶ ἀδελφοῖς

» φοῖς, καὶ γονεῦσι· παισὶ μὲν, διὰ τὸν ἔμπροσθεν λόγον· » ἀδελφοῖς δὲ, ὅτι καὶ οἱ ὀφθαλμοὶ ἀδελφοί εἰσιν ἀλλήλων· » γονεῦσι δὲ, ὅτι καὶ οἱ οφθαλμοὶ αἴτιοί εἰσι τοῦ τὸ φῶς ὁρᾷν, » ὥσπερ καὶ οἱ γονεῖς· ἡ δὲ τούτων ἀπώλεια τὴν τῶν ὁμοίων » ἀπώλειαν σημαίνει ... εἰδέ τις τὸν ἕτερον τῶν ὀφθαλμῶν » τυφλὸς εἶναι δόξειεν, ἀπὸ μέρους τὰ σημαινόμενα γένοιτ' ἂν » αὐτῷ, καὶ ὡς εἰπεῖν ἐξ ἡμισείας. ἔτι καὶ τοῦτο χρὴ σκοπεῖν, » ὅτι ὁ μὲν δεξιὸς ὀφθαλμὸς σημαίνει τὸν υἱὸν, καὶ ἀδελφὸν, » καὶ πατέρα· ὁ δὲ ἀριστερὸς, θυγατέρα, καὶ ἀδελφὴν, » καὶ μητέρα κ. τ. λ. » — Στ. 9, Πλὴν ἀλλ' ἔστω γε κ. τ. λ.] Τουτέστι, Τεθναίη μοι μᾶλλον ὁ πατὴρ, ἢ ὁ Θεαγένης. τοῦτο δὲ, καίπερ οὕτως ἔχον τῇ φύσει, οὐκ ὤφειλεν Ἡλιόδωρος παραγαγεῖν λέγουσαν, νέαν καὶ σωφρονοῦσαν κόρην, τὴν Χαρίκλειαν. οὐ δὲ γὰρ πάντα τὰ κατὰ φύσιν εὐπρεπῶς ἂν λέγοιτο, ἀλλὰ δεῖ καὶ λόγου τοῦ κολούοντος τὰς ὁρμὰς τῆς φύσεως· πλὴν εἰ μή τις, τῷ μηδ' ἐγνῶσθαί πω τῇ Χαρικλείᾳ τοὺς φύσαντας, παραμυθοῖτο τὸ εἰρημένον. — Στ. 21, ἄρχε βουλῆς.] Ὅμηρος (Ἰλιάδ. Β, 84),

Ὣς ἄρα φωνήσας, βουλῆς ἐξῆρχε νέεσθαι.

Στ. 23, Συνιέναι.] Ἐν ταῖς ΚΑ, ΑΑ καὶ ΔΑ 467, Συνεῖναι, ὡς καὶ ἐν τοῖς ἑξῆς (σελ. 254)· φέρεται δὲ καὶ ἑτέρα γραφὴ ἐν ταῖς ΚΑ, Γνῶναι, ὅπερ ἐστὶν ἐξήγησις τοῦ, Συνεῖναι.

Σελ. 74, στ. 8, Σίτου δὲ ... οὐδὲ ὄνομα περιλέλειπται.] Καθ' ὑπερβολὴν τοῦτο· καθὰ καὶ τὸ τοῦ Ἀριστοφάνους (Λυσιστρ. 107),

Ἀλλ' οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ.

Στ. 11, Ἦ καὶ νὴ Δία.] Τὴν προδήλως ἡμαρτημένην γραφὴν διορθώσαι οὐκ ὤκνησα, γράψαι, Ἦ καὶ νὴ Δία. χρῶνται δὲ πάνυ κομψῶς τῷ, Νὴ Δία, ἐν ταῖς μεταβάσεσι τοῦ λόγου ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ ἄμεινον, ἢ ἀπὸ τούτου ἐπὶ τὸ χεῖρον, καὶ ὅλως ἐπὶ τὸ παραδοξότερον. αὐτίκα ὁ καὶ καλακόρως τῇ φράσει ταύτῃ χρησάμενος Πλούταρχος (Πῶς ἂν τις διακρ. τὸν κόλακ. τοῦ φίλ. § 15), « Καὶ παιδιᾷ καὶ » τραπέζῃ καὶ οἴνῳ, καὶ νὴ Δία γέλωτι καὶ φλυαρίᾳ »· καὶ μετ' οὐ πολλὰ, « Κρόκον καὶ νάρδον ἐπέβαλε, καὶ νὴ Δία πολ» λάκις ἔλουσε ». οὐκ ἄκαιρον δὲ ἴσως παραθέσθαι καὶ τὸ τοῦ Διοδώρου τοῦ Σικελιώτου (ΙΘ, ρζ'), « Εἴτε καὶ ψευδέσι

» διαβολαῖς φυγάδων πεισθεὶς, ἢ καὶ νὴ Δία χρημάτων βουλό-
» μενος εὐπορῆσαι». —Στ. 12, Εἰ γὰρ καθ' ἓν κ. τ. λ.] Τοῦτο οἱ πρὸ ἡμῶν, Εἰ καθ' ἕνα, ἐξενεγκόντες τοῖς προηγουμένοις οὕτω συνῆψαν, ὡς τὴν ὅλην τοῦ λόγου συνάρτησιν ὑπόμωρόν πως καὶ τῆς Ἡλιοδώρου δριμύτητος ἀλλοτρίαν γίγνεσθαι, « Ἤτοι τῶν ἐναντίων πάλιν ἘΛΘΌΝΤΩΝ... γεγονό-
» των, εἰ καθ' ἕνα ποτὲ συλλεγέντες... ἘΠΈΛΘΟΙΕΝ
» διὰ τὰ χρήματα». σίξαντες δὲ μετὰ τὸ, Χρήματα, σιγμῇ τελείᾳ, ἀπ' ἄλλης ἀρχῆς ἀναγινώσκουσι, « Τότε οὐκ ἂν
» φθάνοιμεν κ. τ. λ.», ὅπερ ὁ Λ καὶ ὁ Α μετέφρασαν ὡσανεὶ ἐγέγραπτο, Τότε γὰρ οὐκ ἂν φθάνοιμεν. ἀλλ' ἡμεῖς τὸν μὲν Γὰρ σύνδεσμον τῇ τῆς περιόδου προτάσει συνάψαντες, μετά τε τὸ, Χρήματα, ὑποσίξαντες μόνον, τὰ ἑξῆς, Τότε οὐκ ἂν φθάνοιμεν, ὡς ἀπόδοσιν τῆς προτάσεως ἐξεννηνόχαμεν. ἐγράψαμεν δὲ καὶ, Καθ' ἓν, ἀντὶ τοῦ, Καθ' ἕνα. ἔσι δὲ τὸ, Καθ' ἓν συλλεγέντες, ταὐτὸν τῷ, Ἐπὶ τὸ αὐτὸ συλλεγέντες καὶ ὁμοῦ γενόμενοι. οὕτως ἐν τοῖς ἑξῆς (σελ. 364), « Καθ' ἓν τὸν
« σρατὸν ἦγεν », ἐρεῖ.

Σελ. 75, σί. 2, Δύσεριν τὸ ἦθος.] Λείπει τὸ ἄρθρον ἐν ταῖς ΑΑ. Εἰ μὲν ἐπιθετικῶς πρὸς τὸ, Ἄνδρα, ἐκλάβοις τὸ, Ἀβέβαιον, καὶ τὸ, Λῃσρικὸν, ἀναγνωσέον, Δύσεριν, ἀρσενικῶς, ὡς διώρθωκα, ἵνα καὶ τοῦτο πρὸς τὸ Ἄνδρα ἀναφέρεσθαι ἔχῃ, τῆς, Τὸ ἦθος, αἰτιατικῆς, συνεκδοχικῶς ἐκλαμβανομένης· εἰδὲ πρὸς τὸ, Ἦθος, παραρελεῖφθαι τοῖς ἀντιγραφεῦσι τὴν μετοχὴν, Ἔχοντα, ὑποληπτέον, ἵν' ᾖ « Ἄνδρα...
» φύσει τε ἀβέβαιον καὶ λῃσρικὸν καὶ δύσερι τὸ ἦθος ἔχοντα »·
οἷόν ἐσι τὸ παρὰ Πλουτάρχῳ (Φιλοποίμ. § 17), « Οὕτως
» εἶχέ τι ... δύσερι καὶ φιλόνεικον »· πλὴν εἰ μή που πρὸς τὸ, Φέροντα, ἀπὸ κοινοῦ ταῦτα συντετάχθαι τις φήσειε. Στ. 4, Ἐπιβουλεύσειεν.] Ἴσως ἐγέγραπτο, Ἐπιβουλεύσει, καθ' ὁριστικὸν μέλλοντα.—Στ. 7, Ὁρμήσαντες.] Διὰ τοῦ η, οὐ διὰ τοῦ ι γραπτέον εἶναι, παντὶ δῆλον. οὕτω καὶ ἀνωτέρω (σελ. 55) ἔγραψα Προσορμήσαντες, ἀντὶ τοῦ ἡμαρτημένου, Προσορμίσαντες. — Στ. 13, Ὅσα γῆν.] Οὕτως ὀρθῶς ἡ Β. Πρῶτος ὁ Κ διορθοῦν ἐπεχείρησεν, Ὅσα γ' ἦν, ὅπερ οἱ μετ' αὐτὸν ἀνεπισκέπτως παρέλαβον. — Στ. 14, Διὰ τὴν ὁσίαν.]

Διὰ τὸν νόμον, διὰ τὰ νομιζόμενα γίνεσθαι περὶ τοὺς νεκρούς. καὶ ἴσως ἐντεῦθεν ἡ κοινὴ συνήθεια, Μακαρίαν, ὠνόμασε τὸν διανεμόμενον ἐν ταῖς ἐκφοραῖς οἶνον μετὰ διπύρων ἀρτίσκων· καθὰ καὶ οἱ Παλαιοὶ, Μακαρίαν, ἐκάλουν τὰ νεωστὶ ἀληλεσμένα ἄλφιτα, μέλιτι ἀναδεδευμένα, καὶ ἀσταφίσι καὶ χλωροῖς ἐρεβίνθοις μεμιγμένα, ἃ τοῖς τὰ ἱερὰ τελοῦσιν ἔνεμον, ὥς φησιν Ἁρποκρατίων (λεξ. Νεήλατα). λέγεται δὲ τὸ, Διὰ τὴν ὁσίαν, καὶ, ὁσίας ἕνεκα ἢ χάριν, καὶ Νόμου χάριν· ὅθεν καὶ Ἀφοσιώσασθαι, τὸ πληρῶσαι τὰ περὶ τοὺς νεκροὺς ὅσια. αἱ δὲ λέξεις καὶ εἰς ἑτέραν σημασίαν ἐκπεπτώκασιν· Ἀφοσιοῦσθαι γὰρ, ἢ, Ὁσίας ἕνεκά τι δρᾶν, φαμὲν, τὸ μὴ κατὰ προαίρεσιν μηδὲ παρεσκευασμένως, ἀλλ' ἀμελῶς καὶ ἐν παρέργῳ, ἔσθ' ὅτε δὲ καὶ προσποιητῶς τι ποιεῖν, καὶ τοσοῦτον μόνον, ὅσον ἀποτρίψασθαι τὸν ἐκ τοῦ μὴ ποιῆσαι ψόγον, ἐκ τούτου τυχὸν τῆς σημασίας μετενεχθείσης, ὅτι πρὸς ἐκείνους μάλιστα, Ὁσίας ἕνεκα πράττομέν τι, ἢ Ἀφοσιούμεθα, οὓς ἴσα καὶ νεκροὺς ἀποστρεφόμεθα. ἐκφράζει δὲ τοῦτο ἡ κοινὴ συνήθεια, Ὅσον νὰ λογῆται, καὶ χυδαιότερον, Ὅσον νὰ λογᾶται· ὅπερ οὐδ' αὐτὸ τῆς Ἑλλάδος φωνῆς ἀπεξένωται· τὸ γὰρ, Ὁσίας χάριν, τοῖς ἄλλοις λεγόμενον, Ἀριστοτέλης διὰ τοῦ, Λόγου χάριν ἐξήνεγκεν, ἐν οἷς φησὶ (Πολιτ. Γ, κφ. Θ'.) « Δεῖ περὶ ἀρετῆς ἐπιμελὲς » εἶναι τῇ γ' ὡς ἀληθῶς ὀνομαζομένῃ πόλει, μὴ λόγου » χάριν ». — Στ. 18. Πορεύεσθαι.] Ἡ σύνταξις ἀπῄτει, Πορεύσεσθαι, διὰ τὸ ἑπόμενον, Ἀναρρίψειν· ἀλλ' ἔστιν ὁ ἀντιχρονισμὸς τῶν Ἀττικῶν, ἐξ Ὁμήρου λαβὼν τὴν ἀρχήν· καὶ τοῦ μὲν, Εἶμι, ῥήματος, τοῦ σημαίνοντος τὸ, Πορεύομαι, καὶ τῶν ἐξ αὐτοῦ συντιθεμένων, τῷ ἐνεστῶτι ἀντὶ μέλλοντος χρῆσθαι, οὐδεὶς ὡς εἰπεῖν τῶν γραμματικῶν ἐστὶν ὃς οὐκ ἐσημειώσατο· ὥστε καὶ βαρβαρισμὸν ἄντικρυς κατηγορεῖν τὸν Φρύνιχον τῶν λεγόντων, Ἀπελεύσομαι, καὶ οὐκ, Ἄπειμι. ὅτι δὲ καὶ τῶν συνωνύμων τῷ, Εἶμι, ῥημάτων οἱ ἐνεστῶτες ταὐτὸ τοῦτο δύνανται, ἔστι προσπαρασημειοῦσθαι ἔκ τε τοῦ προκειμένου χωρίου, καὶ ἐκ πλείστων ἄλλων ποιητῶν τε καὶ συγγραφέων, ὧν οὐκ ἄκαιρον ἴσως ἓν παραθέσθαι μαρτύριον, τὸ τοῦ Λυκούργου (Κατὰ Λεωκράτ.).

« Οὐ γὰρ μόνον νῦν οἱ φεύγοντες ΚΑΤΕΡΧΟΝΤΑΙ, » ὅταν ὁ ἐγκαταλιπὼν τὴν πόλιν...ἐν τῇ πόλει ἀναστρέφη» ται κ. τ. λ. », καὶ αὐτοῦ τῷ, Κατέρχονται, ἀντὶ τοῦ, Κατελεύσονται προφανῶς χρησαμένου· καὶ ἐν τῇ συνηθείᾳ δὲ μελλοντικῶς χρώμεθα πολλάκις τῷ, Ἔρχομαι. — Στ. 25, Λῆμα.] Κέχρηται πολλάκις τῇ λέξει ὁ Ἡλιόδωρος, Εὐριπίδην κἂν τούτῳ, ὡς καὶ ἐν πλείστοις ἄλλοις, μιμούμενος. κακῶς δὲ ἁπανταχοῦ, ὡς εἰπεῖν, διὰ τῶν δύο μμ οἱ πρὸ ἡμῶν ἐξήνεγκαν, Λῆμμα, γράψαντες. ἀπόχρη οὖν σημειώσασθαι ἅπαξ, ὅτι ἐν ἅπασι διωρθώσαμεν τὴν γραφὴν, ἥτις ἡμάρτηται καὶ παρὰ πᾶσι σχεδὸν τοῖς ἀρχαίοις Λεξικογράφοις, εἴτε σολοικίσασι αὐτοῖς, εἴτε τῆς τῶν ἀντιγραφέων σολοικίας παραπολαύσασιν. ὅθεν καὶ ὁ Λουκιανὸς (Σολοικιστ. § 5) καταγελῶν τῶν τοιούτων, φησὶν, « Εἰπόντος δέ τινος » ΛΗΜΜΑ πάρεστιν αὐτῷ, διὰ τῶν δύο μμ, Οὐκοῦν, » ἔφη, λήψεται, εἰ λῆμμα αὐτῷ πάρεστιν ». Λῆμμα μὲν γάρ ἐστι, τὸ κέρδος, παρὰ τὸ Λαμβάνω· Λῆμα δὲ, τὸ φρόνημα, ἡ τόλμη, τὸ θράσος, ἢ, ὥς φησιν Ἀμμώνιος, τὸ παράστημα τῆς ψυχῆς· ὅθεν διορθωτέον καὶ τὸν Ἡσύχιον, ἐν οἷς λέγει, « Λήματος οἷσι ΠΑΡΟΣ· τοῦ φρονήματος, » τῆς ὑπεροψίας », γράφοντας...οἷσι ΠΑΡΕΣΤΙ κ. τ. λ. ἔστι δὲ παρὰ τὸ, Λάω, τὸ σημαῖνον τὸ, Θέλω.

Σελ. 76, στ. 1, Γνωρίζω δέ σε.] Οὕτω διαῤῥήδην ἡ Β. Στ, 2, Θῆγε τὸ φρόνημα.] Φρόνημα, λέγει, ὁ πρὸ μικροῦ Λῆμα εἴρηκε· καὶ ἔστιν ἐξ Εὐριπίδου (Ὀρέστ. 1627) παρῳδηθέν,

Μενέλαε, παῦσαι λῆμ' ἔχων τεθηγμένον·

καθάπερ καὶ τὸ ἑπόμενον, Ὄρθου τὴν γνώμην, (Αὐτ. Ἱππόλυτ. 247),

Τὸ γὰρ ὀρθοῦσθαι γνώμαν ὀδυνᾷ.

Στ. 8, Ἐγκαταλεῖψαι.] Οὕτως ἐν ταῖς ΚΑ καὶ ΑΑ. — Στ. 10, Τινὰ τῶν πλησίον.] Ἐν τῇ Β, Τινὰ πλησίον· ἐν δὲ τῇ Κ, Τινὰ πλησίων. ἐξ ὧν οὐκ ὤκνησα διορθώσασθαι, Τινὰ τῶν πλησίον. — Στ. 11, Ἥμερον.] Ἡ αὐτὴ γραφὴ καὶ ἐν ταῖς ΑΑ· ἐν δὲ τῇ Β, Σήμερον, ἣν προείλετο πλανηθεὶς ὁ Α. — Στ. 12, Χέμμιν.] Χέμμις, Αἰγύπτου πόλις μεγάλη, νομοῦ τοῦ

Θηβαϊκοῦ, ὡς φησὶν Ἡρόδοτος (Βιβλ. Β, κφ. 91). Χέννιν αὐτὴν ὀνομάζει κακῶς ὁ Πλούταρχος (Περὶ Ἰσιδ. καὶ Ὀσίριδ.), « Τῶν τὸν περὶ Χέννιν οἰκούντων τόπον Πανῶν καὶ Σατύρων », φήσας. ἐξελληνίσθη δὲ ὁ σχηματισμὸς τοῦ, Χέμμις, ἀπὸ τοῦ Αἰγυπτιακοῦ τῆς πόλεως ὀνόματος, Χεμμώ, ὃ μεθερμηνευόμενον, ὥς φησὶν ὁ Σικελιώτης Διόδωρος (Βιβλ. Ι, κφ. 18), Πανὸς πόλις ἐστὶ, διὰ τὸ ἐξαιρέτως ἐκεῖ τιμᾶσθαι τὸν Πᾶνα. εἰσὶ δὲ οἳ διάφορον εἶναι βούλονται τὴν Πανόπολιν τῆς Χέμμιδος, ἣ καλεῖται τανῦν, Ἀχμὶμ, ἢ, Ἀχμίν.—Στ. 17, Εὐθὺ πρὸς Μεσημβρίαν ὁρῶντας.] Ὁρῶντας καὶ ἐν τῇ Β. ἐν δὲ ταῖς ΚΑ, Ὁρμῶντας. ἔτρεψα τὸ, Εὐθὺ, εἰς τὸ, Εὐθύ. Τὸ γὰρ Εὐθὺς ἐπιρρηματικῶς λαμβανόμενον ἐπὶ χρόνου λέγεται, τὸ δὲ Εὐθὺ, ἐφ' ὁδοῦ τῆς τεινούσης ἐπί τινος τόπου, ὡς παρασημειοῦται Ἀμμώνιος· καὶ συντάσσεται ὡς ἐπὶ τὸ πολὺ γενικῇ, καθὰ καὶ αὐτὸς Ἡλιόδωρος (σελ. 9) συνέταξεν, « Εὐθὺ τοῦ » ὄρους ἐχώρουν ». καὶ ταῦτα μὲν τῶν ἐκ τριόδου, ὡς ἄν τις φαίη, καὶ τοῖς πᾶσι κατάδηλα. ὃ δὲ μάλιστα σημειώσεως ἄξιόν ἐστιν, οὐ παρελευστέον, ὅτι πολὺ τῆς Γεωγραφικῆς ἀκριβείας ἀποπλανᾶται ὁ Ἡλιόδωρος ἐνταῦθα· εἰ γὰρ ἡ λίμνη οὐ πολύ τι ἀπεῖχε τοῦ Ἡρακλεωτικοῦ στόματος τοῦ Νείλου (σελ. 1 καὶ 9), πῶς οἷόν τε ταύτην περαιωθεῖσι, καὶ στάδια οὐ πολλῷ λειπόμενα τῶν ἑκατὸν παραμείψασιν ἐπὶ Χέμμιν εἶναι τὴν ἐν τῷ Θηβαϊκῷ νομῷ; εἰ δέ τις φήσειε τὴν ἑτέραν Χέμμιν αἰνίττεσθαι τὸν Ἡλιόδωρον, περὶ ἧς Ἡρόδοτος ἱστορεῖ (Βιβλ. Β, κφ. 156), οὐδ' οὕτως ἔρρωται ἡ διήγησις· αὕτη μὲν γὰρ ἡ Χέμμις, ἣν Ἑκαταῖος Χέμβιν ὀνομάζει, οὐ κώμη, ἀλλὰ νῆσος, καὶ οὐ ταῖς ὄχθαις τοῦ Νείλου παρῳκισμένη, ἀλλ' ἐν αὐτῇ τῇ λίμνῃ ἐστὶ τῇ παρακειμένῃ τῷ ἐν Βουτοῖ ἱερῷ τῆς Λητοῦς, ὥς φησιν Ἡρόδοτος.

Σελ. 77, στ. 2, Οὐκ ἀκόλους κ. τ. λ.] Ἐκ τῆς Ὁμήρου Ὀδυσσείας (Ρ. 222),

Αἰτίζων ἀκόλους, οὐκ ἄορας οὐδὲ λέβητας.

περὶ ὧν φησὶν Εὐστάθιος, ὅτι οἱ μὲν, Ἄορας (ἤγουν γυναῖκας) γράφοντες, ἐξηγοῦνται, Αἰτῶν οὐ μεγάλα τινὰ, οἷον γυναῖκας δμωὰς ἢ λέβητας, ἀλλὰ ἀκόλους, τουτέστιν ἄρτου κλάσματα· οἱ δὲ, Ἄορα ἀναγινώσκοντες, ἀπὸ τοῦ οὐδετέ-

ρου Ἄορ, τὰ Ξίφη, ἐνόησαν. ἀκολουθεῖ γάρ πως τοῖς ἀκόλοις τὰ ξίφη (ἤγουν τὰ μαγειρικὰ ἢ καὶ ἐπιτραπεζίδια μαχαίρια), οἷς κόπτονται, καὶ οἱ λέβητες, ἐν οἷς σκευάζονται τὰ ὄψα. ὁ μὲν οὖν Καλλίμαχος οὕτω ταῦτα παρῴδησε (Ὕμν. εἰς Δήμητρ. 116),

Αἴτιζων ἀκόλως τε καὶ ἔκβολα λύματα δαιτός.

ὁ δὲ νοῦς τῆς Ἡλιοδωρείου παρῳδίας τοιοῦτός ἐστιν, Τοσοῦτον ἀπέχετε τοῦ δοκεῖν εἶναι πτωχοὶ, καὶ οἷοι ἀγαπᾶν, εἴτις καὶ κλάσμα μόνον ἄρτου δῴη, ὥστε πολλῷ μᾶλλον ἀόρων τε καὶ λεβήτων ἀξίους ὑμᾶς οἱ θεασάμενοι ἡγήσονται. — Στ. 5, Ἐμειδίασαν.] Οὕτω γραπτέον ᾠήθην, ἵν' ἦ ἀμφότεροι, ὅ, τε Θεαγένης καὶ ἡ Χαρίκλεια· ὡς καὶ ἐν τοῖς πρόσθεν (σελ. 61), «Ἐγέλασαν πρὸς ταῦτα βραχύ τι καὶ βεβιασμένον κ. τ. λ.» — Στ. 4, Μόνοις τοῖς χείλεσιν.] Ἐκ τῆς Ἰλιάδ. (Ο, 101),

..............................ἐγέλασσε
Χείλεσιν, οὐδὲ μέτωπον..............
Ἰάνθη..............................

Στ. 6, Ἐπιμαρτυράμενοι.] Ἀορίστως ἔγραψα, διὰ τὸ προηγησάμενον, Πιστωσάμενοι. — Στ. 13, Ἡγεμονεύειν τὴν ὁδόν.] Ὅμηρος (Ὀδυσσ. Ζ, 261),

Καρπαλίμως ἔρχεσθον· ἐγὼ δ' ὁδὸν Ἡγεμονεύσω·

ὃ δὴ καὶ ὁ χαρίεστατος Ἀριστοφάνης ἀστείως πάνυ παρῴδησεν (Εἰρήν. 1093),

Ἔσπενδον δεπάεσσιν· ἐγὼ δ' ὁδὸν ἡγεμόνευον.

Στ. 14, Ἑαυτῷ.] Ἐξήλειψα τὸν σολοικισμὸν τοῦ ἀναφορικοῦ, Αὐτῷ. — Στ. 18, Κριόν τινα τῶν ἡγουμένων.] Τοῦτον διὰ μιᾶς λέξεως Κτίλον ἔλεγον· Ἡσύχιος, «Κτίλος, ὁ προηγούμενος τῆς ποίμνης κριός». — Στ. 22, Θῶες.] Θὼς ἐστὶ τὸ βαρβαροτουρκικῶς λεγόμενον Τζακάλιον. Θῶες καὶ Λύκοι συνημμένως πολλάκις ἐκφέρονται παρ' Ὁμήρῳ τε καὶ ἄλλοις τῶν ποιητῶν· Ἐλάφυσσον δὲ, μετὰ σκυλμοῦ, ἤσθιον, σπαράττοντες κατέπινον, ὡς φησὶν Ἡσύχιος. λέγεται δὲ καὶ ἐπὶ ὑγρῶν πόσεως τὸ Λαφύσσειν. — Στ. 23, Τὰ ἀεί.] Ἐν ταῖς ΑΑ, Τὰ οὕτω ἀεί. — Στ. 23, Τῷ πυρὶ μεμολυσμένα.] Κυριολεκτικῶς· ἤγουν τοσοῦτον μόνον προσομιλήσαν-

τα τῷ πυρὶ, ὅσον μολυνθῆναι· ὅπερ καὶ διὰ τοῦ, Ἀφαυήναντες, ἀρκούντως ἐδήλωσεν. ὅτι δὲ εἶδός τι ἑψήσεως καὶ ἡ Μόλυνσις οὕτω λεγομένη, ἱκανῶς ἐδίδαξεν Ἀριστοτέλης ἐν τοῖς Μετεωρολογικοῖς (Δ, γ'.) — Στ. 24, Ἡμίθαλπτα.] Ἐκ τῆς ἡμαρτημένης γραφῆς, Ἡμίθαλτα, τῶν ΑΑ οὐκ ἦν ἐργῶδες διορθώσασθαι, Ἡμίθαλπτα, οὗ ἐπεξήγησίς ἐστι τὸ παρὰ πᾶσι τοῖς πρὸ ἡμῶν, Ἡμίοπτα. ἔστι δὲ παρὰ τὸ, Θάλπω, ὃ πρὸς τοῖς ἄλλοις σημαίνει καὶ τὸ Καίω, ὡς δῆλον ἀπὸ τοῦ συστοίχου Θαλύπτω, οὗ τὸν μὲν ἀόριστον, Θαλύψαι, ἐξηγεῖται Ἡσύχιος, διὰ τοῦ Θάλψαι, πυρῶσαι, τὸ δὲ σύνθετον Ἀκροθάλυπτα (οὐδὲν ἕτερον ὂν ἢ συνώνυμον τοῦ Ἡμίθαλπτα), διὰ τοῦ Ἀκρόκαυστα, ἃ δὴ καὶ Ἡμιδαῆ λέγοιτ' ἂν κατ' αὐτὸν τὸν Ἡσύχιον. — Στ. 25, Ταῖς παρειαῖς ἐν τῇ βρώσει τοῦ αἵματος ἀπέσταζεν.] Ἐξ Ὁμήρου καὶ τοῦτο (Ἰλιάδ. Π, 156),

.................................... Λύκοι ὡς
Ὠμοφάγοι, τοῖσίν τε περὶ φρεσὶν ἄσπετος ἀλκὴ,
Οἵ τ' ἔλαφον κεραὸν μέγαν οὔρεσι δηώσαντες
Δάπτουσιν· πᾶσιν δὲ παρήϊον αἵματι φοινόν.

Σελ. 78, στ. 2, Βουλυτόν.] Τουτέστι, τὴν δείλην ὥραν, ἐν ᾗ τὸ ἄροτρον λύεται τῶν βοῶν « ὥς φησιν Ἡσύχιος· καὶ αὐτὸς δὲ Ἡλιόδωρος προϊὼν (σελ. 206) παραφράσει τὸν Βουλυτὸν, « Ὅτε ἀρότρου βοῦν ἐλευθεροῖ γηπόνος » λέγων. ἐχρήσατο δὲ πρῶτος Ὅμηρος τῇ λέξει (Ἰλιάδ. Π. 779),

Ἦμος δ' ἠέλιος μετενείσσετο βουλυτόνδε.

Στ. 6, Διεφθορέναι οἱ τὴν γαστέρα κ. τ. λ.] Πιθανῶς τοῦτο ὁ Κνήμων καὶ τοῖς ὑπὸ τῶν ἰατρῶν λεγομένοις σύμφωνον· νόσον γὰρ τὴν καλουμένην Χολέραν ἐξ ἀδδηφαγίας κρεῶν ἐνώμων καὶ γάλακτος γεννᾶσθαι φησὶν Ἱπποκράτης (Ἐπιδημ. Ε, κζ'). Στ. 10, Αὖθις.] Ἐν ταῖς ΚΑ καὶ ΔΑ γέγραπται, Δὶς, ἀντὶ τοῦ, Αὖθις. — Στ. 17, Ταῖς ἀκρωρείαις.] Οὕτω καὶ αἱ ΑΑ· ἡ δὲ Β, Τὰς ἀκρωρείας. — Στ. 21, Εἴποι ποτέ.] Ἀνωτέρω (σελ. 51) « Μὴ . . . . . ἐπέλθοι ποτὲ » εἶπεν, καὶ ἐν τοῖς ἑξῆς (σελ. 553), « Εἴποτε ἐπέλθοι ». ἴσως μέντοι γραπτέον ἐνταῦθα, Εἴπῃ ποτὲ, ἢ μᾶλλον, Εἴπῃ ποθὲν, ἢ καὶ (ἄνευ τοῦ Πῃ) Εἴ ποθεν, ὃ καὶ ὁ Α, ἠνίξατο ἐν τῇ μεταφράσει, *Si Cnémon viendroit*.

*point de quelque costé.* τοῦτο δὲ καὶ τοῖς Ὁμήρου ἔξεστι πιστώσασθαι μαρτυρίοις, οὗ συνεχῶς μιμεῖται τὰς φράσεις ὁ Ἡλιόδωρος· ἐν γὰρ Ὀδυσσείᾳ (Α, 414) οὕτως ἐκεῖνος φησὶν,

Οὔτ' οὖν ἀγγελίης ἔτι πείθομαι, εἴποθεν ἔλθοι·

καὶ πάλιν (Β, 351),

Κεῖνον ὀϊομένη τὸν κάμμορον, εἴποθεν ἔλθοι.

Στ. 24, Ὅπως ἂν οἵ ποτε διαχρήσαιτο.] Οὐκ ἔῤῥωται τὰ τῆς γραφῆς. τὸ γὰρ Διαχρήσαιτο οὐ δοτικὴν ἐνταῦθα, ἀλλ' αἰτιατικὴν ἀπαιτεῖ, ὡς καὶ ὁ Λ καὶ ὁ Α μετέφρασαν. ὀβελιστέον οὖν τὴν ἀντωνυμίαν, Οἵ, ἀναγινώσκοντας, Ὅπως ἂν ποτε διαχρήσαιτο, ὑπονοουμένης ἐκ τῶν προλαβόντων τῆς Ἀντωνυμίας, Αὐτὸν, ὡς καὶ ἐν τοῖς ἑξῆς (σελ. 252), « Γνώμην δὲ ποιουμένη » διαχρήσασθαι, εἰ ἀνεύροι », ἢ μετὰ τῆς ἀντωνυμίας γραπτέον, Ὅπως ἂν αὐτόν ποτε διαχρήσαιτο. ἐνδέχεται δὲ καὶ ῥῆμα ὅλον ἀβλεψίᾳ τῶν ἀντιγραψάντων παραλελεῖφθαι, γράψαν» τος ἀρχῆθεν τοῦ Ἡλιοδώρου, Ὅπως ἂν, εἴ ποτ' ΕΛΘΟΙ, » διαχρήσαιτο ἐνενόει ».

Σελ. 79, στ. 2, Χάλκεον .... εἵλκυσεν.] Ἀντὶ τοῦ, Εἵλκυσεν (ὃ δὴ καὶ διὰ τοῦ παραλλήλου χωρίου, Ἐσπάσαντο ὕπνου, σελ. 71, σώζειν ἄντις διατείνοιτο), ἡ Β ἔχει, Ὕπνωσεν, ὅπερ μᾶλλον συνᾴδει τοῖς δυσὶν Ὁμήρου χωρίοις τουτοισὶ, ἃ δῆλός ἐστι παρῳδῶν, τῷ τε (Ἰλιάδ. Λ, 241),

Ὡς ὁ μὲν αὖθι πεσὼν ΚΟΙΜΗΣΑΤΟ ΧΑΛΚΕΟΝ ὙΠΝΟΝ.

καὶ τῷ (Ὑμν. εἰς Ἑρμ. 289),

Ἀλλ' ἄγε, μὴ ΠΥΜΑΤΟΝ καὶ ὕστατον ὙΠΝΟΝ ἸΑΥΣΗΙΣ.

Στ. 6, Ἀπέλιπε.] Ἐν ταῖς ΚΑ, Κατέλειπε· ἐν δὲ ταῖς ΑΑ, Κατέλιπε. — Στ. 10, Ἐφαμήσας.] οὕτως ἅπαντες, δέον ψιλῶς, Ἐπαμήσας, ὡς καὶ Ὅμηρος, ἐν οἷς περὶ τοῦ Ὀδυσσέως, ἡνίκα τῆς θαλάσσης ἐκνηξάμενος, καὶ ἀνελθὼν εἰς τὴν ὕλην ἐπὶ τῆς φυλλάδος, ὡς ἐπὶ στρωμνῆς, κατεκλίθη πολλὰ τῶν φύλλων ἐπαμησάμενος (Ὀδυσσ. Ε, 475—487)· δῆλα γὰρ δὴ ὅτι ἐκεῖθεν ταῦτα μετενήνεκται παρῳδηθέντα. καὶ οἱ Ἀττικοὶ δὲ ψιλῶς ἐξενηνόχασι τὸ ἁπλοῦν Ἀμάω. ἐνδέχεται μέντοι τὸν Ἡλιόδωρον, τῇ ἐτυμολογίᾳ κακῶς πεισθέντα, παραμελῆσαι τῆς χρήσεως· καὶ γὰρ ὁμοῦ τι πάντες γραμματικῶν παῖδες ἀπὸ τοῦ Ἅμα εἶναί φασι τὴν παραγωγὴν,

ἐπεὶ

ἐπεὶ οὐδὲν ἄλλ' ἢ Ἅμα καὶ ὑφ' ἓν πολλὰ ἕλκειν καὶ συλλέγειν ἐστὶ τὸ Ἀμᾶν, ἐξ οὗ καὶ τὸ παρὰ τοῖς Γάλλοις *Amasser*. διὸ καὶ ὤκνησα τὴν γραφὴν μετακινῆσαι, μὴ τὸν ἀντιγράψαντα διορθοῦσθαι σπεύδων, αὐτὸν ἁλῶ τὸν συγγράψαντα διορθούμενος. — Σελ. 11, Ὑφ' ᾗ κείμενος κ. τ. λ.] Ἀσυνάρτητος ὁ λόγος· καὶ ἔοικε μετὰ τὸ, Ἐπαμήσας, παραλελεῖφθαί τι ῥῆμα ὑπὸ τῶν ἀντιγραφέων· ἢ, ἀντὶ τοῦ, Ὑφ' ᾗ κείμενος, γραπτέον διὰ μιᾶς λέξεως, Ὑποκείμενος, ἢ γοῦν, Ὑπέκειτο, καὶ τὰ πολλά....ῥῆμα γὰρ πάντως ἀπαιτοῦσι πρὸς ὃ συναφθεῖεν, αἱ τοσαῦται μετοχαί. — Στ. 19, Πρὸς δὲ τὴν νύκτα.] Ἢ οὕτως ἀναγνωστέον, ὡς διώρθωκα, ἤ, Πρός τε τὴν νύκτα χαλεπαίνει, ἄνευ τοῦ ἐπιφερομένου Καί· ὃ καὶ κρεῖττον ἴσως. — Στ. 21, Ἀποτέμνει] Οὕτως αἱ ΚΑ καὶ ΑΑ, ὃ καὶ προειλόμην διὰ τὸ ἑπόμενον (σελ. 80), Ἀποτεμὼν οὖν ὁ Κνήμων. — Στ. 25, Φοβερώτεροι.] Προϊὼν ἐρεῖ (σελ. 164), «Τὸ φοβερώτεροι δοκεῖν προσειληφότες». κἀνταῦθα τοίνυν, Φοβερώτεροι, γραπτέον.

Σελ. 80, στ. 3, Κόμη τοὺς μὲν ἐρωτικοὺς...ἀποδείκνυσιν.] Παρῴδηται ἐκ τῶν Πλουτάρχου ἀποφθεγμάτων Βασιλέων καὶ στρατηγῶν, ὅπου ταῦτα ἐπὶ λέξεως φέρεται, «Λυκοῦργος » ὁ Λακεδαιμόνιος εἴθισε τοὺς πολίτας κομᾶν, λέγων, ὅτι » τοὺς μὲν καλοὺς ἡ κόμη εὐπρεπεστέρους ποιεῖ, τοὺς δ' αἰ- » σχροὺς, φοβερωτέρους.» — Στ. 10, Ἐναλύων.] Πάνυ κυριολεκτικῶς· ἐμφαίνει γὰρ ἀμφοτέρας τὰς σημασίας τοῦ, Ἀλύω, τήν τε τοῦ, Πλανῶμαι, τῇδε κἀκεῖσε περιστρέφομαι, καὶ τὴν τοῦ, Ἀδημονῶ, ἢ δυσθυμῶ. παρῴδηται δὲ ἐξ ὧν Ὅμηρος (Ἰλ. Ω, 12) φησὶ περὶ τοῦ δυσθυμοῦντος ἐπὶ τῷ Πατρόκλου θανάτῳ Ἀχιλλέως,

Δινεύεσκ' ἀλύων παρὰ θῖν' ἁλός.........

εἰσὶ γάρ πως αἱ ὄχθαι τοῖς ποταμοῖς, ὅπερ τῇ θαλάσσῃ οἱ θῖνες. καὶ τὸ μὲν ἁπλοῦν, Ἀλύω, πολὺ παρὰ ποιηταῖς τε καὶ λογογράφοις· τῷ συνθέτῳ δὲ, Ἐναλύω, πρῶτος ἔοικεν Ἡλιόδωρος κεχρῆσθαι, πλὴν εἰ μὴ ὑπονοητέον καὶ παρὰ Πλουτάρχῳ εὑρίσκεσθαι, ὅπου (Συμποσιακ. Δ, δ'.) φησίν, « Ἀλλὰ τοὺς περὶ τὰ ἰχθυοπώλια ἈΝΑΔΙΔΌΝΤΑΣ » ἑκάστοτε ». δήλου γὰρ ὄντος ὅτι οὐκ ἔχει χώραν ἐνταῦθα

τὸ, Ἀναδιδόντας, γραπτέον ἴσως, ἘΝΑΛΥΌΝΤΑΣ. — Στ. 11, Δολιχόν.] Δολιχὸν, ἢ Δόλιχον (ἐπαμφοτερίζει γὰρ τὰ τοῦ τόνου), κύκλον μακρὸν, ἐξηγεῖται Ἡσύχιος. τί δὲ κυρίως ἐσήμαινεν ὁ Δόλιχος, ζήτει παρὰ τῷ Σουΐδᾳ. — Στ. 15, Στολὴ καὶ ἐσθὴς ἡ ἄλλη πρὸς τὸ Ἑλληνικώτερον.] Εὐριπίδης (Ἡρακλειδ. 131),

Καὶ μὴν στολήν γ' Ἕλληνα, καὶ ῥυθμὸν πέπλων
Ἔχει ..........................................

Στολὴν δ' ἐνταῦθα κυρίως ἐκδεκτέον τὸ περιβόλαιον, τὸ ἐν τῇ κοινῇ συνηθείᾳ λεγόμενον, Ἐπανωφόριον, ἀντιδιεσταλμένας πρὸς τὴν ἄλλην ἐσθῆτα. — Στ. 24, Ἢ ξένος, καὶ πόθεν.] Τὸ μὲν, Ἢ ξένος, παρείληφα ἐκ τῶν ΑΑ· τὸ δὲ Καὶ πόθεν, ἡμέτερον διόρθωμα. ὁ δὲ νοῦς, Καὶ εἴπερ εἶ ξένος, ἐκ ποίας ξένης γῆς ὢν τυγχάνεις; ὃ δὴ κατὰ λέξιν οὕτω μετέφρασεν ὁ Α, *Et si vous estes estranger, de quelle autre contrée estes-vous?* εἰ δὲ βούλει σώζειν τὴν γραφὴν, Ἢ πόθεν, ὑποληπτέον τὸν Κνήμωνα χρήσασθαι, κατ' ἔθος Ἑλληνικὸν, τῷ, Ξένος, ἀντὶ τοῦ, Πέρσης (Πέρσας γὰρ ὑποτίθησιν ὁ λόγος κατέχειν τὴν Αἴγυπτον), ἀντιδιεσταλμένως πρὸς τὸ Ἕλλην· καὶ ἔσται τηνικαῦτα ὁ νοῦς, Ἕλλην εἶ, ἢ Πέρσης, ἢ πόθεν ἄλλοθεν; Ξένους γὰρ ἐκάλουν ἁπλῶς τοὺς Βαρβάρους, καὶ ἰδιαιτέρως τοὺς Πέρσας (Ἡροδοτ. Θ, ιά, καὶ Πλούταρχ. ἐν Ἀριστείδ. § 10).

Σελ. 81, στ. 5, Ἰλιόθεν με φέρεις.] Ἀπὸ τῆς παροιμίας, Ἰλιὰς κακῶν, ἥπερ ἐλέγετο ἐπὶ τῶν μεγάλων κακῶν, ἐκτρέψας μικρὸν εἶπεν, Ἰλιόθεν με φέρεις. — Στ. 8, Καὶ πόθεν, ὦ νεανία.] Ἐν τῇ Β ἐμφέρεται, Καὶ πόθεν ἰὼν (γρ. ὢν) νεανία, τὰ δὲ ἑξῆς, « Πῶς δὲ τὴν φωνὴν Ἕλλην ἐν Αἰγύπτῳ, » οὐκ ἔχει τὸ πιθανόν· ἐπεχωρίαζον γὰρ ἐξ ἀρχαίου οἱ Ἕλληνες τῇ Αἰγύπτῳ, καὶ ἀποικίας ἔστειλαν εἰς αὐτὴν, ὧν ἦν καὶ ἡ Ναύκρατις (σελ. 62, καὶ 63). ταῦτα οὖν ἀκριβῶς εἰδὼς, καὶ τὸ μέγιστον, αὐτῷ τῷ Ναυσικλεῖ, Ναυκρατίτῃ ἐμπόρῳ, καὶ τὸ γένος Ἕλληνι, ἐπεξενωμένος, ὁ Καλάσιρις, ἀπιθάνως θαυμάζει, εἰ Ἕλλην ὁ Κνήμων. — Στ. 12, Οὐκοῦν, ἦδ', ὅς.] Οὕτως αἱ ΚΑ, ΑΑ καὶ ΔΑ 217. — Στ. 13, Μετασχηματίζει.] Μεταφράζει ὁ Α, *Quelque defortune vous a tiré hors de vostre païs*, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Μετοικίζει. καὶ ἦν ἂν ὀρθώτερον

ἴσως τὸ, Μετοικίζει· Καλάσιρις γὰρ ἦν, οὐ Κνήμων ὁ μετεσχηματισμένος, ὡς αὐτὸς περὶ αὐτοῦ ἔφθη δηλώσας, «Τὸ λαμ-» πρόν με τοῦτο σχῆμα μεϊημφίασε». Κνήμων δὲ, Ἕλλην ὢν, Ἑλληνικῶς ἐνεσκεύασῖο. — Στ. 14, Ὠδίνω δὲ καὶ αὐτὸς πρός τινα.] Τό, Τινα, ἐκ τῶν ΑΑ· τὸ δὲ, Αὐτὸς, ἡμετέρα διόρθωσις, ἣν καὶ ὁ Μ ὑπενόησε. εὑρήσομεν δὲ προϊόντες (σελ. 417) τὸ, Οὗτος, Αὐτὸς καὶ Οὕτως συγκεχυμένα. ἔοικε δὲ τὸ λεγόμενον τῷ παρὰ τῷ Λουκιανῷ (Νιγρίν. § 5), «Καὶ εἴγε μὴ ἔφθης, ΑΥΤΟΣ ἂν ἐδεήθην ἀκοῦσαί μου» διηγουμένου». — Στ. 15, Καὶ τοῖςδε τοῖς καλάμοις κ. τ. λ.] Παροιμιῶδες τὸ, Καὶ τ ἴςδε τοῖς καλάμοις, ὅπερ ἑτερόιως ὁ Λουκιανὸς (Συμπόσ. ἢ Λαπιθ. § 4) ἐξέφρασε, «Καί μοι δοκεῖς, εἰ ἀπορήσειας τῶν ἀκουσομένων, κἂν πρὸς» κίονά τινα ἢ πρὸς ἀνδριάντα προσελθὼν, ἐκχέαι πάντα» συνείρων ἀμυσΐί».

Σελ. 82, σῖ. 6, Παρεσκευασμένα.] Τυπογραφικῶς ἡμαρτῆσθαι δοκεῖ ἐν τῇ Β τὸ, Παρασκευασμένα. ἐνδέχεται μέντοι καὶ τῶν Ἀντιγραψάντων τινὰ οὕτως ἐκδοῦναι, ἢ καὶ αὐτὸν τὸν Ἡλιόδωρον, ὑπὸ τῆς καθωμιλημένης παραχθέντα φωνῆς, ἀναυξήτως ἐξενεγκεῖν τὸν παρακείμενον· περὶ οὗ καὶ ἐν τοῖς πρόσθεν εἰρήκαμεν, καὶ ἐν τοῖς ἑξῆς αὖθις ἐροῦμεν. — Στ. 14, Ἀπένιζε τὼ πόδε.] Ἐξ Ὁμήρου, ἐν οἷς περὶ τῆς Εὐρυκλείας φησὶ (Οδυσσ. Τ, 386),

. . . . . . . . . Γρηῦς δὲ λέβηθ' ἕλε παμφανόωντα,
Τῷ πόδας ἐξαπένιζεν . . . . . . . . . . . . . . .

καὶ αὖθις μετ' ὀλίγα (392),

Νῖζε δ' ἄρ' ἆσσον ἰοῦσ' ἄνακθ' ἑόν . . . . . . . . .

καὶ σημείωσαι, ὅτι Ὁμήρου πολλάκις χρωμένου τῷ, Νίζω ἀντὶ τοῦ, Νίπτω, οὐκ ὤφειλον λέγειν Γραμματικῶν παῖδες, Ταραντίνων εἶναι τὸν διὰ τοῦ ζ σχηματισμόν· ἀλλὰ μᾶλλον, ὅτι καὶ Ταραντῖνοι τῷ αὐτῷ τοῖς Ἴωσι σχηματισμῷ τῆς λέξεως χαίρουσι. εὔηθες γὰρ τὸ οἴεσθαι τὴν θείαν Ὁμήρου ποίησιν ἐκ διαφόρων διαλέκτων συγκεκρᾶσθαι, καὶ οἱονεὶ κέντωνά τινα γελοίως συνεῤῥάφθαι. τοῦτο γὰρ οὐδ' ἂν τῶν ἐκ τριόδου τις, μήτιγε ὁ τῶν ποιητῶν ὕπατος, ἐτόλμησε. — Στ. 17, Κάλπην.] Κάλπη, ὑδρία,

σλάμνος· τοῖς δ᾽ ἀρχαιοτέροις ἐκαλεῖτο, Κάλπις. τὸ δὲ ἐχόμενον, Πῦρ ἀνέκαιε, ὀρθῶς γεγράφθαι ἐν ταῖς ΚΑ καὶ ΑΑ, καὶ παρὰ τῷ Μ, μαρτυρεῖ καὶ τὰ Ὁμήρου (Ὀδυσσ. Κ, 352–372) περὶ τῶν τῆς Κίρκης ἀμφιπόλων· ἔκ τε γὰρ ἐκείνων, καὶ ὧν πεποίηκε περὶ τῶν Μενελάου δμωῶν (Ὀδυσσ. Δ, 49), παρῳδικῶς μετενήνεκται πάνθ᾽ ὅσα λέγει Ἡλιόδωρος ἐνταῦθα περὶ τῶν τοῦ Ναυσικλέους θεραπαινῶν. — Στ. 18, Ἄρτου τε . . . βρίθουσαν.] Ὁμηρικῶς καὶ τοῦτο τῇ τε συντάξει τῶν λέξεων καὶ τῇ διανοίᾳ (Ὀδυσσ. Ο, 332),

. . . . . . . . . . . . . Εὔξεστοι δὲ τράπεζαι
Σίτου καὶ κρειῶν ἠδ᾽ οἴνου βεβρίθασιν.

Στ. 19, Ὁ δὴ καὶ Κνήμων . . . Ἀλλ᾽ ἦ.] Ἐν ταῖς ΑΑ γράφεται, Ὁ δὲ Κνήμων. ἀντὶ δὲ τοῦ, Ἀλλ᾽ ἢ, οὐκ ὤκνησα διορθώσασθαι, Ἀλλ᾽ ἦ, ἐνταῦθά τε καὶ ἐν ἄλλοις χωρίοις, καθὰ καὶ προϊοῦσι γενήσεται δῆλον. μετείληπται δὲ καὶ τοῦτο ἐξ Ὁμήρου (Ὀδυσσ. Δ, 74),

Ζηνός που τοιήδε γ᾽ Ὀλυμπίου ἔνδοθεν αὐλή.

ὃ δὴ καὶ Λουκιανὸς (περὶ τῶν ἐπὶ μισθ. συνόντ. § 15) παρῃνίξατο λέγων, « Σὺ δ᾽ ὥσπερ (γρ. ὥσπερ εἰς) τοῦ » Διὸς τὸν οἶκον παρελθὼν τεθαύμακας κ. τ. λ. ». — Στ. 25, Πολλαὶ μέν οἱ πόλεις.] Οὕτω διώρθωσε τὸ χωρίον τοῦτο ὁ Κοῖνος (ἐν ταῖς εἰς τὸ Γρηγ. Κορ. περὶ διαλέκτ. σημ. σελ. 236). παρῳδήθη δὲ προδήλως ἐκ τῶν Ὁμήρου (Ὀδυσσ. Α, 3) ἐν οἷς περὶ Ὀδυσσέως φησὶ

Πολλῶν δ᾽ ἀνθρώπων ἴδεν ἄστεα καὶ ΝΟΌΝ ἔγνω.

καὶ σημείωσαι ὅπως τὸ τοῦ ποιητοῦ, Νόον, παραφράζει διὰ τοῦ, Ἤθη τε καὶ νοῦς. Ὁράτιος δὲ (Τέχν. Ποιητικ. 141) διὰ μόνου τοῦ, Ἤθη, μετήνεγκεν εἰς τὴν Ῥωμαίων γλῶσσαν τὸ, Νόον,

Dic mihi, Musa, virum captæ post tempora Trojæ
Qui MORES hominum multorum vidit et urbes.

Σελ. 83, σῖ. 10, Θοινωμένου.] Μετήνεγκα ἀπὸ τῆς πρώτης λεγομένης τῶν περισπωμένων ἐπὶ τὴν δευτέραν, διὰ τὴν χρῆσιν. τὸ δὲ περὶ τῆς ὄρνιθος παρῳδήθη ἐκ τῶν τοῦ

Μόσχου, ὃς, καὶ αὐτὸς ἐκ τῆς Ὁμηρικῆς στρουθοῦ (Ἰλιάδ. Β, 314),

Ἔνθ' ὅγε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας·
Μήτηρ δ' ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα,

τὰς ἀρχὰς λαβὼν, παραβολικῶς ἐπεξειργάσατο τὸ ἱστορημένον, φήσας (Δ, 21—26),

Ὡς δέ τ' ὀδύρεται ὄρνις ἐπὶ σφετέροισι νεοσσοῖς
Ὀλλυμένοις, οὕς τ' αἰνὸς ὄφις ἔτι νηπιάχοντας
Θάμνοις ἐν πυκινοῖσι κατεσθίει· ἡ δὲ κατ' αὐτοὺς
Πωτᾶται κλάζουσα μάλα λιγὺ πότνια μήτηρ,
Οὐδ' ἄρ ἔχει τέκνοισιν ἐπαρκέσαι· ἦ γάρ οἱ αὐτῇ
Ἆσσον ἴμεν μέγα τάρβος ἀμειλίκτοιο πελώρου.

ὅθεν καὶ τυφλῷ δῆλον, ὅτι ἐν τῷ προκειμένῳ τοῦ Ἡλιοδώρου χωρίῳ, ἀντὶ τοῦ, Προελθεῖν, γραπτέον, Προσελθεῖν, ὅπερ ἐστὶ τὸ, Ἆσσον ἴμεν, τοῦ Μόσχου. αὐτὸ δὲ τοῦτο ἐξέφρασαν ὅ, τε Λ, διὰ τοῦ *Accedere*, καὶ ὁ Α, διὰ τοῦ *S'approcher*. ὤφειλον οὖν κἀγὼ, χαίρειν ἐάσας τὴν ἡμαρτημένην τῶν πρὸ ἐμοῦ γραφὴν, γράφειν, Προσελθεῖν· ἀλλ' ἦν ἄρ' ἀληθὲς τὸ, « Εἷς ἀνὴρ οὐ πάνθ' ὁρᾷ ».—Στ. 11, Πόθος γὰρ ἐν αὐτῇ καὶ πάθος κ. τ. λ.] Ἐν τῇ Β, Πόθος γὰρ ἐν αὐτῇ τὸ πάθος. ἐοίκασι δ' ἀμφότεραι αἱ γραφαὶ ἡμαρτῆσθαι, ὅπερ ὑπολαβεῖν εἰκὸς καὶ τοὺς μεταφράσαντας. ὁ μὲν γὰρ Α, διὰ τοῦ *Malheur*, ἐξέφρασε τὸ, Πάθος· ὁ δὲ Λ, *Dolor*, εἶπεν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, ἢ γοῦν ὤφειλε γράφεσθαι, Πόνος, ἀντὶ τοῦ Πάθος. καταλληλότερον μέντοι δόξειεν ἂν τὸ γράφειν, Πόθος γὰρ ἐν αὐτῇ καὶ ΦΟΒΟΣ, πρὸς τὸ τοῦ Μόσχου,

Ἆσσον ἴμεν μέγα ΤΑΡΒΟΣ ἀμειλίκτοιο πελώρου.

Στ. 12, Τετριγυῖα δὲ περιποτᾶται τὴν πολιορκίαν.] Εἰ μὴ ἐκώλυε τὸ, Πολιορκίαν, ἔγραψα ἂν, Τετριγυῖαν, κατ' αἰτιατικὴν, ἐπιθετικῶς πρὸς τὸ προηγησάμενον, Γονήν· καὶ γὰρ Ὅμηρος, ἐξ οὗ ταῦτα παρῴδηται, οὐ τὴν μητέρα, ἀλλὰ τοὺς νεοσσοὺς τετριγέναι εἴρηκε. ἴσως δὲ Ἡλιόδωρος διὰ τοῦ, Τετριγυῖα, τὸ τοῦ Μόσχου, Κλάζουσα, ἐκφράσαι προείλετο. Στ. 14, Προσάγουσα.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. — Στ. 18, Τὴν γαστέρα θεραπεύειν, ἣν, ἐς τάδε ἀποσκοπῶν κ. τ. λ.]

Ἀντὶ τοῦ, Ἀποσκοπῶν, ἐν τῇ Β ἐμφέρεται, Ἀποσκοπεῖν· ἐπὶ δεξιὰ δὲ τῆς σελίδος γέγραπται, εἴτε αὐτῇ τῇ χειρὶ τοῦ Ἀμιότου, εἴτ᾽ ἄλλου του, ὡς μὲν διάφορος γραφὴ, Εἰς τάδε ἀποσκοπεῖν, ὡς δὲ ἐπιδιόρθωσις, Καὶ εἰς τάδε ἀποσκοπεῖν, ὡς Ὅμηρος πάντα κ. τ. λ. ὅτι μὲν οὖν ἡμάρτηται ταῦτα, παντὶ δῆλον· προσημάρτηται δὲ καὶ ἡ ἐξήγησις, κακῶς ἐκδεξαμένοις τῶν λεγομένων τὸν νοῦν τοῖς μεταφράσασιν. ὁ μὲν γὰρ Λ κατὰ λέξιν αὐτὴν τοῦ Κ τὴν γραφὴν ἐξέφρασεν, εἰπὼν, *Ad hoc respiciens Homerus, et quod ipso omnia minoris ducantur*· ὁ δὲ Α, *Considérant comment Homere met tous autres affaires après celui-là, en lui donnant un merveilleux épithete, etc.* φήσας, μονονουχὶ καὶ λιχνείας ὄνειδος αὐτῷ προσετρίψατο τῷ ποιητῇ. μόνῃ τοίνυν τῇ προσθήκῃ τοῦ, ΗΝ (ὃ, διὰ τὴν ταυτότητα τῆς προφορᾶς τῆς τελευταίας συλλαβῆς τοῦ, Θεραπεύειν, εἰκὸς ἐξηλεῖφθαι), ἱκανῶς παραμεμυθεῖσθαί μοι δοκῶ τὸ χωρίον, μετενεχθὲν ἀπὸ τῆς Ὁμήρου Ὀδυσσείας (Ο, 343),

Ἀλλ᾽ ἕνεκ᾽ οὐλομένης γαστρὸς κακὰ κήδε᾽ ἔχουσιν.

Στ. 19, Πάντα δεύτερα αὐτῆς ποιεῖται.) Ὀρθῶς ἐξέλαβεν ὁ Λ τὸ, Ποιεῖται κατὰ παθητικὴν διάθεσιν. ὁ δὲ Α, κατὰ μέσην ἐκδεξάμενος, διέφθειρε τῶν λεγομένων τὸν νοῦν· οὐ γὰρ Ὅμηρός ἐστιν ὁ πάντα δεύτερα τῆς γαστρὸς ποιούμενος, ἀλλὰ πάντα δεύτερα τῆς γαστρὸς ποιεῖται ὑπὸ τῶν ἀνθρώπων, ἢ διὰ λιχνείαν, ἢ καὶ διὰ τροφῆς ἔνδειαν, ὅτε ταύτης οὕτω δεῖ, ὥστε ἀναγκάζεσθαι, τῶν ἄλλων ἁπάντων ἀμελήσαντας, αὐτὴν θεραπεύειν. εἰς τοῦτο δὲ ἀποσκοπήσας Ὅμηρος, Οὐλομένην ἐκάλεσε τὴν γαστέρα. ἐμφαίνει δὲ τοῦτο μάλιστα, ἐν οἷς παράγει τὸν Ὀδυσσέα λέγοντα περὶ ἑαυτοῦ (Ὀδυσσ. Η, 215—221),

Ἀλλ᾽ ἐμὲ μὲν δορπῆσαι ἐάσσατε, κηδόμενόν περ.
Οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο
Ἔπλετο, ἥ τ᾽ ἐκέλευσεν ἕο μνήσασθαι ἀνάγκῃ,
Καὶ μάλα τειρόμενον, καὶ ἐνὶ φρεσὶ πένθος ἔχοντα.
Ὣς καὶ ἐγὼ πένθος μὲν κ. τ. λ.

τὴν τοιαύτην δ᾽ ἀνάγκην καὶ αὐτοὶ ἡμεῖς

Εἴδομεν, οὐκ ἐξ ἑτέρων
Μύθων ἔχομεν φράσασθαι.

ἐν τῇ πιεσάσῃ τοὺς Παρισίους οὐ πολλοῖς ἔτεσι πρότερον σιτοδείᾳ.

Σελ. 84, σ7. 1, Ἄκρατον ὕδωρ κ. τ. λ.] Ἐν τῇ Β (ᾗ κατηκολούθησαν ὅ, τε Λ καὶ ὁ Α), Ἄκρατον ὕδωρ, καὶ σπένδω μέν· ἐν ταῖς ΑΑ, Ἄκρατον τὸ ὕδωρ, τοῦτο γὰρ ἔπινεν, καὶ σπένδω μέν· ἐν δὲ ταῖς ΚΑ, Ἄκρατον τὸ ὕδωρ, τοῦτο γὰρ ἔπινεν, καὶ σπένδωμεν. ἐκ ταύτης τῆς γραφῆς διώρθωκα τὸ χωρίον, παραλιπὼν τὸ ἄρθρον, καὶ μεταβαλὼν τὸ, Σπένδωμεν εἰς τὸ, Σπένδομεν. ὅρα δὲ καὶ τὸ Ἄκρατον καταχρησ7ικῶς ἐπὶ ὕδατος τεθειμένον, ὃ δὴ καὶ Ἀθήναιος (Β, 44) παρεσημειώσατο. ἐν δὲ τοῖς ἑξῆς (σελ. 193) ἔτι καταχρησ7ικώτερον καὶ, Ἀπαράχυτον ὕδωρ, εἰπεῖν οὐκ ὀκνήσει. — Στ. 7, Ἐπάγη.] Τουτέσ7ιν, ὡσανεὶ πεπηγὼς, ἔμεινεν ἀκίνητος ὑπὸ τῆς ἐκπλήξεως. τοῦτο οὐκ ὀρθῶς ὁ Μ, μετέβαλεν εἰς τὸ βάρβαρον, Ἐπλάγη (οἱ γὰρ Ἕλληνες Κατεπλάγη καὶ, Ἐξεπλάγη λέγουσιν, οὐ μέντοι καὶ, Ἐπλάγη), οὐδὲ τῶν παραλλήλων χωρίων (σελ. 148 καὶ 157) μνησθεὶς, ἐν οἷς τῷ, Πήγνυσθαι, ἐπὶ τῆς σφοδρᾶς ἐκπλήξεως, οὐκ ἀκόμψως κέχρηται ὁ Ἡλιόδωρος.

Σελ. 85, σ7. 3, Ἐπάγγελλε.] Ἐν ταῖς ΚΑ, ΑΑ καὶ ΔΑ 449 γράφεται, Ἀπάγγελλε. βούλεται δ' ἐνταῦθα τὸ, Ἐπάγγελλε (ὃ καὶ μέσως ἂν λέγοιτο, Ἐπάγγελλαι) ταὐτὸ τῷ, Κέλευε, πρόσ7αττε, ἢ αἴτει. περὶ οὗ ἔπιθι τὰ παρὰ τοῖς Λεξικογράφοις μαρτύρια. — Στ. 10, Τὰ ἐξ ἀνθρώπων χρήματα.] Ἐξήγηται ἤδη ἐν τοῖς πρόσθεν (σελ. 54) ἱκανῶς ἡ φράσις αὕτη. — Στ. 13, Ἐντραγόντες.] Ἐμφαγεῖν, ἐπὶ τῶν διὰ πυρὸς ἐσκευασμένων βρωμάτων ἔλεγον· Ἐντραγεῖν δὲ, κυρίως ἐπὶ τῶν ἀκροδρύων τῶν τελευταίων παρατιθεμένων ἐν τοῖς δείπνοις, ἃ καὶ διὰ τοῦτο, Τραγήματα (ὅθεν τὸ τῶν Γάλλων *Dragées*), καὶ Τρωγάλια ἐλέγετο, ὥς φησιν Ἀθήναιος (ΙΔ, 641). καὶ ἔοικεν ἐντεῦθεν ἡ συνήθεια παραποιῆσαι τὰ τοῖς Χίοις λεγόμενα, Στραγάλια, προσθήκη τοῦ σ (ὡς ἀπὸ τοῦ, Κόνις τὸ, Σκόνη, καὶ ἀπὸ τοῦ, Τυμπανίζω τὸ, Στουμπανίζω), οἱονεὶ Τραγάλια ἢ, Τρωγάλιά τινα ὄντα· ἔλεγον γὰρ καὶ Τραγαλίζειν οἱ Ἀρχαῖοι καὶ Τρωγαλίζειν τὸ, Τραγηματίζεσθαι, τουτέσ7ι, τὸ τραγημάτων

ἐμφορεῖσθαι. ᾧ καὶ δῆλον, ὅτι τὸ παρὰ τῷ Κωμικῷ (Σφηξ. 674), Τραγαλίζοντα, κατὰ χώραν ἐατέον, οὐδ', ὥς τισιν ἔδοξεν, εἰς τὸ, Τρωγαλίζοντα, μεταποιητέον. εἰσὶ δὲ τὰ Στραγάλια (οἷς ὡμοίωται καὶ ἃ τῷ Ἀραβικῷ ὀνόματι, Λεμπλεμπὶ, καλεῖν εἰώθασιν ἔνιοι), ἐρέβινθοι πεφρυγμένοι· οἷς μάλιστα τῶν τραγημάτων ἔχαιρον Ἀθηναῖοι, ὡς ἔστι παρὰ Ἀριστοφάνους μαθεῖν. — Στ. 18, Ὁ Διόνυσος ... χαίρει μύθοις, καὶ Κωμῳδίας φιλεῖ.] Καὶ θαλίας δὲ, ὅπερ ἐστὶν εὐωχίας, καθὰ φησὶν Εὐριπίδης (Βάκχ. 417),

Ὁ δαίμων ὁ Διὸς παῖς
Χαίρει μὲν θαλίαισιν,
Φιλεῖ δ' ὀλβοδότειραν εἰρή-
ναν, κουροτρόφον θεάν.

εἴρηκε δὲ καὶ Στησίχορος (παρὰ Πλουτάρχ. περὶ τοῦ ΕΙ τοῦ ἐν Δελφ. § 21), περὶ ἄλλων θεῶν τὸν λόγον ποιούμενος, ὅτι,

...Παιγμοσύνας φιλεῖ μολπάς τε Ἀπόλλων,
Κήδεά τε στοναχάς τε Ἀΐδας ἔλαχε.

Σελ. 86, στ. 13, Πέπονθας.] Αἱ ΚΑ, ΑΑ καὶ ὁ Λ, Πέπονθεν. — Στ. 16, Σατραπεύει.] Σημείωσαι τὸ, Σατραπεύει τὴν Αἴγυπτον, ἀντὶ τοῦ Σατράπης ἐστὶ, ἢ Σατραπεύει τῆς Αἰγύπτου, καινῶς, ἢ μᾶλλον κακῶς, εἰρημένον. οὕτω καὶ Πλούταρχος (Μάρκ. Κάτων. § 12), εἶπε «Τὰ περὶ Θρᾴκην καὶ Ἴστρον ὑπατεύοντι». — Στ. 17, Ὀροονδάτης.] Πέπλασται τὸ ὄνομα. ἀλλὰ κακοσήμως πάνυ. ἴσως ἀναγνωστέον, Ὀρονδάτης, ἢ ἔτι εὐσημότερον, Ὀροδάτης, ὡς φέρεται ἐν τῷ κειμένῳ καὶ ταῖς προγραφείσαις διαφόροις ἀναγνώσεσι τῆς ὑποθέσεως τοῦ Φωτίου. εἰσὶ δὲ ταῦτα Περσικὰ, ἢ Συριακὰ ὀνόματα, ὡς καὶ ὁ Ὀρόντης, ποταμὸς οὐ πάνυ τι Ἐμίσης ἀπέχων τῆς πόλεως, ἐξ ἧς Ἡλιόδωρος· καὶ ὁ Ὀροάνδης ἐπικληθεὶς Πτολεμαῖος, εἷς τῶν ἐξηγησαμένων τὰ Ὁμήρου· καὶ Ὀρόντης δὲ, ὁ Βασιλέως Ἀρταξέρξου γαμβρὸς, περὶ οὗ Πλούταρχος (ἐν τοῖς Βασ. καὶ Στρατ. Ἀποφθ.), καὶ ὃν μάλιστα εἰκὸς αἰνίττεσθαι τὸν Ἡλιόδωρον, ἐπεὶ καὶ τοῦ βασιλέως ἀδελφῇ συνοικοῦντα ἐν τοῖς ἑξῆς

(σελ.

(σελ. 254) ἀναπλάττει. εὕρηται δὲ παρὰ Πλουτάρχῳ (Ἀλεξάνδρ. § 57) καὶ Ὀρσοδάτης, βασιλεύς τις βαρβάρων, οὕτω καλούμενος. τὸ δὲ κατὰ πρόσταγμα Ὀροονδάτου φρουραρχεῖν τὸν Μιτράνην οὐ πάνυ τι τῆς ἱστορικῆς ἀκριβείας ἔχεται· οὐδὲ γὰρ ἦν εἰκὸς τὸν Ἡλιόδωρον ἀγνοεῖν τοὺς φρουράρχους, ὥσπερ καὶ τοὺς σατράπας, ἀμέσως ὑπὸ τῷ βασιλεῖ τετάχθαι, Ξενοφῶντος (Κύρ. παιδ. Η, 136) τοῦτο διαῤῥήδην εἰπόντος, « Τοὺς μέντοι ἐν ταῖς ἄκραις φρουράρχους καὶ » τοὺς χιλιάρχους τῶν κατὰ τὴν χώραν φυλακῶν οὐκ ἄλλου » ἢ ἑαυτοῦ ἐβούλετο ἀκούειν. ταῦτα δὲ προεωρᾶτο, ἐννοῶν » ὅπως, εἴτις τῶν σατραπῶν ὑπὸ πλούτου καὶ πλήθους ἀν» θρώπων ἐξυβρίσειε, καὶ ἐπιχειρήσειε μὴ πείθεσθαι, εὐθὺς » ἀντιπάλους ἔχοι ἐν τῇ χώρᾳ ». — Στ. 23, Τῷ Αἰθιόπων.] Οὕτως αἱ ΑΑ. — Στ. 24, Συμπαίστριαν.] Φέρεται καὶ Συμπότριαν ἐν ταῖς ΚΑ καὶ ΑΑ, αἷς ἐξηκολούθησε καὶ ὁ Λ. ἄμεινον δὲ τὸ πρῶτον, καὶ μᾶλλον ὁμοφωνεῖ οἷς ἐρεῖ προϊὼν (σελ. 280). — Στ. 25, Ὡς οὖν μεγάλων.] Οὕτως ἡ Β καὶ αἱ ΑΑ, ἄνευ τῆς Ἐπὶ προθέσεως· πλὴν εἰ μή τις ἕλοιτο μᾶλλον, μικρὰ τρέψας, ἀναγινώσκειν, Ὡς οὖν ἔτι μεγάλων, δι' ὧν ὑπονοεῖν ἔνεστι τὸν Ναυσικλέα εἰργᾶσθαι χρήματα ἀπὸ μουσουργούσης τῆς Θίσβης τοὺς μισθοὺς ἀπολεγόμενον. τὰ γὰρ τοῖς οἰκέταις ποριζόμενα τῶν δεσποτῶν ἦσαν. ὅτι δὲ καὶ μισθοῦ ἔψαλλεν ἡ Θίσβη, ἐδήλωσε φθάσας (σελ. 62.) ὁ Ἡλιόδωρος.

Σελ. 87, στ. 7, Μικροῦ καὶ εἰς πέρας τὸν λόγον διαβιβάζων.] Τὸ, Μικρὸν, ἐνταῦθά τε καὶ ἐν ἄλλοις οὐκ ὀλίγοις χωρίοις τοῖς ἑξῆς εἰς τὸ, Μικροῦ, διορθώσαντες ἐτρέψαμεν· τὸ μὲν γὰρ, Μικρὸν, τὸ Ὀλίγον σημαίνει, τὸ δὲ Μικροῦ, τὸ Παρ' ὀλίγον. ὡσαύτως δὲ καὶ τὸ, Τῷ λόγῳ εἰς τὸ, Τὸν λόγον, μεταβαλεῖν δεῖν ᾠήθημεν, ἵνα συντάττεσθαι ἔχῃ πρὸς τὸ Διαβιβάζων, ὃ δὴ συναπτόμενον τῷ, Εἰς πέρας, ταὐτὸ βούλεται τῷ, Περαίνων (σελ. 90). καὶ ἐντεῦθεν ἡ κοινὴ συνήθεια παρέλαβε τὸ, Διαβάζω ἐπὶ τῆς σημασίας τοῦ, Ἀναγινώσκω. — Στ. 17, Μέμφις πατρὶς, καὶ ὄνομα.] Ἐκ τῆς διορθώσεως τοῦ Κοίνου (ἐν ταῖς εἰς τὸ τοῦ Κορίνθ. περὶ Διαλέκτ. σημ. σελ. 253). — Στ. 21, Εἰς τὴν ἑτέραν λῆξιν ἀναλυθείσης.] Πολὺ παρὰ τοῖς

Χριστιανοῖς συγγραφεῦσι τὸ, Λῆξις, ἐπὶ τῆς Μελλούσης ζωῆς. οὐχ ἧττον δὲ καὶ τὸ Ἀναλύειν ἐπὶ τοῦ Τελευτᾶν τὸν βίον, ἐξ αὐτοῦ τοῦ Ἀποστόλου Παύλου μετενηνέχθαι δοκεῖ, ἐν οἷς (Φιλιππησ. Α, 23) ἐκεῖνος φησὶ, « Τὴν ἐπιθυμίαν ἔχων » εἰς τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι ». — Στ. 23, Ἁβρυνόμενος.] Τὸ, Κομπαζόμενος, τῶν ΚΑ καὶ ΑΑ, ἐστὶν ἐπεξήγησις, οὐ διάφορος γραφὴ, τοῦ, Ἁβρυνόμενος — Στ. 25, Ὄμμα Κρόνιον.] Τοῦτο Σουΐδας κατεχώρισεν ἐν τῷ ἰδίῳ λεξικῷ, « Κρόνιον ὄμμα, τοῦ Κρόνου », μόνον εἰπὼν, ἄνευ τινὸς σαφεστέρας ἐξηγήσεως. ἔοικε δὲ παροιμιῶδες εἶναι, λεγόμενον ἐπὶ τῶν μεγάλων συμφορῶν καὶ περιπετειῶν, ἃς τῇ κινήσει καὶ διαφόρῳ θέσει τῶν ἀστέρων ἐπέγραφον, μάλιστα δὲ τῷ Κρόνῳ, ὃν χαλεπὸν, κακὸν καὶ λυγρὸν δαίμονα οἱ Ἀστρολόγοι ὠνόμαζον, εἰκότως· ἐπεὶ καὶ Πανδαμάτωρ λέγεται ὁ Κρόνος, οὐχ ἕτερος ὢν τοῦ Χρόνου. ἄλλως τε καὶ μυθεύεται ὁ δαίμων οὗτος θεῶν χαλεπώτατος γενέσθαι, τοσαῦτα τε καὶ τηλικαῦτα δράσας, ὅσα οὐδ᾽ ἂν τῶν ἀνθρώπων οἱ ἀσεβέστατοι· τόν τε γὰρ πατέρα Οὐρανὸν, νεώτατος ὢν τῶν παίδων, ἐξέβαλε τῆς ἀρχῆς ἀποτεμὼν αὐτοῦ πρότερον τὰ αἰδοῖα, καὶ τὰ γεννώμενα αὐτῷ τέκνα κατέπινεν.

Σελ. 88, στ. 1, Ἐπάγον.] Οὕτως ἐν ταῖς ΑΑ. — Στ. 3, Τοὺς γὰρ μοιρῶν κ. τ. λ.] Μετηνέχθη ἐκ τοῦ Ὁμήρου (Ἰλιάδ. Ζ, 488),

> Μοῖραν δ᾽ οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
> Οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ἐπὴν τὰ πρῶτα γένηται.

καὶ ἐν ἄλλοις δὲ πλείστοις χωρίοις τὸ ἄφευκτον ὁ ποιητὴς τῆς μοίρας κατασκευάζει, ὧν καὶ ὁ Λουκιανὸς (ἐν τῷ Φιλοπάτριδι) καθάπτεται. καὶ Σοφοκλῆς δὲ, παρ᾽ Ὁμήρου λαβὼν, ταῦτα λέγει (Ἀντίγ. 951) περὶ τῆς Μοίρας,

> Ἀλλ᾽ ἁ ΜΟΙΡΙΔΙΑ τις δύνασις δεινά·
> Οὔτ᾽ ἄν νιν ὄμβρος, οὔτ᾽ Ἄρης,
> Οὐ πύργος, οὐχ ἁλίκτυποι
> Κελαιναὶ νᾶες ἘΚΦΥΓΟΙΕΝ.

Στ. 6, Συμφορᾶς γὰρ . . . διήτησε.] Τὴν γνώμην ταύτην μετήνεγκεν ἐξ Ἡλιοδώρου καὶ Ἀχιλλεὺς ὁ Τάτιος (Α, γ΄.), τά τε περὶ τῆς μοίρας φημὶ, καὶ τῆς τῶν συμφορῶν προγνώσεως. —

Στ. 11, Γίγνεται.] Ἐν ταῖς ΑΑ, Γέγονε. — Στ. 13, Ῥοδῶπις.] Μετήνεγκε τοῦτο ἐκ τῆς ἱστορίας ἀδείᾳ μυθιστορικῇ. ἔγραψα Ῥοδῶπις προπερισπωμένως, καθὰ καὶ Διόδωρος ὁ Σικελιώτης (Α, ξδ´) καὶ πρὸ αὐτοῦ Ἡρόδοτος ὁ ἱστορήσας περὶ αὐτῆς (Β, ρλδ´), « Ῥοδῶπις· γενεὴν μὲν ἀπὸ Θρηΐκης· δούλη δὲ ἦν Ἰάδ» μονος τοῦ Ἡφαιστοπόλιος ἀνδρὸς Σαμίου, σύνδουλος δὲ Αἰ» σώπου τοῦ λογοποιοῦ ». παρὰ δὲ Στράβωνι (ΙΖ, σελ. 808) οὐκ ὀρθῶς γέγραπται, Ῥοδόπην, δέον Ῥοδῶπιν, ἢ Ῥοδώπιδα, οὔτε παρὰ τῷ Ἀχιλλεῖ Τατίῳ (Βιβλ. Β, ιζ´), Ῥοδόπης (ἀντὶ τοῦ, Ῥοδώπιδος) τάφον καλεῖσθαι φήσαντι ὑπὸ τῶν Τυρίων τὸ πρὸ τῆς Τύρου νησίδιον. — Στ. 17, Ἀφροδισίοις θηράτροις.] Φησὶν Ἡρόδοτος (Αὐτ. ρλε´.) περὶ τῆς Ῥοδώπιδος ὅτι, « Κάρτα ἐπαφρόδιτος γενομένη μεγάλα ἐκτήσα» το χρήματα », καὶ τοσαῦτα, ὥστε καὶ μιᾶς τῶν Πυραμίδων τὸ ἀνάλωμα αὐτῇ τοὺς πολλοὺς ἀναγράψαι. — Στ. 23, Ἀναθήμασι πολυταλάντοις.] Καὶ τοῦτο ἐξ Ἡροδότου παρατραπὲν μετενήνεκται, « Ἐπεθύμησε γὰρ Ῥοδῶπις μνημήϊον » ἑαυτῆς ἐν Ἑλλάδι καταλιπέσθαι, ποίημα ποιησαμένη τοῦ» το, τὸ μὴ τυγχάνει ἄλλῳ ἐξευρημένον καὶ ἀνακείμενον ἐν » ἱρῷ, τοῦτο ἀναθεῖναι εἰς Δελφοὺς μνημόσυνον ἑωϋτῆς. τῆς ὦν » δεκάτης τῶν χρημάτων ποιησαμένη ὀβελοὺς βουπόρους πολ» λοὺς σιδηρέους, ὅσον ἐνεχώρεε ἡ δεκάτη οἱ, ἀπέπεμπε ἐς Δελ» φούς ». — Στ. 25, Ἐνίκα τήν.] Ἴσως, Καὶ ἐνίκα τὴν, ἢ, Ἐνίκα τε τὴν, ἐστὶ γραπτέον.

Σελ. 89, στ. 9, Ἔγνων.] Οὕτως αἱ ΑΑ· ὀρθῶς. ὁ γὰρ παρακείμενος, Ἔγνωκα, οὐκ ἐπιτήδειος ἐνταῦθα, εἴγε χρόνον ὡρισμένον καὶ πρὸ μικροῦ παρῳχημένον σημαίνει. — Στ. 17, Ῥοδῶπιν.] Προπεριέσπασα διὰ τὰ μικρῷ πρόσθεν εἰρημένα. Στ. 19, Ἐπιβρίσαντος.] Τὸ, Ἐπιβρίσαι, Ἡσύχιος ἐξηγεῖται, « Ἐπαγαγεῖν, ἐπελθεῖν, ΕΠΙΣΤΗΞΑΙ, ἐπιβαρεῖν, ἐφ» ορμῆσαι, βιάσασθαι »· ὅπου γραπτέον εἶναι, ΕΠΙΣΚΗΨΑΙ, αὐτὸς Ἡσύχιος ἱκανῶς διδάσκει διὰ παραλλήλου ἄλλου χωρίου τοῦ, « Ἐπισκήψασθαι, ἐπιβαρῆσαι ». — Στ. 23, Περιγράφων.] Περιαιρῶν. ἡ μεταφορὰ ἀπὸ τῶν ἐξαλειφομένων γραμμάτων· περιγράφοντες γὰρ αὐτὰ τῷ καλάμῳ περιαιροῦμεν καὶ οἱονεὶ ἀποχωρίζομεν τῶν λοιπῶν· ὅθεν καὶ,

Περιγραφὴ, ἡ περιαίρεσις, καθ' Ἡσύχιον· ἡ δὲ χρῆσις καὶ τὸ, Διαγράφω, ἐπὶ τῆς αὐτῆς ταύτης σημασίας παρείληφε.

Σελ. 90, σ/. 1, Πατρῴαις ὄψεσι.] Ἀκυρολογία· οὐ γὰρ ὡς, Οἰκίας πατρῴας, ἐρεῖ προϊὼν, οὕτω καὶ, Ὄψεσι πατρῴαις, ὤφειλεν εἰπεῖν, ἀλλὰ Πατρικαῖς. Πατρῷα μὲν γὰρ λέγοι τις ἂν τὰ ἐκ τοῦ ἰδίου πατρὸς τεθνηκότος εἰς αὐτὸν μεταβαίνοντα διαδοχῆς λόγῳ χρήματα ἢ κτήματα· Πατρικὰ δὲ, τὰ ὁπωσοῦν ἄλλως ἀνήκοντα τῷ πατρί. ἄμφω δ' αὖ πάλιν ταῦτα, τό, τε, Πατρῷα, φημὶ καὶ τὸ, Πατρικὰ, διενήνοχε τοῦ, Πάτρια, ὅπερ ἐστὶ, τὰ τῆς πόλεως ἔθη καὶ νόμιμα, οὐ παρὰ τὸ, Πατὴρ, ἀλλὰ παρὰ τὸ, Πατρὶς, εσχηματισμένον. καὶ ταῦτα μὲν περὶ τούτων· ἐπιλάβοιτο δ' ἄν τις Ἡλιοδώρου καὶ διὰ τὸ ἑξῆς, Χαριζόμενος ταῖς πατρῴαις ὄψεσιν ἀθέατον τὸν φόνον τῶν παίδων, ὡς ἀφελείας τε πόῤῥω καὶ πολὺ τὸ κακόζηλον ἔχον, πρὸς δὲ καὶ περιττῶς εἰρημένον· ταὐτὸ γάρ πως τοῦτο φθάσας προείρηκε διὰ τοῦ, Περιγράφων οὖν τῶν ὀφθαλμῶν κ. τ. λ. — Στ. 5, Θάτερον.] Ἡμάρτηται καὶ τοῦτο οὐ μόνον τῷ Ἡλιοδώρῳ, ἀλλὰ καὶ πλείστοις ἄλλοις. τὸ γὰρ Θάτερον, συναιρεθὲν ἀπὸ οὐδετέρου τοῦ, Τὸ ἕτερον, οὐκ ὀρθῶς τίθεται ἐπὶ ἀρσενικοῦ τοῦ, Τὸν ἕτερον. — Στ. 7, Θύαμις.] Αἱ ΑΑ, Θύαμις δὲ, μετὰ τοῦ συνδέσμου. Στ. 16, Ἀνδρῶν δὲ σοφῶν ἐργαστήριον.] Δηλονότι παρῴδηται ἀπὸ τῶν Ἀριστοφάνους, ἐν οἷς ἐκεῖνος, κακοσχόλως κωμῳδῶν τοὺς περὶ Σωκράτην, λέγει (Νέφελ. 94), περὶ τῆς οἰκίας αὐτῶν,

Ψυχῶν σοφῶν τοῦτ' ἐστὶ φροντιστήριον·
Ἐνταῦθ' ἐνοικοῦσ' ἄνδρες κ. τ. λ.

Στ. 19, Διά τε τοῦ Κρισσαίου κόλπου τῇ Κίῤῥᾳ προσορμισθείς.] Ἐν ταῖς ΚΑ, Κιῤῥαίᾳ. ἐπελαθόμην δὲ ὑποσημειώσασθαι, ὅτι Κίῤῥῳ (ἀντὶ τοῦ Κίῤῥᾳ) κακῶς ἐμφέρεται ἐν τῷ Κ, ἀπὸ τῆς Β. ἔστι δὲ ἡ Κίῤῥα, πόλις παραθαλασσία τῆς Φωκίδος, ἀπέχουσα τῶν Δελφῶν ὀγδοήκοντά που στάδια ὡς φησὶ Στράβων (Θ, σελ. 418), ἢ ἑξήκοντα, κατὰ τὸν Παυσανίαν (Ι, λζ'). ὁ δὲ Κρισσαῖος κόλπος ἀπὸ Κρίσσης τῆς πόλεως οὕτως ὠνόμασται, ἣν τανῦν παραφθείραντες, Χρισσὸ, καλοῦσιν οἱ ἐγχώριοι, ὡς φησὶ Μελέτιος. Καὶ Παυσανίας μὲν

(Αὐτόθ.) τὴν Κίῤῥαν τὴν αὐτὴν εἶναι βούλεται τῇ Κρίσσῃ ἢ Κρίσῃ· ὥπερ ὁμολογεῖ καὶ ὁ Ἐτυμολόγος (σελ. 515), καθαπτόμενος Λεωκρίνους ἡγησαμένου δύο εἶναι πόλεις, ἄλλην τὴν Κρῖσαν καὶ ἄλλην τὴν Κίῤῥαν, καὶ τὸ πάθος ἀγνοήσαντος τῆς λέξεως, καθ' ὃ καὶ Χεῤῥόνησος ἡ Χερσόνησος λέλεκται, τοῦτο δηλονότι βουλόμενος λέγειν, ὅτι ἡ παρ' Ὁμήρῳ Κρῖσα, μεταπέποιηται παρὰ τοῖς ὕστερον εἰς τὸ, Κίρσα, ἔπειτα εἰς τὸ, Κίῤῥα. ἀντίκειται μέντοι τούτοις οὐ μόνον Στράβων (Θ, σελ. 418) ἀλλὰ καὶ Πτολεμαῖος, καὶ Πλίνιος, ἑτέραν ἄντικρυς εἶναι βουλόμενοι τὴν Κίῤῥαν τῆς Κρίσας, καὶ οὐ τὴν αὐτήν. διορθωτέος δὲ καὶ ὁ Στέφανος (περὶ Πολ. Λέξ. Κρίσα) ἐν οἷς φησὶ περὶ τῆς Κρίσας, « Τινὲς Δ'ΑΥΤΗΝ τῇ Κίῤῥᾳ φα- » σί »· γραπτέον γὰρ, Τινὲς ΔΕ ΤΗΝ ΑΥΤΗΝ κ. τ. λ.

Στ. 21, Ὀμφή με ὡς ἀληθῶς θεία προσέβαλεν.] Ἐκ τῶν Ὁμήρου (Ἰλιάδ. Β, 41), ὅπου φησὶ περὶ Ἀγαμέμνονος, ὅτι, μετὰ τὸν παρὰ τοῦ Διὸς πεμφθέντα αὐτῷ ὄνειρον,

Ἔγρετο δ' ἐξ ὕπνου· θείη δέ μιν ἀμφέχυτ' ὀμφή.

κἀκεῖ μὲν Ὀμφὴν τὴν θείαν κληδόνα, ἢ φωνὴν, φασὶν οἱ ἐξηγησάμενοι τὰ Ὁμήρου, ἣν ἐγερθεὶς ὁ Ἀγαμέμνων ἔναυλον ἔτι ταῖς ἀκοαῖς ἔσωζε. καὶ αὐτοὶ δὲ οἱ τοῦ Ἀπόλλωνος χρησμοὶ, Ὀμφαὶ ἐκαλοῦντο· ὁ γὰρ Λουκιανὸς (Νέρ. ἢ περὶ τῆς ὀρυχ. τοῦ Ἰσθμ. § 10) περὶ τοῦ ἐν Δελφοῖς μαντείου τὸν λόγον ποιούμενος, φησὶ, « Καὶ τὸ Πυθικὸν στόμιον, παρ' » οὗ αἱ ὀμφαὶ ἐνέπνεον (ἴσ. ἀνέπνεον), ἀποφράττειν ὥρμησεν, » ὡς μηδὲ τῷ Ἀπόλλωνι φωνὴ εἴη ». ἐνταῦθα μέντοι τὸν Ἡλιόδωρον, ἀντὶ τῆς πνοῆς, ἢ ὀσμῆς, ἐκδέξασθαι τὴν Ὀμφὴν οὐκ ἀπεικότως ἄν τις ὑπολάβοι. ὅτι δὲ καὶ τοῦτο σημαίνει ἡ Ὀμφὴ, δηλοῖ τὸ τῶν Λακώνων, Ὄμφα, ὅπερ Ἡσύχιος ἐξηγεῖται διὰ τοῦ, Ὀσμὴ, καὶ τὸ τοὺς Ἀρκάδας, Εὐόμφαλον, καλέσαι τὸ ῥόδον, ὅ ἐστιν, εὔοσμον, καθὰ φησιν Ἀθήναιος (ΙΕ, σελ. 682). προσμαρτυρεῖ δὲ τοῖς εἰρημένοις καὶ Πίνδαρος, Εὐῶδες ὀνομάσας αὐτὸ τοῦτο τὸ Πυθικὸν χρηστήριον (Ὀλυμπ. Ζ, 58),

Τῷ μὲν ὁ Χρυσοκόμας
Εὐώδεος ἐξ ἀδύτου κ. τ. λ.

ὁ δὲ Λουκιανὸς, περὶ τοῦ ἐν Ἱεραπόλει τῆς Συρίας Θεοῦ ναοῦ

ταῦτα λέγει (περὶ Συρ. Θεοῦ, § 31), « Ἀπόζει δὲ » αὐτοῦ ὀδμὴ ἀμβροσίη, ὁκοίη λέγεται τῆς χώρης τῆς » Ἀραβίης· καί σοι τηλόθεν ἀνιόντι προσβάλλει πνοιὴν κάρ- » τα ἀγαθήν ». καὶ οὐ θαυμαστὸν ἥδιστον ὄζειν τοὺς ναοὺς, θυμιωμένους καθ' ἑκάστην τοῖς εὐώδεσιν, ὅπου καὶ μόνην τὴν θεῶν παρουσίαν εὐωδίας αἰτίαν ἀρκοῦσαν ᾤοντο. Ὅμηρος γὰρ (Ὕμν. εἰς Ἑρμ. 231) τὸ Ἀρκαδικὸν ὄρος τὴν Κυλλήνην εὐωδίας πλησθῆναι φησὶ, καθ' ὃν χρόνον ἐτίκτετο ἐν αὐτῷ ὁ Ἑρμῆς,

> Ὀδμὴ δ' ἱμερόεσσα δι' οὔρεος ἠγαθέοιο
> Κίδνατο. ................ ....

Στ. 23, Διαίτημα.] Ἴσως γραπτέον, Ἐνδιαίτημα, πλὴν εἰ μή τις κἀνταῦθα ἀκυρώτερον, Διαίτημα, ἀντὶ τοῦ, Ἐνδιαίτημα, γεγραφέναι φήσει τὸν Ἡλιόδωρον. — Στ. 25, Παρνασσός.] Ὄρος Φωκίδος, ἐν ᾧ τὸ ἱερὸν καὶ μαντεῖον τοῦ Πυθίου Ἀπόλλωνος, καὶ τὸ Κωρύκιον λεγόμενον Νυμφῶν καὶ Πανὸς ἄντρον. Τὸ νότιον τοῦ Παρνασσοῦ πλευρὸν ὡς φησὶ Στράβων (Θ, σελ. 418) κατεῖχον « οἱ Δελφοὶ, πετρῶδες » χώριον, θεατροειδὲς, κατὰ κορυφὴν ἔχον τὸ μαντεῖον καὶ » τὴν πόλιν, σταδίων ἑκκαίδεκα κύκλον πληροῦσαν. ὑπέρκει- » ται δ' αὐτῆς ἡ Λυκώρεια, ἐφ' οὗ τόπου πρότερον ἵδρυντο οἱ » Δελφοὶ ὑπὲρ τοῦ ἱεροῦ· νῦν δ' ἐπ' αὐτῷ οἰκοῦσι περὶ τὴν » κρήνην τὴν Κασταλίαν ». καὶ ὁ μὲν Παρνασσὸς τανῦν ἰδιωτικῶς Λιάκουρα καλεῖται, παραφθαρείσης, ἐμοὶ δοκεῖν, τῆς λέξεως ἀπὸ τῆς Λυκωρείας πόλεως, ἣν ἐπὶ τῆς κορυφῆς αὐτῆς τοῦ Παρνασσοῦ ἐκτισμένην ᾤκουν οἱ Δελφοὶ πρότερον ἢ μετοικίσασθαι ἐπὶ τὴν ὁμώνυμον πόλιν τοὺς Δελφοὺς, τὴν καὶ Πυθὼ καλουμένην, ἣν τανῦν ἡ κοινὴ συνήθεια Καστρὶ ὀνομάζει (ἀπὸ τοῦ Λατινικοῦ *Castrum*) διὰ τοῦτο οἶμαι, ὅτι φρουρίῳ ἔοικεν ἡ τοῦ τόπου θέσις καὶ ἀκροπόλει, ὥς φησιν Ἡλιόδωρος. συνομολογεῖ δὲ τούτοις καὶ Ἰουστῖνος (ΚΔ, ϛ'), *Templum et civitatem, non muri, sed præcipitia, nec manu facta, sed naturalia præsidia defendunt.*

Σελ. 91, στ. 4, Ἱερομνήμονα.] Ἱερομνήμονες ἐκαλοῦντο οἱ εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον πεμπόμενοι ἐξ ἑκάστης πόλεως Ἑλληνικῆς. συνήεσαν δὲ οἱ Ἀμφικτύονες περὶ τῶν

κοινῶν βουλευσόμενοι· ἐπεμελοῦντο δ' ἄλλως καὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ, φυλακῆς δεομένου μεγάλης, διὰ τὸ πλῆθος τῶν ἐναποκειμένων χρημάτων. — Στ. 8, Ἐπανήειν.] Ἡμαρτῆσθαι γραφικῶς τὸ χώριον πρόδηλον. γραπτέον οὖν, Ἀνήειν, ἄνευ τῆς, Ἐπὶ, προθέσεως· ἢ (τοῖς ἐχομένοις συνάπτοντας, καὶ τὸν, Οὖν, σύνδεσμον ὀβελίσαντας), Ἐπεὶ ἀνήειν πρὸς τὴν πόλιν, ἐπαινέσας τῶν τε κ. τ. λ., ἢ γοῦν, Ἐπανήει, τριτοπροσωπικῶς, καὶ συναφῶς τοῖς πρόσθεν, ἵν' ᾖ τὸ ἑξῆς, Ἕξομαι, ἔφη, καὶ ἐπανήει, ἤγουν ἐπανῆλθεν ἐπὶ τὸ προκείμενον ὁ Καλάσιρις, ἐπαναγαγὼν τὸν λόγον ἐπὶ τὴν πόλιν, ἀφ' ἧς παρεξέβη. — Στ. 9, Ἐπαινέσας οὖν τῶν τε δρόμων κ. τ. λ.] Ἐν ταῖς ΔΑ 632 γράφεται μετὰ προσθήκης, παρ' οὐδενὶ τῶν ἄλλων ἐμφερομένης, Ἐπαινέσας οὖν τῶν τε ἘΜΒΌΛΩΝ ΚΑῚ δρόμων κ. τ. λ. καὶ οὐκ ἀπεικὸς οὕτω γράψαι τὴν ἀρχὴν τὸν Ἡλιόδωρον, Χριστιανῶν ἔθει καὶ λέξει κατακολουθήσαντα· Ἐμβόλους γὰρ ἐκάλουν τὸ τηνικαῦτα τὰς πρὸ τῶν Χριστιανικῶν ναῶν στοὰς, πρὸς τὸ ἀμύνειν ὄμβρους ἢ καύματα κατεσκευασμένας· ὅθεν καὶ ἐν τοῖς Πρακτικοῖς τῆς ὀγδόης οἰκουμενικῆς Συνόδου εὕρηται, «Δεξιὸς ἔμβολος » τῆς μεγάλης Ἐκκλησίας». προσεικάσειε δ' ἄν τις τοὺς παρὰ τοῖς Χριστιανοῖς Ἐμβόλους τοῖς τῶν Ἑλληνικῶν ναῶν Περιστύλοις, ἢ Περιστόοις, καλουμένοις· καὶ γὰρ Εὐριπίδης, περὶ αὐτοῦ τούτου τοῦ ἐν Δελφοῖς Ἱεροῦ λέγων (Ἀνδρομάχ. 1098), οὕτω φησὶν,

Ἰδίᾳ θ' ὅσοι θεοῦ χρημάτων ἐφέστασαν,
Φρουρὰν ἐτάξαντ' ἐν ΠΕΡΙΣΤΎΛΟΙΣ ΔΌΜΟΙΣ.

οὐ μόνοις δὲ τοῖς ναοῖς, ἀλλὰ καὶ οἴκοις κατὰ τὸ ἄστυ, καὶ παλαίστραις, καὶ ἀγοραῖς, προσῳκοδόμητο τὰ περίστυλα. — Στ. 11, Περιῤῥαντήριον.] Περὶ τῆς Κασταλίας κρήνης εἴρηται ἐν τοῖς πρόσθεν. τοῦ δὲ ἔθους τοῦ περιῤῥαίνεσθαι τῷ ταύτης ὕδατι πρὸ τοῦ εἰσιέναι εἰς τὸ Ἱερὸν μνημονεύει καὶ Εὐριπίδης (Ἴων. 94),

Ἀλλ' ὦ Φοίβου Δελφοὶ θέραπες,
Τὰς Κασταλίας ἀργυροειδεῖς
Βαίνετε δίνας. καθαραῖς δὲ δρόσοις
Ἀφυδρανάμενοι, στείχετε ναούς.

Στ. 13, Κινεῖσθαι τὴν Θεοπρόπον.] Τὴν Μάντιν δηλονότι, ἣ καὶ εἰδικώτερον, ἐν Δελφοῖς, Πυθία ἐκαλεῖτο, διὰ τὸ ἱερατεύειν τῷ Πυθίῳ Ἀπόλλωνι. σημείωσαι δὲ καὶ τὸ, Κινεῖσθαι, ἀντὶ τοῦ, Μαίνεσθαι, ὃ καὶ Παρακινεῖσθαι, ἐπ᾽ ἄλλων ἔλεγον· ὅθεν καὶ τῇ συνηθείᾳ, ὁ Παρακεκινηκὼς (οὕτω γὰρ ἐκάλουν τὸν μαινόμενον) οὐκ ἀκόμψως διὰ τῆς συνωνύμου λέξεως, Σαλευμένος (ἀπὸ τοῦ, Σεσαλευμένος) ἐκπέφρασται. ἡ αὐτὴ δὲ συνήθεια καὶ, Ἐσάλευσεν ὁ νοῦς του, λέγει, ὅπερ ὁ Κωμικὸς (Νεφέλ. 1276) διὰ τοῦ,

> Τὸν ἐγκέφαλον ὥσπερ σεσεῖσθαί μοι δοκεῖς,

ἐξέφρασε· σεισμῷ γὰρ καὶ σάλῳ ἔοικεν ἡ τῆς τῶν ἐξεστηκότων διανοίας κίνησις. — Στ. 14, Λέγοντες.] Ἀκαταλλήλως εἰρημένον· ἐχρῆν γὰρ εἰπεῖν, Λεγόντων, ἵν᾽ εἶχεν ἀναφέρεσθαι εἰς τὸ, Πολλῶν, καθὰ καὶ ἐν τοῖς ἑξῆς (σελ. 160) ἐρεῖ, « Ἐπεῖχέ τις βοὴ . . . ξένων καλούντων ». τῆς δὲ τοιαύτης ἀκαταλληλίας ἔστι παραθέσθαι μαρτύρια ἐκ τῶν ἀρίστων συγγραφέων τε καὶ ποιητῶν. αὐτίκα Σοφοκλῆς (Ἀντιγ. 259),

> Λόγοι δ᾽ ἐν ἀλλήλοισιν ἐῤῥόθουν κακοὶ,
> Φύλαξ ἐλέγχων φύλακα.........

ὃ παραπλήσιόν ἐστι τῷ τοῦ Ἡλιοδώρου προκειμένῳ χωρίῳ κατὰ τὴν σύνταξιν. — Στ. 16, Τοιάδε.] Ἐν τῇ Β, Τάδε. Στ. 17, Ἴχνος ἀειράμενος κ. τ. λ.] Περιττὴ ἡ ἑτέρα τῶν προθέσεων. καὶ ἴσως ὀρθώτερον τὸ ἐν ταῖς ΚΑ συνθέτως ἐμφερόμενον, Παρανείλου, τουτέστι, τῆς χώρας τῆς παρακειμένης τῷ Νείλῳ. ἐν ταῖς ΑΑ γράφεται, Ἴχνος ἀειρόμενος τε ἀπ᾽ εὐστάχυος παρὰ Νείλου. οὕτω δὲ διορθοῦν ἐπεχείρησε Δορβίλλος (ἐν ταῖς εἰς τὸν Χαρίτ. σημ. σελ. 261) τὸ χωρίον, Ἴχνος ἀειράμενος ηὐστάχυος παρὰ Νείλου. οὐκ ἀπεικὸς δὲ καὶ τὴν ἑτέραν τῶν προθέσεων τῷ Ἀειράμενος συντεταχέναι τὸν Ἡλιόδωρον κατ᾽ ἀναστροφὴν, ἵν᾽ ᾖ, Ἴχνος ἀπαειράμενος. — Στ. 18, Νήματ᾽ ἐρισθενέων.] Ἐν ταῖς ΚΑ ἐμφέρεται, Νῆμα περισθενέων. Στ. 20, Αἶψα.] Εὐθέως, ὠκέως, ταχέως, ὡς ἐξηγεῖται Ἡσύχιος· ὅθεν ἡ κοινὴ συνήθεια παραλαβοῦσα ἐσχημάτισε τὸ, Ἀψά.

Σελ, 92, στ. 1, Περιεῖπον τὸ ἐντεῦθεν.] Οὕτω διώρθωκα

θωκα τὴν σόλοικον γραφὴν τῶν πρὸ ἐμοῦ. ἐν ταῖς ΑΑ προσγράφεται τῷ, Ἐντεῦθεν, τὸ, Πάντοθεν, ὃ δὴ τοῦ, Παντοίως, μᾶλλον ἂν εἴη γραφὴ διάφορος. — Στ. 2, Μετὰ Λυκοῦργον.] τοῦτο εἴρηται διὰ τὰ τελευταῖα ῥήματα τοῦ χρησμοῦ «Ἐμὸς ἔσσο φίλος»· ὅτι καὶ Λυκοῦργον ἐλθόντα εἰς Δελφοὺς ἐπὶ τὸ Χρηστήριον, ὥς φησιν Ἡρόδοτος (Α, ξε΄), ἡ Πυθία φίλον τοῦ Διὸς προσηγόρευσεν ἐν τούτοις τοῖς ἔπεσιν,

Ἥκεις ὦ Λυκόοργε ἐμὸν ποτὶ πίονα νηὸν,
Ζηνὶ φίλος κ. τ. λ.

Στ. 10, Οὐκ ὀλίγος δὲ κ, τ. λ.] Ἐξ ἱστορίας τοῦτο· παλαιὸν γὰρ ἦν ἔθος τὸ συνιέναι περὶ τὸν ναὸν τοῦ ἐν Δελφοῖς Ἀπόλλωνος τοὺς ἀστειοτέρους τῶν παραγινομένων ξένων καὶ προβάλλειν ἀλλήλοις ζητήματα καὶ συμφιλοσοφεῖν. καὶ ἐκάλουν τὰς τοιαύτας συνουσίας, καὶ τοὺς τόπους εἰς οὓς συνῄεσαν, Λέσχας (ἐξ οὗ σύνθετον τὸ, Ἀδολεσχεῖν), ἐπονομάζοντες ἀπὸ τοῦ τόπου τῶν συνερχομένων, οἷον, Λέσχη Ἀθηναίων, Λέσχη Κορινθίων. κ, τ. λ. δι᾽ αὐτὰς δὲ ταύτας καὶ αὐτὸς ὁ Ἀπόλλων ὁ Πύθιος, Λεσχηνόριος, ἐπεκλήθη (Ἴδε Πλούταρχ. περὶ τοῦ ΕἼ τοῦ ἐν Δελφοῖς § 1 – 2, καὶ περὶ τῶν Ἐκλελοιπ. Χρηστηρ. § 6, καὶ Ἁρποκρατίωνα, λέξ. Λέσχαι). παρὰ δὲ ταύτας ἦσαν Λέσχαι κατὰ πᾶσας τῆς Ἑλάδος τὰς πόλεις, τοῖς μὲν δημωδεστέροις, χάριν θέρμης (ἦσαν γὰρ ἀλεεινοὶ τόποι), καὶ τοῦ συναδολεσχεῖν ἕνεκα· τοῖς δὲ κομψοτέροις, ἐπὶ τῷ συμφιλοσοφεῖν, τοῖς δὲ τὸ πλεῖστα φαγεῖν καὶ πιεῖν ἐν ἀρετῆς μοίρᾳ τιθεμένοις, οἷοι ἦσαν οἱ Βοιωτοὶ, καὶ ἐπὶ τῷ συνδειπνεῖν· Λέσχας γὰρ ἐκάλουν καὶ οὗτοι τὰ παρ᾽ αὐτοῖς κοινὰ δειπνητήρια (Ἐτυμολογ. σελ. 561). οἶδε δὲ καὶ Ὅμηρος (Ὀδυσσ. Σ, 328) τὰς Λέσχας, καὶ Ἡσίοδος. ὁ γοῦν Πρόκλος, ἐξηγούμενος Ἡσιόδου τουτὶ τὸ χωρίον (Ἔργ. καὶ Ἡμ. 493),

Πὰρ δ᾽ ἴθι χάλκεον θῶκον καὶ ἐπαλέα λέσχην
Ὥρῃ χειμερίῃ κ. τ. λ.,

φησὶν Ἀθήνησι ἑξήκοντα πρὸς ταῖς τριακοσίαις Λέσχας ὑπάρξαι. καὶ οὐ θαυμαστόν· πάντων γὰρ ἀνθρώπων Ἕλληνες, Ἑλλήνων δ᾽ ἁπάντων Ἀθηναῖοι γεγόνασι λαλίστατοι.

προσεικάσειε δ' ἄν τις τὰς τῶν Ἀρχαίων Λέσχας τοῖς παρὰ τοῖς Ἰταλοῖς λεγομένοις Οἰκηματίοις ( *Casini* ), ἢ καὶ αὐτοῖς τοῖς παρ' ἅπασι Καφοπωλείοις, οὕτω καλουμένοις διὰ τὸν ἐμπολώμενον μέλανα ζωμὸν, τὸν ἐν τῇ συνηθείᾳ ὀνομαζόμενον, Καφὲν, οὐδὲν ἔχοντα κοινὸν πρὸς τὸν τῶν Λακώνων Μέλανα ζωμὸν, ἀλλ' αὐτὸ ἀτεχνῶς ὄντα τὸ ( Ὀδυσσ. Δ, 221 ),

Νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων

φάρμακον, ὃ Λυκούργου πολλοῖς ἔτεσι πρότερον Ἑλένη μετεκόμισεν ἐξ Αἰγύπτου εἰς Λακεδαίμονα. — Στ. 18, Συρίγγων πλάνην.] Τῶν ἐν τῇ Θηβαΐδι τῆς Αἰγύπτου ὑπογείων Συρίγγων μέμνηται καὶ Παυσανίας ( Α, μβ' ), καὶ Αἰλιανὸς ( Ζώων Ἰδιότ. ς, μγ' ), καὶ ἄλλοι. εἰσὶ δὲ ἄντρα λαβυρινθώδη χειροποίητα, ἐπὶ πολὺ διήκοντα, καὶ τοῖς ποικίλοις ἑλιγμοῖς πλάνην ἐμποιοῦντα, ὧν οἱ τοῖχοι ἐγγεγλυμμένων τύπων εἰσὶν ἀνάπλεοι, ὡς φασὶν οἱ πάλαι τε καὶ καθ' ἡμᾶς αὐτὰ θεασάμενοι. ἐθρυλλεῖτο δὲ, ὡς φησὶν Ἀμμιανὸς ὁ Μαρκελλῖνος ( ΚΒ, ιέ ), Αἰγυπτίους ταῦτα κατασκευάσαι, καὶ τύπους ἱερογλυφικοὺς μυστήριά τε καὶ τελετὰς δηλοῦντας ἐγκολάψαι, τὸν μέλλοντα προγνόντας κατακλυσμὸν, καὶ δείσαντας, ὡς εἰκὸς μὴ ἐξίτηλος ἡ τῆς θρησκείας γένοιτο μνήμη, *Sunt et Syringes subterranei quidam et flexuosi secessus, quos (ut fertur) periti rituum vetustorum adventare diluvium præscii, metuentesque ne cærimoniarum obliteraretur memoria, penitus operosis digestos fodinis per loca diversa struxerunt : et excisis parietibus volucrum ferarumque genera multa sculpserunt, et animalium species innumeras, quas hierographicas literas appellarunt.*

Σελ. 93, σί. 1, Τῶν ἀστειοτέρων. ] Τουτέστι τῶν παρὰ τοὺς ἄλλους μᾶλλον Πεπαιδευμένων, παρὰ τὸ, Ἄστυ· οἱ γὰρ ἐν τῇ πόλει διαιτώμενοι ὡς ἐπίπαν τῶν κατ' ἀγροὺς διαιτωμένων λόγου τε καὶ πείρας πλείονος μετεσχήκασι. — Στ. 4, Γιγνώσκειν καὶ ἀναγιγνώσκειν. ] Παρεμφαίνεται κἀντεῦθεν τὸν Ἡλιόδωρον τῆς τῶν Χριστιανῶν ἀγέλης ἕνα γεγονέναι· ἔστι γὰρ τὸ λεγόμενον οἱονεὶ παρῳδία ἐκ

τῶν εἰρημένων τῷ Φιλίππῳ πρὸς τὸν Κανδάκης εὐνοῦχον (Πράξ. Η, 30), «Ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις;». Στ. 5, ἐκ τῶν ἄκρων.] Ἐν ταῖς ΑΑ, καὶ ΔΑ 561, Ἐκ τῶν ἄκρων μέν. — Στ. 6, Λαμβάνει.] Ἐκ τῶν ΚΑ. — Στ. 10, Πρὸς τῶν Ἐτησίων.] Οὕτως ἐδόξαζε Θαλῆς ὥς φησι Πλούταρχος (Περὶ τῶν Ἀρεσκ. τοις Φιλοσοφ. Δ, ά.). — Στ. 14, Συναράξωσι.] Ἀρίστη γραφὴ ἐκ τῶν ΑΑ· τοῦτο δὲ ἐστὶ Συγκρούσωσιν, ἀπὸ τοῦ Ἀράσσω. λέγεται δὲ ἀδιαφόρως καὶ, Συῤῥάξωσι (ὡς σελ. 69), ἀπὸ τοῦ, Ῥάσσω, ὅπερ οὐδενὶ ἄλλῳ ἢ σχηματισμῷ διενήνοχε τοῦ Ἀράσσω. ἀποσκορακιστέον οὖν τό, τε Συναύξωσι τῆς Β, καὶ τὸ Συνάξωσι τῶν λοιπῶν. Περὶ δὲ τῶν αἰτιῶν τῆς αὐξήσεως τοῦ Νείλου, ἄριστα Ἡλιόδωρος φιλοσοφεῖ, τοὺς θερινοὺς τῆς Αἰθιοπίας ὄμβρους πληροῦν αὐτὸν λέγων. τοῦτο δὲ καὶ Ὅμηρον ἐγνωκέναι δῆλόν ἐστιν ἀπὸ τοῦ Διιπετῆ προσαγορεῦσαι τὸν Νεῖλον, ὅ ἐστιν ἀπὸ τῶν Διὸς ὄμβρων πληρούμενον. ὁμολογοῦσι δὲ τῇ δόξῃ ταύτῃ ὅ, τε Ποσειδώνιος, τοὺς πληροῦντας τὸν Νεῖλον ὄμβρους ἐκ τῶν Αἰθιοπικῶν ὀρῶν συμβαίνειν φήσας (Στράβ. Β, σελ. 98), καὶ τῶν καθ' ἡμᾶς οἱ τὰ ἐκεῖ ἱστορήσαντες, οἵ φασιν ἀπὸ μηνὸς Ἰουνίου ἄχρι Σεπτεμβρίου λάβροις ὑετοῖς ὁσημέραι σχεδόν τι τὴν Αἰθιοπίαν κατομβρεῖσθαι. καὶ ἐν Αἰγύπτῳ δὲ τὸ ποσὸν τῆς μελλούσης αὐξήσεως ἀπὸ τοῦ τῶν νεφῶν πλήθους τῶν ἀπὸ τῶν ἀρκτῴων ἐπὶ τὰ μεσημβρινὰ ὠθουμένων εἰκάζειν τε καὶ προλέγειν ἰώθασι. — Στ. 19, Ὀργᾷ τε.] Ἐκ τῆς Β διώρθωκα τὸ σόλοικον, Ὀργᾶται. — Στ. 22, Πιεῖν τέ ἐστι γλυκύτατος.] Ὁ δὲ Πλούταρχος (περὶ Ἴσιδ. καὶ Ὀσίριδ. § 5), ὅτι καὶ πιαίνειν δοκεῖ, καὶ μάλιστα πολυσαρκίαν ποιεῖν τὸ Νειλῷον ὕδωρ πινόμενον, φησί.

Σελ. 94, στ. 1, Αὔρας οὐκ ἀναδίδωσι.] Ἐξ Ἡροδότου (Β, ιθ'.) λέγοντος, «Αὔρας ἀποπνεούσας (γρ. ἀποπνειούσας) μοῦνος πάντων ποταμῶν οὐ παρέχεται». εἰσὶ δὲ αἱ Αὖραι λεπταὶ πνοαὶ καὶ ψυχραὶ ἐξ ὑγροῦ ἀποφερόμεναι, οὐχ ὁμίχλαι, ὡς ἔφασάν τινες κακῶς ἐκδεξάμενοι τὸ τοῦ Ἡροδότου. — Στ. 2, Καθὼς τινες.] Ἀναξαγόραν αἰνίττεται. οὗτος γὰρ ἦν ὁ φήσας ἐκ τῆς χιόνος τῆς ἐν τῇ Αἰθιοπίᾳ τηκομένης τοῦ θέρους πληροῦσθαι τὸν Νεῖλον. καὶ Δημόκριτος δὲ τῇ

χιόνι ἐπέγραφε τοῦ Νείλου τὴν αὔξησιν, ἀλλὰ τῇ ἐν τοῖς ἀρκτῴοις, ἧς λυομένης νέφη μὲν ἐκ τῶν ἀτμῶν πιλοῦσθαι ἔλεγε, τούτων δὲ ἀπελαυνομένων πρὸς μεσημβρίαν καὶ τὴν Αἴγυπτον ὑπὸ τῶν ἐτησίων ἀνέμων, ἀποτελεῖσθαι ῥαγδαίους ὄμβρους, ὑφ᾽ ὧν ἀναπίμπλασθαι τὸν Νεῖλον (Πλούτ. Ἀρ. τοῖς Φιλ. Δ, ά.). — Στ. 9, Καλαδούποις.] Οἱ Καλάδουποι πῇ μὲν συνωνύμως ἐκλαμβάνονται τοῖς μικροῖς Καταῤῥάκταις τοῦ Νείλου, ὡς παρ᾽ Ἡροδότῳ (Β, ιζ᾽), καὶ Κικέρωνι, ὃς καὶ, Τὰ Κατάδουπα, οὐδετέρως αὐτοὺς ἐξήνεγκεν, ἐν οἷς φησὶ τοὺς περὶ αὐτοὺς οἰκοῦντας, κωφοὺς εἶναι τὰ ὦτα διὰ τὸν ψόφον τῶν καταῤῥασσομένων ὑδάτων τοῦ Νείλου (Κικέρ. ἐν Ὀνείρ. Σκιπίων. § 5), ἐξ οὗ ψόφου, τοῦ καὶ δούπου λεγομένου, Κατάδουποι ὠνομάσθησαν· πῇ δὲ πόλιν σημαίνουσιν ὁμωνύμως οὕτω κληθεῖσαν, διὰ τὸ πλησίον ἱδρῦσθαι τῶν Καταῤῥακτῶν, ὡς ἐνταῦθά τε καὶ ἐν τοῖς ἑξῆς (σελ. 95) ἐκδεδέχθαι ὑποληπτέον τὸν Ἡλιόδωρον· τινὲς δέ φασι καὶ περὶ τοὺς μεγάλους Καταῤῥάκτας ἑτέραν πόλιν Καταδούπους ἱδρῦσθαι. — Στ. 17, Γένηται.] Τὸν ἀόριστον ἐνταῦθα τοῦ ἐνεστῶτος μᾶλλον ἐῤῥῶσθαι ὑπέλαβον. ἐν δὲ τοῖς ἑξῆς (σελ. 275) καλῶς ἔχει ὁ ἐνεστὼς παράτασιν Ἐνεργείας τινὰ ἐμφαίνων καὶ ἐπανάληψιν. σημείωσαι δὲ ἐν ἀμφοτέροις τοῖς χωρίοις τὴν Ἡλιοδώρειον χρῆσιν τοῦ Γίγνεσθαί τι τινὶ βουλομένῳ· ἡ γὰρ κοινοτέρα χρῆσις τὸ Εἶναι ἀντὶ τοῦ Γίγνεσθαι βούλεται. — Στ. 20, Διά τι χρήσιμον ἐμὸν, ἀκροατήν.] Κακῶς στίξαντες μετὰ τὸ Χρήσιμον οἱ πρὸ ἡμῶν συνέχεαν τὸν νοῦν τοῦ Χωρίου· καὶ γὰρ οὐκ ἔστι τὸ λεγόμενον, Ἐμὸν ἀκροατὴν γενέσθαι τῶν συμβεβηκότων, διά τι χρήσιμον, ἀλλὰ Ἀκροατὴν γενέσθαι τῶν συμβεβηκότων, δι᾽ ἐμόν τι χρήσιμον· ὅπερ ἐστὶ καινῶς εἰρημένον ἀντὶ τοῦ, Ἐπὶ τῇ ἐμῇ ὠφελείᾳ ὡς καὶ ἐν τοῖς πρόσθεν (σελ. 31), Κατά τι χρέος ἐμὸν ἴδιον, εἴρηκε· καὶ προϊὼν δὲ (σελ. 277) ἐρεῖ, Ὑπὲρ συνοίσοντος τοῦ ὑμετέρου.

Σελ. 95, στ. 2, Τῶν μνηστευομένων.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Τῷ μνηστευσαμένῳ· παρὰ δὲ τοῖς ἄλλοις, Τῷ μνηστευομένῳ· ἐνδέχεται δὲ καὶ, Τῶν μνηστευσαμένων, πάλαι γεγράφθαι, ὡς ὑπέλαβεν ὁ Κ. — Στ. 3, Συγκατεκλίθη.] Ἐν

ταῖς ΔΑ 124, Συγκατεκλείσθη· οὐδὲ πάνυ τι δῆλον πότερα τῶν γραφῶν εἴη τῆς χειρὸς Ἡλιοδώρου. δόξειε δ' ἂν μᾶλλον εἰκὸς τὸ, Συγκατεκλείσθη, ἀπιδόντι εἰς τὰ ἱστορούμενα περὶ Ὀλυμπιάδος τῆς μητρὸς Ἀλεξάνδρου, ἅπερ ἔοικε πλασάμενος μετενεγκεῖν ἐνταῦθα ὁ Ἡλιόδωρος. φησὶ γὰρ περὶ αὐτῆς ὁ Πλούταρχος (Ἀλεξάνδρ. § 2), « Ἡ μὲν οὖν » νύμφη, πρὸ τῆς νυκτὸς, ᾗ ΣΥΝΕΙΡΧΘΗΣΑΝ εἰς » τὸν θάλαμον, ἔδοξε, βροντῆς γενομένης, ἐμπεσεῖν αὐτῆς » τῇ γαστρὶ κεραυνόν· ἐκ δὲ τῆς πληγῆς πολὺ πῦρ ἀναφθὲν, » εἶτα ῥηγνύμενον εἰς φλόγας πάντη φερομένας διαλυθῆ- » ναι ». — Στ. 8, Παρεπέμπετο.] Ἡμάρτηται τὸ, Παρεγένετο τῶν ΚΑ καὶ ΑΑ. — Στ. 9, Ἐπικήδειον.] Οὕτω γραπτέον· ἀπὸ τοῦ Κηδεύω γὰρ, ὡς Ἐπιτήδειος ἀπὸ τοῦ Ἐπιτηδεύω. Στ. 14, Τοῖς θεολογοῦσιν.] Καὶ τοῖς φιλοσοφοῦσι, νὴ Δία, καὶ ὅλως τοῖς καὶ ὁπωσοῦν φρονοῦσι· « Δεῖ γὰρ (ὥς φησι Πλούταρ- » χος, Κλεομέν. § 31) τὸν αὐθαίρετον θάνατον οὐ φυγὴν εἶναι » πράξεων, ἀλλὰ πρᾶξιν· αἰσχρὸν γὰρ ζῆν μόνοις ἑαυτοῖς » καὶ ἀποθνήσκειν ». — Στ. 17, Μέγα γάρ τι.] Οὕτω κομψότερον μετὰ τοῦ, Τι, αἱ ΔΑ 36. — Στ. 19, Πολλοῖς ἐμπλανηθεὶς τόποις.] ἐξ Ὁμήρου (Ὀδυσσ. Δ, 81),

. . . . ἦ γὰρ πολλὰ παθὼν καὶ ΠΟΛΛ' ΕΠΑΛΗΘΕΙΣ<br>
. . . . . . . . . . . . . . . . . . . . . . ὀγδοάτῳ ἔτει ΗΛΘΟΝ<br>
Κύπρον Φοινίκην τε· καὶ ΑΙΓΥΠΤΙΟΥΣ . . . . . . . . . . .

Στ. 24, Μᾶλλον δὲ ἀληθέστερον.] Ἴσως μετὰ τὸ, Δὲ, παρελείφθη, ὁ, Καὶ, ἀβλεψίᾳ τῶν γραψάντων. ἐνδέχεται δὲ καὶ κατὰ πλεονασμὸν εἰρῆσθαι ἀντὶ τοῦ, Μᾶλλον δὲ ἀληθές· οὗ πλεονασμοῦ παραδείγματα ἔστιν ἀναλέξασθαι καὶ ἐκ τῶν δοκιμωτέρων συγγραφέων.

Σελ. 96, στ. 1, Διατιθεμένῳ τὴν σχολήν.] Προσέθηκα τὸ ἄρθρον, τῆς χρήσεως τοῦτο ἀπαιτούσης· μαρτυρεῖ δέ μου τῇ διορθώσει καὶ αὐτὸς Ἡλιόδωρος λέγων ἐν τοῖς ἑξῆς (σελ. 198), Τὴν σχολὴν διατιθεμένων. — Στ. 8, Ἰδίᾳ φράζειν.] Οὕτω διώρθωκα, ἐκβαλὼν εἰς κόρακας τὸ βάρβαρον, Διαφράζειν. ἐρεῖ δὲ καὶ προϊὼν (σελ. 310), « Ἰδίᾳ δὲ φράζειν βού- » λεσθαι ἀπεκρίνατο ». — Στ. 13, Ἀκραιφνῆ.] Αἱ ΚΑ, Ἀκραιφνή, ὀξυτόνως. αἱ δὲ ΚΑ καὶ ΑΑ, Ἀκραιφνῆς, περισπωμ

μένως καὶ μετὰ τοῦ σ· ὧν ἡμαρτημένων ἁπασῶν, δῆλον ὅτι ἀναγνωστέον Ἀκραιφνῆ· πλὴν εἰ μή τις ἕλοιτο μᾶλλον, πρὸς τὸ Ῥίζας συντάττων, γράφειν, Ἀκραιφνεῖς· ἀλλὰ τότε καὶ τὸ ἑπόμενον, Ταῦτα, εἰς τὸ, Ταύτας, μετατρεπτέον. Στ. 14, Παρέχειν.] Ἐν ταῖς ΑΑ ἐμφέρεται, Παρέργων, γραφὴ τερατώδης μὲν, ἀλλ᾽ οὐ παντάπασι παροπτέα τῷ Κριτικῷ· τὸ γὰρ, Ἕτοιμος παρέργων, ἀδιανόητον ὂν, ὑπονοεῖν ὅμως δίδωσι μήποτε ἡ ἀρχαία γραφὴ ἦν, Ἕτοιμος πάρεργον παρέχειν. ἐμφαίνει δὲ διὰ τούτων ὁ Αἰθίοψ, ὅτι οὐκ ἦν ἀληθῶς ῥιζοτόμος, καὶ τέχνην τὸ πρᾶγμα πεποιημένος· ἀλλ᾽ ἀφιγμένος εἰς Αἴγυπτον ἄλλων ἕνεκα, ὅμως καὶ βοτάνια ταῦτα, εἴτ᾽ ἐξ Αἰθιοπίας, εἴτ᾽ ἀλλοθέν ποθεν ἐπενεγκάμενος, ὁδοῦ πάρεργον πωλεῖν εἶχε. οὕτω γάρ ἐκληπτέον τὸ, Πάρεργον, ἐνταῦθα ἐλλειπτικῶς τε καὶ ἐπιῤῥηματικῶς ἀντὶ τοῦ Κατὰ πάρεργον, ἢ ἐν παρέργου μέρει ἢ χώρᾳ. — Στ. 17, Σαυτῷ.] Ἐκ τῶν ΑΑ. — Στ. 20, Μαργαρίδες.] Ἴσως γραπτέον, Μαργαρίτιδες· λέγεται γὰρ ὁ Μαργαρίτης καὶ ἡ Μαργαρίτις καὶ τὸ Μάργαρον· εὕρηται δὲ καὶ, Μάργαρος, ἀρσενικῶς, καὶ, Μαργαρίδης, εἰ χρὴ πιστεύειν τοῖς λεγομένοις παρὰ τῷ Φωτίῳ (Κώδ. ξγ᾽). αἱ δὲ παρὰ τῷ Πλινίῳ (ΙΓ, δ᾽) Μαργαρίδες, ἀπὸ τοῦ ἑνικοῦ Μαργαρὶς, εἶδός εἰσι φοινίκων. — Στ. 23, Αἳ μὲν οἷα λήϊον.] Ἅπασα ἡ περιγραφὴ τῶν λίθων αὕτη παιδαριώδης τε καὶ σοφισταῖς μᾶλλον ἁρμόζουσα τυγχάνει. φευκτέαι δὲ αἱ τοιουτότροποι ἐκφράσεις τοῖς νέοις, ὡς κῆρες μᾶλλον ἢ κάλλη τῶν λόγων οὖσαι.

Σελ. 97, στ. 2, Ὑποφριττούσης.] Τὴν Ὁμηρικὴν αἰνίττεται φρῖκα (Ἰλιάδ. Η 163),

Οἵη δὲ ζεφύροιο ἐχεύατο πόντον ἔπι φρὶξ
Ὀρνυμένοιο νέον, μελάνει δέ τε πόντος ὑπ᾽ αὐτῆς.

σημαίνει δὲ ἡ Φρὶξ, τὴν ἐξεπιπολῆς πρώτην κίνησιν τῶν κυμάτων, ἡνίκα ἄνεμος ἄρχεται πνεῖν. — Στ. 7, Σχολῇ γοῦν, εἰ καὶ ἑνὸς εἴη.] Οὐκ εὐκρινὲς τοῦτο· ἤρκει γὰρ τὸ μᾶλλον ἐν χρήσει, Σχολῇ γ᾽ ἂν καὶ ἑνὸς εἴη κ. τ. λ. — Στ. 23, Ὠμώμοσθο.] ἐκ τῆς Β καὶ τῶν ΚΑ. — Στ. 24, Παρ᾽ αὐτόν.] Δασυντέον τὸ Αὐτὸν, ἵνα ᾖ, Ἑαυτόν. — Στ. 26, Ἑπταετῆ.] Διαπεφώνηται τοῖς Γραμματικοῖς περὶ τῶν παρὰ τὸ Ἔτος συνθέ-

τῶν, εἴτε βαρυτονεῖν, οἷον Ἑπταέτης, εἴτε ὀξυτονεῖν αὐτὰ χρὴ, οἷον Ἑπταετής, οὗ ἡ αἰτιατικὴ Ἑπταετέα καὶ κατὰ συναίρεσιν Ἑπταετῆ. κρεῖττον δὲ τὸ δεύτερον, πλὴν εἰ μὴ ἐπιῤῥηματικῶς ἐκλαμβάνοιντο, ὡς τὸ Τρίετες καὶ Τετράετες, προπαροξυνόμενα πρὸς ἀντιδιαστολὴν τῶν ἐπιθετικῶς λεγομένων, οἷον Τριετὲς παιδίον, ἢ, δεκτικὰ ὄντα τοῦ ᾱ, τοῦτο ἀποβάλοιεν, ὡς τὸ Ἑξέτης καὶ Ἑπτέτης.

Σελ. 98, στ. 10, Ψυχὴν ἐνανθρωπήσασαν.] Σημειωτέα κἀνταῦθα ἡ λέξις, Ἐνανθρωπήσασαν, ἧς ἡ χρῆσις πολλὴ παρὰ τοῖς Ἐκκλησιαστικοῖς Πατράσιν. ἐγκατέμιξε δὲ Ἡλιόδωρος τῷ Χριστιανῶν δόγματι, ἐπὶ μόνου τοῦ ἐνανθρωπήσαντος υἱοῦ τοῦ θεοῦ χρωμένων τῇ λέξει, τὴν Πυθαγορικὴν μετεμψύχωσιν καὶ προΰπαρξιν τῶν ψυχῶν, ἀπὸ τῶν παρ' Ἰνδοῖς καὶ Αἰθίοψι Γυμνοσοφιστῶν, καὶ αὐτῶν τῶν παρ' Αἰγυπτίοις ἱερέων τὴν ἀρχὴν λαβοῦσαν· ὁ γὰρ τὴν κόρην τῷ Χαρικλεῖ ἐγχειρίζων αὐτὸς ἦν ὁ Γυμνοσοφιστὴς Σισιμίθρης, ὡς προϊοῦσι (σελ. 405.) γενήσεται δῆλον. — Στ. 12, Χρόνοις ὀλίγῳ πρόσθεν.] Ἴσως γραπτέον, Χρόνοις ὀλίγοις πρόσθεν· φιλεῖ γὰρ ἐν τοῖς τοιούτοις τὸ τοῦ ποσοῦ δηλωτικὸν ὄνομα ὁμοιοπτώτως πρὸς τὸ χρόνον δηλοῦν συντάττεσθαι, οἷον, « Οὐ πολλοῖς ὕστερον ἔτεσιν (σελ. 87). διὰ τοῦτο δὲ ἴσως καὶ ὁ Μαπποσκορακιστέον ὑπέλαβεν ἐνταῦθα τὸ, Χρόνοις, ὡς πλεονάζον. ἀλλ' ὅμως οὐ μετακινητέον τὴν γραφήν· ὥσπερ γὰρ « Ἐν τοῖς παρελθοῦσι χρόνοις » εἴρηκέ που Ἰσοκράτης, οὐκ ἀπεικὸς καὶ, Χρόνοις ὀλίγῳ πρόσθεν, φάναι, ὑπονοουμένου δηλονότι τοῦ, Παρελθοῦσιν. ἐνδέχεται δέ καὶ ἐπὶ τῆς σημασίας τοῦ, Ἔτεσι, τῷ, Χρόνοις, ἐνταῦθα κεχρῆσθαι τὸν Ἡλιόδωρον, κατακολουθήσαντα τῇ συνηθείᾳ. ταύτης δὲ τῆς σημασίας καὶ κατ' αὐτὸν ἤδη τὸν Ἀμμώνιον (λεξ. Καιρὸς), καὶ ἔτι πρότερόν ἐστιν εὑρεῖν παραδείγματα. — Στ. 18, Διηγήματι.] Ἐν ταῖς ΑΑ, Διηγήμασι. Στ. 23, Ἐμαυτοῦ.] Οὕτως ἐν ἅπασιν· ἐν δὲ τῇ Β, Ἑαυτοῦ, οὐδ' αὐτὸ κακῶς εἰρημένον, ὡς ἐν τοῖς πρόσθεν (σελ. 45) σεσημείωται. — Στ. 24, Τὰ συνεκτεθέντα κατεῖχον.] Τοῦτο περιττόν· τίς γὰρ ποιμέσιν ὅρμους πολυτελεῖς καταπιστεύει; — Στ. 26, Γενέσθαι δι' αὐτὰ τῇ κόρῃ.] Αἱ ΚΑ, Γενέσθαι τῇ κόρῃ δι' αὐτά. διώρθωκα τῇ μεταθέσει, διὰ τὸ εὐσημότερον.

Σελ. 99, σ7. 5. Μὴ φωτισθείη.] Ἐν τῇ Β, Μή τι φωτισθείη, ἐξ ὀρθοτέρας ἴσως ἄλλης γραφῆς τῆς, Μή πῃ φωτισθείη. — Στ. 6, Αὐτή.] Προειλόμην τὴν ἀναφορικὴν ἀντωνυμίαν τῆς δεικτικῆς. — Στ. 14, Ἦ μήν.] Οὕτως αἱ ΔΑ 681· τὴν ὀρθὴν δὲ ταύτην γραφὴν ὑπετόπασε καὶ ὁ Κ, ἀλλ' οὐ κατεχώρισεν εἰς τὸ κείμενον, ἀτόλμως πάνυ. — Στ. 15 Ἐκδώσειν κ. τ. λ.] Ἡμαρτῆσθαι τὸ χωρίον ἐν πάσαις ταῖς πρόσθεν ἐκδόσεσι γεγραμμένον οὕτως, Ἐκδώσειν ταύτην, ἣν δὴ καὶ αὐτὸς κομίζῃ κ. τ. λ., δείκνυσι μὲν καὶ ἡ εἰς οὐδὲν χρήσιμος ἐπανάληψις τοῦ, Ταύτην, δείκνυσι δὲ καὶ τὸ ἐπιφερόμενον, Συνεκθεμένης, ἀπαιτοῦν πάντως τὸ, Ταινίαν, ὡς ἐν τοῖς ἑξῆς (σελ. 335), ἢ ἄλλο τι τοιοῦτον ὄνομα. ὅθεν παρενείρας ἐξ εἰκασίας τὰ βραχέα ταῦτα ῥήματα, Συνεκδώσειν δὲ καὶ ταινίαν, διώρθωκα τὸ χωρίον· οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις ἐνέτυχον ταῖς Βερνάρδου τοῦ Ἰατροῦ εἰς τὴν Νόννου Σύνοψιν τῆς Ἰατρικῆς σημειώσεσι (Τομ. Β, σελ. 189), ἐν αἷς οὕτω διωρθοῦτο τὸ προκείμενον χωρίον, Ἐκδώσειν· δώσειν καὶ ταινίαν, ἣν δὴ κ. τ. λ. μακρὰ χαίρειν φράσας τῷ δευτέρῳ, Ταύτην. ὁ αὐτὸς δὲ Βερνάρδος τὴν αὐτὴν ταύτην διόρθωσιν φθὰς προϋγεγράφει ἐν τοῖς Πρακτικοῖς τῆς ἐν τῇ Ῥηνοπεραίᾳ (*Utrecht*) τῶν τεχνῶν τε καὶ τῶν ἐπιστημῶν Ἑταιρείας (Τομ. Α. σελ. 203) οὕτως, Ἐκδώσειν· δώσειν καὶ τὴν ταινίαν, ἣν δὴ κ. τ. λ. — Στ. 17, Συνεκθεμένης.] Οὕτω, μετὰ τῆς προθέσεως, ἡ Β καὶ αἱ ΚΑ. — Στ. 19, Ὡμιλημένα.] Ὡς καὶ ἐν τῇ κοινῇ συνηθείᾳ. — Στ. 23, Μυηθήσῃ.] Ἅπαντες οὕτω ἐκ τῆς Β· καθάπερ καὶ ἐν τοῖς πρόσθεν (σελ. 86), « Μυηθῆναι τὴν ἀφήγησιν » εἶπεν. αἱ δὲ ΚΑ, Μαθήσῃ, ὅπερ ἐπίσης ἂν ἔῤῥωτο, εἰ μὴ πιθανὸν ἦν παίξαντά πως πρὸς τὸ, Νεών, Μυηθήσῃ, εἰπεῖν τὸν Ἡλιόδωρον· ἐν γὰρ τοῖς ναοῖς αἱ μυήσεις καὶ τὰ μυστήρια. τὸ δὲ ἐχόμενον, Τῆς Ἴσιδος, συμβῆναι μὲν ταῦτα κατὰ τὴν Μέμφιν ἐμφαίνει, ὡς δῆλον ἔκ τε τῶν πρόσθεν εἰρημένων (σελ. 31) καὶ τοῦ τὴν Μέμφιν, βασίλειον οὖσαν πάλαι τῶν Αἰγυπτιακῶν βασιλέων, εἰς κατοίκησιν τοῖς παρὰ βασιλέως Περσῶν πεμπομένοις σατράπαις ἀποκεκληρῶσθαι (σελ. 254)· ἀλλ' ὅμως οὐ πάνυ τι συνᾴδει τοῖς ἑξῆς ῥηθησομένοις (σελ. 101 καὶ 405), ὡς προϊοῦσι γενήσεται δῆλον.

Σελ.

Σελ. 100, σῖ. 3, Ὁμολογῶν.] Ἀρσενικῶς καὶ μετοχικῶς καὶ ΚΑ. κακῶς δὲ ἔστικται παρ' ἐμοὶ τὸ χωρίον ἀβλεψίᾳ τῶν τυπογράφων. γράφε οὖν, « Φιλοφρονούμενος, καὶ πολλὴν τοῖς » θεοῖς ὁμολογῶν χάριν· αὐτόθεν τε κ. τ. λ. ». τὸ δὲ, Ὁμολογοῦν, ὑπονοεῖν ἔδωκε τῷ Κ, μήποτε ἐγέγραπτο, Ὡμολόγουν; ὅπερ καὶ ὁ Α ἀναγνῶναι δοκεῖ. εἰ οὖν προαιρῇ τοῦτο, ἔα κατὰ χώραν τὴν στίξιν. — Στ. 10, Εἴτις ἑώρα.] Σημειῶσαι τὸν παρατατικὸν τοῦ, Ὁράω, ἀντὶ τοῦ ἀχρήστου ἀορίστου, Ἑώρασα, ἢ γοῦν τοῦ παρακειμένου, Ἑώρακα, τεθειμένον. πολὺ δὲ τοῦτο παρὰ τοῖς Ἀττικοῖς· αὐτίκα Ἀριστοφάνης (Νεφέλ. 767);

> Ἤδη παρὰ τοῖσι φαρμακοπώλαις τὴν λίθον
> Ταύτην ἑώρας . . . . . . . . . . . . . . . . . . . . ;

εἴρηκεν ἀντὶ τοῦ, Εἶδες, ἢ, Ἑώρακας. — Στ. 14, Ὅτι, ἔφη ὁ ἀπαγγέλλων, ἐπέταττεν. κ. τ. λ.] Τοῦτο ἀδιανόητον ἦν τῇ κακῇ στίξει. διώρθωκα οὖν στίξας μετὰ τὸ, Ἀπαγγέλλων. δῆλον δὲ καὶ ἐκ τῶν προηγησαμένων, Καί μοί τις ἀπήγγελλεν. ἔστιν οὖν ὁ νοῦς, Ὁ ἀπαγγέλλων τῷ Χαρικλεῖ ταῦτα ἔφη, ὅτι ὁ πρεσβευτὴς τῶν Αἰθιόπων ἐπέταττεν κ. τ. λ. ὁ δὲ Λ καὶ ὁ Α κακῶς τὸ, Ἀπαγγέλλων, αὐτῷ τῷ πρεσβευτῇ ἀπέδωκαν.

Σελ. 101, σῖ. 3, Σκυλάκων.] Σκύλακες, τὰ νεογνὰ τῶν κυνῶν. ἐνταῦθα δὲ οἱ Κύνες ἁπλῶς, ὡς καὶ παρὰ τῷ Ξενοφῶντι. ἐκ τούτου τὸ ἐν τῇ συνηθείᾳ Σκυλάκιον, ὃ καὶ Σκυλίον φαμέν. τοῦτο δὲ ἀπὸ τοῦ Σκύλος ἀρσενικοῦ, ὃ ἡ μὲν συνήθεια ἐπὶ κυνὸς ἁπλῶς, ἡ δὲ ἀρχαία χρῆσις, ὥς φησιν ὁ Ἐτυμολόγος (σελ. 720), ἐπὶ κυνὸς νεογνοῦ κυρίως τέταχεν. Ἡσύχιος δὲ καὶ τὴν κύνα Σκύλλον εἰρῆσθαι φησί. δῆλον δὲ τοῦτο οὐ μόνον ἀπὸ τοῦ παραγώγου Σκύλαξ, ἀλλὰ καὶ ἀπὸ τῆς ἐν τῷ Τυῤῥηνικῷ πελάγει Σκύλης, οὕτω δηλονότι κληθείσης, διὰ τὸ ἑκατέρωθεν κυνῶν κεφαλὰς ἔχειν. καὶ ὁ μὲν Σκύλαξ δι' ἑνὸς ἀεὶ, ὁ δὲ Σκύλος, ὡς ἐπὶ τὸ πολὺ διὰ δύο λ εὕρηται γεγραμμένος. — Στ. 7, Τοῖς Καταδούποις.] Ἀπᾴδει τοῦτο τὰ μάλιστα τῆς γεωγραφικῆς ἀκριβείας· εἰ γὰρ κατὰ τὴν Μέμφιν ἐντυχεῖν τὸν Χαρικλέα τῷ τῶν Αἰθιόπων πρεσβευτῇ φθὰς ἡμῖν ὁ λόγος ἐδήλωσε (σελ. 104), πῶς νῦν ἐνδιατρίβοντα λέγει

τοῖς Κααδούποις πολὺ πρὸς μεσημβρίαν ἀπέχουσι τῆς Μέμφεως; — Στ. 11, Παῖς μόνη.] Τρέψαντες τὸ ἀνανταπόδοτον Μὲν, εἰς τὸ, Μόνη, ἰασάμεθα τὸ προστριβὲν ὑπὸ τῶν ἀντιγραφέων ἕλκος τῷ λόγῳ. ἀπόδειξις δὲ τῆς θεραπείας ἔστω τὸ παράλληλον χωρίον τουτὶ, « Ἐπὶ μόνῳ μοι παιδὶ σαλεύειν » (σελ. 14), — Στ. 15, Ἔρνος κ. τ. λ.] Ἐξ Ὁμήρου (Ἰλιάδ. Σ. 436),

Υἱὸν ἐπεί μοι δῶκε γενέσθαι τε τραφέμεν τε,
Ἔξοχον ἡρώων, ὁ δ' ΑΝΕΔΡΑΜΕΝ ΕΡΝΕΙ ἶσος.

τὸ δὲ, Εὐθαλῶν, καὶ αὐτὸ ἀπὸ τοῦ Ὁμηρικοῦ (Ἰλιάδ. Ρ, 53), Ἔρνος ἐριθηλὲς, ὡσαύτως παρῴδηται. κυρίως δὲ τὸ Ἔρνος κλάδον ἢ κλῶνα φυτοῦ σημαῖνον, οὐκ ἀκόμψως μετηνέχθη ἐπὶ τὰ τεκνούμενα. πολλὴ δὲ ἡ τοιαύτη μεταφορὰ καὶ παρ' Εὐριπίδῃ· ὃς καὶ τῷ συνωνύμῳ, Πτόρθος, ἐχρήσατο (Ἑκάβ. 20). καὶ ὁ χαριέστατος δὲ Ἀριστοφάνης, Κύπριδος ἔρνος, ἐκάλεσέ που (Ἐκκλησ. 973) τῶν ἐρωμένων τινὰ, ὅ ἐστι, Κύπριδος τέκνον. ἐντεῦθεν ἡ κοινὴ συνήθεια παραλαβοῦσα, Κλωναράκια ὀνομάζει τὰ τέκνα, ὡς ὅταν λέγῃ, « Νὰ χαρῇς τὰ κλωναράκιάσου », ὅπερ εἴποις ἂν ἐξελληνίσαι βουλόμενος, « Ὄναιο τῶν σῶν ἐρνῶν ». — Στ. 19, Νεῶν.] Ἀττικῶς, ἀπὸ τῶν ΑΑ. — Στ. 23, Παρθενεύειν.] Ἐν ταῖς ΑΑ, Παρθενεύειν μοι. — Στ. 24, Ζάκορον.] Λέγεται μὲν Ζάκορος καὶ ὁ νεωκόρος, ἤτοι ὁ τὸν ναὸν κορῶν, ὅ ἐστι σαίρων· σημαίνει δὲ καὶ τὸν ἱερέα ἢ τὴν ἱέρειαν, ὡς ἐνταῦθα, ἣν Ἡρόδοτος καὶ Ὑποζάκορον ὀνομάζει (ϛ, ρλδ'). Ἴσως δὲ ἐπὶ τῶν ἱερειῶν τῆς Ἀφροδίτης τεθὲν πρῶτον τοὔνομα, μετηνέχθη ὕστερον καὶ ἐπὶ τὰς λοιπὰς ἱερείας· ἦν γὰρ καὶ Ζακορία τις οὕτω λεγομένη θυσία Ἀφροδίτης, ὥς φησιν Ἡσύχιος. ὅτι δὲ παρθενίαν ἀσκεῖν ἔδει τοὺς Ἀρτέμιδι καθωσιωμένους, δηλοῖ ὁ παρ' Εὐριπίδῃ Ἱππόλυτος, ἡ Ἀταλάντη (Αἰλιαν. Ποίκιλ. ἱστορ. ΙΓ, ά.), καὶ ἡ Καλλιστὼ, σύνθηρος οὖσα τῇ θεᾷ, ἔπειτα κατατοξευθεῖσα ὑπ' αὐτῆς, ὅτι τὴν παρθενίαν οὐκ ἐφύλαξεν, ὡς παραδέδοται ἐν τοῖς Ἀπολλοδώρου (Γ, θ'.).

Σελ. 102, στ. 11, Ἀδιάφθορον.] Ἐν τῇ Β, Ἄφθορτον. σημειωτέα δὲ ἡ ἐπισώρευσις τῶν ἐπιθέτων τῆς παρθενίας, Ἐπισκόπῳ Χριστιανῷ πρέπουσα, καὶ τοιούτῳ οἷος ἦν Ἡλιο-

ρος, ἀπαρεσκόμενος τῷ τῶν ἱερατευόντων γάμῳ, ὡς εἴρηκα φθὰς ἐν τῇ πρὸς τὸν Ἀλέξανδρον ἐπιστολῇ. — Στ. 13, Βοηθόν.] Ἡ Β, Βοηθεῖν. — Στ. 17, Ὦ 'γαθέ.] Ἐν ταῖς ΚΑ, Ὦ καλέ. — Στ. 24, Ἱκέτην ... μὴ παρίδῃς με.] Οὕτως αἱ ΑΑ.

Σελ. 103, στ. 8, Αἰνιάνων.] Ἐνταῦθά τε καὶ ἐν τοῖς ἑξῆς μονοφθόγγως ἔγραψα τοὺς Αἰνιᾶνας, πάντων τῶν πρὸ ἐμοῦ διφθογγογραφησάντων· οὕτω γὰρ ἐκλήθησαν ἀπὸ τῆς Αἰνίας πόλεως τῶν Περραιβῶν. — Στ. 11, Καὶ τίς ἡ θεωρία.] Ἔτρεψα τὸν, Ἢ, εἰς τὸν Καὶ, τοῦ νοῦ τῶν λεγομένων ὑπαγορεύοντος τὴν διόρθωσιν· περὶ ἑκατέρου γὰρ ἐν μέρει ἐρωτᾷ τῶν τε Αἰνιάνων καὶ τῆς θυσίας, οὐ περὶ θατέρου μόνον. τοῦτον δὲ τὸν νοῦν ἐξέφρασαν ὅ τε Λ καὶ ὁ Α. οἱ δὲ Αἰνιᾶνες, Ἐνιῆνες καλοῦνται ὑφ' Ὁμήρου, ᾧ κατηκολούθησε καὶ Ἡρόδοτος. οὗτοι περὶ τὸ Δώτιον, ὥς φησι Πλούταρχος (Κεφαλ. καταγρ. Ἑλλην. § 13 καὶ 26), πρῶτον οἰκοῦντες, ἐξέπεσον ὑπὸ Λαπιθῶν εἰς Αἴθικας· εἶτα περὶ τὴν Μολοσσίδα καὶ Κασσιοπαίαν ᾤκησαν· ἔπειτα εἰς τὸ Κιῤῥαῖον πεδίον ἧκον, ἔνθεν πάλιν πλανηθέντες, εἰς τὴν περὶ τὸν Ἴναχον χώραν κατέβησαν. Στράβων δὲ τῶν μεταναστάσεων τῶν Αἰνιάνων μνημονεύσας, (Α, σελ. 61) Αἰτωλοῖς ὁμόρους ἐπ' αὐτοῦ φησὶ γεγονέναι τοὺς Αἰνιᾶνας, καίπερ ἐν ἄλλοις (Θ. σελ. 427) ἐξεφθάρθαι αὐτοὺς τέλεον ὑπὸ Αἰτωλῶν καὶ Ἀκαρνάνων φήσας. — Στ, 15, Μαλιακῷ κόλπῳ.] Ὃς τανῦν κοινῶς λέγεται, Κόλπος τοῦ Ζητουνίου. — Στ. 16, Ὑπάταν.] Δωρικῶς ἀντὶ τοῦ Ὑπάτην, οὗ ὀνόματος μέμνηται καὶ ὁ τὰ Ἐθνικὰ συγγράψας Στέφανος. εὕρηται δὲ καὶ, τὰ Ὕπατα οὐδετέρως παρὰ Λουκιανῷ, κατ' ἀρχὰς τοῦ ἐπιγραφομένου, Λούκιος ἢ ὄνος, συντάγματος. μετωνομάσθη ἔπειτα Νέαι Πάτραι· καλεῖται δὲ τανῦν χυδαιοτουρκικῶς, Πατραντζίκι, ὡς φησὶν ὁ Μελέτιος. Στ. 19, Ἡ δὲ θυσία καὶ ἡ θεωρία.] Περὶ ταύτης τῆς συντάξεως εἴρηται ἐν τοῖς πρόσθεν (σελ. 2), τοιοῦτον καὶ τὸ ἑξῆς (σελ. 140) « Τὸ δὲ ὅπου παραπεμπτέον αὐτοὺς, μίαν μόνην λύσιν » εὕρισκον ». τὸ δὲ, Τετραετηρίδα κ. τ. λ. ὅμοιον τῷ παρὰ τῷ Θουκυδίδῃ (Γ, ρδ'.), « Καὶ τὴν πεντετηρίδα τότε πρῶτον » μετὰ τὴν κάθαρσιν ἐποίησαν οἱ Ἀθηναῖοι τὰ Δήλια ». —

Στ. 21, Νεοπτολέμῳ.] Οὗτος Πύῤῥος ἐκαλεῖτο τὸ πρότερον· καὶ ἔγημε, χηρεύσασαν τἀνδρὸς Ἕκτορος, τὴν Ἀνδρομάχην. ἔπειτα παραγενόμενος εἰς Δελφοὺς ἐπὶ τῷ ἐξιλάσασθαι τὴν κατ᾽ αὐτοῦ μῆνιν τοῦ Ἀπόλλωνος, ἀναιρεῖται. ἐσώζετο δὲ τάφος αὐτοῦ ἐν Δελφοῖς ἐξελθόντι τοῦ ναοῦ ἐν ἀριστερᾷ· καὶ ἐνήγιζον αὐτῷ κατ᾽ ἔτος, ὥς φησι Παυσανίας ἐν τοῖς Φωκικοῖς. Στ. 22, Ἐδολοφονήθη ... ὑπ᾽ Ὀρέστου τοῦ Ἀγαμέμνονος.] Διαπεφώνηται τὰ περὶ τῆς τελευτῆς τοῦ Νεοπτολέμου. ὅτι μὲν γὰρ ἐν Δελφοῖς ἀνῃρέθη, σχεδὸν ἅπαντες ὁμολογοῦσι· τὸν δ᾽ ἀνελόντα, οἱ μέν φασι, Μαχαιρέα, ἄνδρα Δελφὸν, οἱ δὲ, Ὀρέστην τὸν Ἀγαμέμνονος. ἀλλ᾽ ὅμως οὐ χαλεπὸν συμβιβάσαι ταῦτα, εἰ Μαχαιρέως μὲν αὐτοχειρίᾳ, Ὀρέστου δὲ προτροπῇ τε καὶ μηχαναῖς εἰργάσθαι τὸν φόνον φήσαιμεν. ἔοικε δὲ καὶ Εὐριπίδης τοῦτο βούλεσθαι ἐν οἷς (Ἀνδρομάχ. 1115) εἰπὼν περὶ τοῦ Ὀρέστου,

> ........Ὧν Κλυταιμνήστρας τόκος
> Εἷς ἦν ἁπάντων τῶνδε μηχανοῤῥάφος,

ἐπάγει μετ᾽ ὀλίγα (1150) περὶ τοῦ πεσόντος Νεοπτολέμου,

> ................Φασγάνῳ τυπεὶς
> Δελφοῦ πρὸς ἀνδρὸς ὅσπερ αὐτὸν ὤλεσε
> Πολλῶν μετ᾽ ἄλλων..........

καὶ περὶ τῆς αἰτίας δὲ, δι᾽ ἣν εἰς Δελφοὺς παρεγεγόνει Νεοπτόλεμος, ἄλλοι ἄλλα ἱστορήκασι.

Σελ. 104, στ. 4, Αἰνιάνων γένους τυγχάνων.] Οὕτω παρεμυθησάμεθα τὴν γραφὴν εἰς τὴν γενικὴν τρέψαντες τὸ, Γένος, ὡς καὶ ἐν τοῖς ἑξῆς (σελ. 314) εὑρήσομεν λέγοντα τὸν Ἡλιόδωρον, Γένους ὄντες τῶν ἐπὶ δόξης. ἔστι δὲ τοῦτο καὶ παρὰ Ξενοφῶντι (Ἑλληνικ. Δ, σελ. 301) καὶ πλείστοις ἄλλοις εὑρεῖν. εἰ δὲ βούλει πάντως σώζειν τὴν αἰτιατικὴν, τηνικαῦτα γραπτέον, Αἰνιάνων γένος, ἀπαλείψαντα τὸ, Τυγχάνων, ὡς οὐδὲν ἄλλ᾽ ἢ διάφορον οὖσαν ἀνάγνωσιν τοῦ, Ὧν, ἢ, Αἰνιὰν γένος τυγχάνων, δίχα τοῦ, Ὧν. εἴρηκε γὰρ καὶ ἐν τοῖς πρόσθεν (σελ. 36), Γένος μὲν ἐσμὲν Ἴωνες· ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (σελ. 441), Θετταλὸς ὢν τὸ γένος. — Στ. 8, Αἰνιᾶνα εἶναι.] Τὰς δύο ταύτας λέξεις σολοίκως ἁπαξαπάντων τῶν πρὸ ἐμοῦ εἰς μίαν

τὴν, Αἰνειᾶναι, συγκερασάντων, ἀπεκατεστήσαμεν διακρίναντες εἰς τὸ ἀρχαῖον· εἰ γὰρ ἐβούλετο Ἡλιόδωρος τῷ πληθυντικῷ χρήσασθαι, εἶπεν ἂν οὐκ, Αἰνειᾶναι, ἀλλ', Αἰνιᾶνες, ἢ γοῦν, Αἰνιεῖς· τὸ γὰρ ἐθνικὸν, Αἰνιάν, ἐστιν, ἢ, Αἰνιεὺς, καὶ οὐκ, Αἰνιάνης. καὶ ἄλλως δὲ τὸ ἑνικὸν, Διαγωνίζεται, οὐκ ἔῤῥωται τῷ πληθυντικῷ συναπτόμενον. γραπτέον τοίνυν, Καὶ ὁλοσχερῶς Αἰνιᾶνα εἶναι τὸν ἥρωα διαγωνίζεται· καὶ ἔσται τηνικαῦτα πρόδηλος ὁ νοῦς τῶν λεγομένων. — Στ. 14, Εἰς Μενέσθιον ... ἀναφέρων.] Προσέθηκα τὴν πρόθεσιν, Εἰς, μετατρέψας καὶ τὸ Καταφέρων εἰς τὸ Ἀναφέρων, τοῦτο πάντως ὑπαγορεύοντος τοῦ Ἑλληνισμοῦ· καὶ γὰρ, Ἀναφέρειν εἴς τινα, οὐκ Ἀναφέρειν, ἢ Καταφέρειν τινά, φασὶν, ὅτε περὶ συγγενείας ὁ λόγος ἐστί. ἐρεῖ δὲ καὶ αὐτὸς Ἡλιόδωρος προϊὼν (σελ. 141) περὶ αὐτοῦ τούτου τοῦ Θεαγένους, «Ἀναφέρει δ' ἑαυτὸν εἰς »Ἀχιλλέα πρόγονον», καὶ (σελ. 150) «Πρὸς τοὺς φύλας ανα» φέρον». εἰ δὲ δεῖ καὶ παραδειγμάτων ἀλλοτρίων, πρόχειρον τὸ τῷ Πλουτάρχῳ (ἐν Κίμωνι, § 4.) περὶ Θουκυδίδου εἰρημένον, «Ὀλόρου τε πατρὸς ἦν, εἰς τὸν πρόγονον ἀναφέ» ροντος τὴν ὁμωνυμίαν». καὶ ταῦτα μὲν περὶ τῆς γραφῆς· ἔοικε δέ πως Ἡλιόδωρος ἐνταῦθα προσεικάζειν βούλεσθαι τὸν πρωταγωνιστὴν τοῦ δράματος Θεαγένην Ἀλεξάνδρῳ τῷ μεγάλῳ· κἀκεῖνον γὰρ Αἰακίδην γεγονέναι πρὸς μητρὸς ἀπὸ Νεοπτολέμου, πεπιστεῦσθαι φησὶν ὁ Πλούταρχος (ἐν Ἀλεξανδρ. § 2). ἡ δὲ τοῦ Μενεσθίου γενεαλογία ἐξ Ὁμήρου (Ἰλιάδ. Π, 173) εἴληπται.

.........Μενέσθιος αἰολοθώρηξ,
Υἱὸς Σπερχειοῖο διϊπετέος ποταμοῖο·
Τὸν τέκε Πηλῆος θυγάτηρ καλὴ Πολυδώρη
Σπερχειῷ ἀκάμαντι, γυνὴ θεῷ εὐνηθεῖσα·
Αὐτὰρ ἐπίκλησιν Βώρῳ Περιήρεος υἱϊ.

ἔστι δὲ καὶ ἑτέρα Πολυδώρα Δαναοῦ, ποταμῷ καὶ αὐτὴ, τῷ Πηνειῷ, μιγεῖσα, ὡς φησὶν ὁ σχολιάσας τὰ Ἀπολλωνίου Ἀργοναυτικά (Α, 1212.). — Στ. 20, Αὐτόν.] Οἱ πρὸ ἐμοῦ, Αὐτὸν, ψιλῶς.

Σελ. 105, στ. 9, Ἐν ἐπαγγελίᾳ.] Διέστειλα τὴν πρόθεσιν, κακῶς τῶν πρὸ ἐμοῦ συναψάντων, καὶ ὀνομαστικῶς τὴν δοτικὴν

ἐξενεγκόντων. ἔστι δὲ Ῥὶς ἐν ἐπαγγελίᾳ θυμοῦ, ἡ Θυμὸν ἐπαγγελλομένη, ἡ Θυμὸν πνέουσα ῥίς. μετενήνεκται δὲ ἐκ τῶν Ὁμήρου (Ὀδυσσ. Ω, 317),

Τοῦ δ' ὠρίνετο θυμὸς, ἀνὰ ῥῖνας δέ οἱ ἤδη
Δριμὺ μένος προὔτυψε............

Στ. 12, Σοβαρόν τε.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 24, Συνεφῆπτο.] Αἱ ΚΑ καὶ ΑΑ, Συνεφήπτετο. — Στ. 25, Εἴ τί ποτε.] Οὐ πάνυ τι ἐῤῥῶσθαι δοκεῖ τὰ τοῦ χωρίου. ἴσως ἀβλεψίᾳ τῶν ἀντιγραψάντων ἐξέπεσεν ἡ λέξις, Διαπορήσειεν, ἵνα ᾖ τὸ ἀκέραιον, Λόγων ἱερῶν, εἴ τί ποτε διαπορήσειεν, ἐπύθετο· περὶ γὰρ τῆς αὐτῆς Χαρικλείας προϊὼν (σελ. 118) ἐρεῖ σχεδὸν αὐτὰ ταῦτα, «Περὶ θείων τε καὶ ἀνθρωπίνων, » εἴ τί ποτε διαπορήσειεν, ἠρώτησέ τε καὶ ἔμαθε».

Σελ. 106, στ. 3, Παρεσκεύαστο.] Τυπογραφικὸν ἁμάρτημα τὸ τοῦ Κ, Παρασκεύαστο. — Στ. 10, Οἱ νηόν.] Προτακτικῶς οἱ πρὸ ἡμῶν, Οἱ νηόν. — Στ. 11, Ἵξοντ' ἠελίου.] Ἀντέβαλον τοῦτο τῷ, Ἥξοντ' ἠελίου, ὡς ποιητικώτερον ὂν τὸ, Ἵκω, τοῦ, Ἥκω. δείκνυται δὲ καὶ ἐξ ἑτέρου παραλλήλου χωρίου (σελ. 446). ὁ δὲ νοῦς τοῦ ὅλου χρησμοῦ οὗτός ἐστιν· Ὦ Δελφοὶ κατανοήσατε τὴν ἔχουσαν ἐν τῷ πρώτῳ μέρει τοῦ ἰδίου ὀνόματος ΧΑ΄ΡΙΝ, ἐν δὲ τῷ τελευταίῳ, ΚΛΕ΄ΟΣ, τουτέστι τὴν Χαρίκλειαν, πρὸς δὲ καὶ τὸν ΘΕΑ͂Σ ΓΕΝΕ΄ΤΗΝ, ἤγουν τὸν Θεαγένην, οἱ, λιπόντες τὸν ἐμὸν ναὸν, καὶ περαιωθέντες τὴν θάλασσαν ἐλεύσονται πρὸς τὴν κυανῆν χθόνα τοῦ Ἡλίου, δηλονότι τὴν Αἰθιοπίαν, ὅπου ἐξάψονται καὶ ἀναδήσονται ἐπὶ κροτάφων τὸ λευκὸν στέμμα τῶν μελαινομένων, ἤγουν τὸ στέμμα, ᾧ τέως ἀνεδέδηντο οἱ μέλανες τῆς Χαρικλείας γονεῖς. λήψονται δὲ τοῦτο ὡς ἔπαθλον τῶν ἀρίστως βιωσάντων, διὰ τὴν αὐτῶν σωφροσύνην. Θεᾶς δὲ γενέτην εἶπεν ἀντὶ τοῦ υἱὸν, ἢ ἔκγονον, Εὐριπίδῃ (Ἴων. 915.) κατακολουθήσας, καὶ Σοφοκλεῖ (Οἰδίπ. Τυράνν. 470), οἳ τῷ Γενέτης ἐπὶ τοῦ ἐκγόνου ἐχρήσαντο. συνέχεε δέ πως τὰ περὶ τὴν γενεαλογίαν, τῆς Πολυδώρας ἀδελφῆς οὔσης ὁμοπατρίου τῷ Ἀχιλλεῖ ἀλλ' οὐ καὶ ὁμομητρίου· τὸν μὲν γὰρ ἐκ Θέτιδος τῷ Πηλεῖ γεννηθέντα, οὐκ ἀπεικότως καὶ Θεᾶς ἔκγονον αὐτόν τε καὶ τοὺς ἀπ' αὐτοῦ τις φήσειε· Πολυδώρας δὲ Ἀντιγόνη τῇ

Εὐρυτίωνος τεχθείσης, ὥς φησὶν Ἀπολλόδωρος (Γ, ιγ'.), πῶς ἂν οἱ ἀπ' αὐτῆς θεᾶς ἔκγονοι λέγοιντο; πλὴν εἰ μή τις τὸν ἄνδρα αὐτῆς τὸν Σπερχειὸν προφέροιτο θεὸν ὄντα· ἀλλὰ τότε οὐ θεᾶς, ἀλλὰ θεοῦ ἔκγονον φατέον ἦν τὸν Θεαγένην. καὶ τὸ, Μελαινομένων δὲ, ἀντὶ τοῦ, Μελάνων, οὐ πάνυ τι κυριολεκτικῶς εἴρηται. τοῦτο δὲ ὡς ἐπιθετικὸν πρὸς τὸ, Κροτάφων, καὶ Κτητικὸν πρὸς τὸν Θεαγένην καὶ τὴν Χαρίκλειαν (λευκοὺς ὄντας αμφοτέρους) κακῶς ἐξεδέξατο ὁ Λ· φησὶ γὰρ,

Temporibus fuscis candida serta gerent.

παραπλησίως ἐξέφρασε τοῦ χωρίου τὸν νοῦν καὶ ὁ Ἰταλὸς τοῦ Ἡλιοδώρου μεταφραστής· λέγει γὰρ καὶ αὐτὸς, κατὰ τὰ ἐπεσταλμένα μοι παρὰ τοῦ φίλου Ἀλεξάνδρου,

Di bianca benda le loro nere tempie.

καὶ ὁ Α δὲ, ἐπιθετικῶς καὶ κτητικῶς πρὸς τοὺς νέους καὶ αὐτὸς, παρεξηγούμενος μέντοι τὸ, Μελαινομένων, καὶ παρεκτρέπων εἰς τὸ, Καλλυνομένων, ἢ, Καλῶν,

Car leurs beaux chefz tous deux de blanche enceinte
Ils y auront à la fin coronnez.

δύναται μὲν οὖν καὶ ἐπιθετικῶς πρὸς τὸ Κροτάφων ἀναφέρεσθαι τὸ, Μελαινομένων· ἀλλὰ τηνικαῦτα τρεπτέον τὴν πρόθεσιν, γράφοντας,

Λευκὸν ἀπὸ κροτάφων στέμμα μελαινομένων.

ἵνα ᾖ ὁ νοῦς, Ἐξάψονται στέμμα λευκὸν ἀπὸ κροτάφων (τοῦ Ὑδάσπου δηλονότι καὶ τῆς Περσίνης) μελάνων, τῶν τέως αὐτὸ φερόντων. καὶ συνᾴδει πως ταῦτα τοῖς ἐπὶ τέλει τῶν Αἰθιοπικῶν (σελ. 445) λεγομένοις, « Τήν τε αὐτοῦ καὶ τὴν » Περσίνης μίτραν... ἈΦΕΛΩ'Ν, τὴν μὲν τῷ Θεαγένει, » τὴν αὐτοῦ, Χαρικλείᾳ δὲ τὴν Περσίνης, ἐπιτίθησιν ». — Στ. 23, Πρὸς τὸ ἀκριβὲς ἀνιχνεύειν.] Μόνῃ τῇ μεταθέσει παρεμυθησάμην τὸ ἀσυνάρτητον τοῦ χωρίου.

Βιβλίῳ Γ, Σελ. 107, στ. 2., Ἐτελέσθη....] Αἱ στιγμαὶ μετὰ τὸ, Ἐτελέσθη, ἵνα τὸ ἀτελὲς τῆς Χαρικλέους διηγήσεως ἐμφήνωσι· ὑπέκρουσε γὰρ ὁ Κνήμων αὐτὸν, μὴ περιμείνας τὰ ἑξῆς, πόθῳ τῶν περὶ τῆς πομπῆς ἀκουσμάτων.—Στ. 4, Ἐπέστησε.] Παρὰ τὸ Ὑπέστησε (ὃ ἔχουσι καὶ αἱ ΑΑ), εἰσὶ καὶ

ἕτεραι γραφαὶ, ἐκ μὲν τῆς Β, Ὑπέσλη, ἐκ δὲ τῶν ΚΑ, Ὑπέσλησι. τὴν δὲ ἡμετέραν διόρθωσιν πισλοῦται καὶ τὰ παράλληλα χωρία (σελ. 65 καὶ 263). — Στ. 6, Κατόπιν ἑορτῆς.] Παροιμιῶδες τοῦτο, ἐπὶ τῶν ὑσλερούντων τινὸς καλοῦ, καὶ μὴ παραγινομένων εἰς δέον. εἴληπται δὲ ἀπὸ τῶν Πλάτωνος ἐν ἀρχῇ τοῦ Γοργίου. — Στ. 8, Κλείσας.] Ἐν ταῖς ΑΑ καὶ ΔΑ 176, Λύσας. — Στ. 13, Ἀττικός.] Διεσύροντο γὰρ οἱ Ἀττικοὶ ὡς περίεργοι ταῖς λαλιαῖς, συκοφαντώδεις καὶ παρατηρηταὶ τῶν ξενικῶν βίων, ἥ φησι Δικαίαρχος, ἐν Ἑλλάδος βίῳ. καθάπτεται δὲ καὶ Δημοσθένης αὐτῶν ὡς τοιούτων· οὐ μὴν ἀλλὰ καὶ Λουκᾶς ὁ Ἀπόσλολος μνημονεύει τῆς καινοσπουδίας αὐτῶν (Πράξ. ΙΖ, κα΄.) — Στ. 16, Διαθήσομαι.] Τουτέσλιν ἐναργῶς διηγήσομαι, καὶ οἷον εἰδωλοποιήσας παρασλήσω. ὅθεν καὶ, Διαθέσεις, ἐκάλουν τὰς τῶν εἰκονιζομένων ὑποθέσεις, καὶ αὐτὰς τὰς εἰκόνας. αὐτίκα ὁ Ἀθήναιος (Ε, ϛ΄.), «Τινὲς μὲν εἰκόνας ἔχουσαι τῶν » βασιλέων ἐνυφασμένας, αἱ δὲ μυθικὰς διαθέσεις». εἶπε δὲ καὶ Πλούταρχος (ἐν Δημητρ. § 22), «Πρωτογένης γράφων τὴν » περὶ τὸν Ἰάλυσον διάθεσιν, καὶ τὸν πίνακα μικρὸν ἀπολεί» ποντα τοῦ κ. τ. λ.». τὸ δὲ ἐχόμενον, Ἑκατόμβη κ. τ. λ. κακῶς γραψάντων τε καὶ σλιξάντων τῶν πρὸ ἡμῶν, ἐγίνετο τὸ χωρίον ἀδιανόητον· τὸ γὰρ, Τελουμένων, ὁ μὲν Α συνέταξεν ἐπιθετικῶς πρὸς τὸ Ἀνδρῶν (*viris mysteriis initiatis*), ὁ δὲ Α οὐδ᾽ ἐξέφρασεν ὅλως. ἔσλι δὲ τὸ, Τελουμένων, ἐνταῦθα οὐκ ἐνεσλὼς, ἀλλὰ μέλλων Ἀττικὸς ἀντὶ τοῦ, Τελεσθησομένων, ἤγουν θυσιασθησομένων· ὅθεν καὶ Τελεταὶ, αἱ θυσίαι. τῶν δὲ τοιούτων μελλόντων παραδείγματα, ἔσλιν εὑρεῖν ἔν τε τῷ τετριμμένῳ καὶ τεθρυλλημένῳ, Μαχοῦμαι, καὶ δὴ καὶ ἐν ἄλλοις πλείσλοις, οἷον Δρῶ, Κρεμῶ, Ἐξελῶ, Ἐξολῶ, ἃ παρὰ τοῖς Ἀττικοῖς ταὐτὸ δύναται τοῖς Δράσω, Κρεμάσω, Ἐξελάσω, καὶ Ἐξολέσω. τούτοις κατηκολούθησε καὶ τὸ Τελῶ. καὶ Σοφοκλῆς δὲ (Οἰδ. Τυρ. 232), καὶ πρὸ αὐτοῦ Ὅμηρος (Ἰλιάδ. Ι, 156) τῷ, Τελῶ ἀντὶ τοῦ, Τελέσω, ἐχρήσαντο. ἔσλι τοίνυν ὁ νοῦς τοῦ προκειμένου χωρίου, Ἡγεῖτο ἑκατόμβη τῶν σφαγιασθησομένων ζώων, ἅπερ εἷλκον ἄνδρες ἀγροικότεροι κατὰ τὸν βίον καὶ τὴν σλολήν· δεῖ γὰρ καὶ τὸ,

Ἀγροικότερον,

Ἀγροικότερον, εἰς τὸ, Ἀγροικοτέρων, μετακινῆσαι, ἵνα ἔχῃ συντάσσεσθαι πρὸς τὸ Ἀνδρῶν.

Σελ. 108, Ἀγκύλην.] Ἀγκύλην, (ἣν οὐδέτερος τῶν μεταφραστῶν ὀρθῶς ἐξεδέξατο) ἐνταῦθα λέγει τὴν καμπὴν τοῦ γόνατος, ἣν ἄλλως Ἰγνύαν φασὶ, καίπερ τῆς Ἰγνύας ἰδιαίτερον τὸ ὄπισθεν τοῦ γόνατος μέρος σημαινούσης, τὸ κατὰ τὴν καμπήν. Εὐστάθιος δὲ (Ἰλιάδ. Ψ, σελ. 1326) τὴν Ἀγκύλην φήσας ἐπ' αὐτοῦ, Ἄνταν, καὶ Ἄνζαν, ὑπὸ τῶν ἰδιωτῶν λέγεσθαι, ἔοικε μὲν παραφθορὰν εἶναι τοῦ, Ἀγκύλη, τὸ νῦν ἐν τῇ συνηθείᾳ λεγόμενον, Ἄντζα, καὶ, Ἀντζίον, ὑπολαβεῖν, τὸν δὲ τρόπον τῆς φθορᾶς οὐκ ἐδήλωσε. φαμὲν οὖν, ὅτι εἰ τῷ ὄντι ἡ νῦν Ἄντζα, ἐπ' Εὐσταθίου, Ἄντα ἐλέγετο, εἰκὸς οὕτω λελέχθαι ἀπὸ τοῦ Ἄντα ἐπιῤῥήματος ἃ τὸ ἀπεναντίας κεῖσθαι τῷ προσθίῳ μέρει τοῦ γόνατος. ἔοικε μέντοι πιθανώτερον ἡ Ἄντζα ἀπὸ τοῦ, Ἄγκα, ἢ, Ἄγκη, διεστράφθαι πρωτοτύπου ὀνόματος, ἐξ οὗ καὶ ὁ Ἀγκὼν καὶ ἡ Ἀγκύλη (καὶ γὰρ καὶ αὐτὴ τοῦ Ἀγκῶνος ἡ καμπὴ ὁμωνύμως Ἀγκύλη λέγεται). τοῦτο δὲ γέγονε τροπῇ χυδαϊκῇ τοῦ γ εἰς τὸ ν καὶ τοῦ κ εἰς τὸ, τζ περὶ ἧς καὶ ἐν τοῖς πρόσθεν (σελ. 21) εἰρήκαμεν.—Στ. 6, Τὸ κέρας.] Ἐξήλειψα τὸν, Μὲν, ὡς οὐδὲν ἐνταῦθα χρήσιμον. ἡ δὲ περιγραφὴ τῶν βοῶν οὐ παντάπασιν ἐκπέφευγε τὸ σοφιστικὸν καὶ μειρακιῶδες· μακρῷ δὲ ταύτης μειρακιωδεστέρα ἡ Ἀχιλλέως τοῦ Τατίου (Β, ιε') ἔκφρασις τῶν Αἰγυπτίων βοῶν. — Στ. 8, Σιμοὶ τὴν κνήμην.] Σιμὸς κυρίως λέγεται ἐπὶ ῥινὸς, οἷον Ῥὶς σιμὴ, καὶ Σιμὸς τὴν ῥῖνα ἀπεναντίως τῷ Γρυπός. ἐπεὶ δὲ τῶν σιμῶν ἡ Ῥὶς πλησιαίτερόν ἐστι καὶ οἱονεὶ προσκαθέζεται τῷ προσώπῳ, παραλαβοῦσα ἡ συνήθεια ἐποίησε τὸ, Σιμὰ ἐπίῤῥημα, ὃ δὴ καὶ, Κοντὰ εἴρηκεν. ταυτόσημον ὂν τῷ, Πλησίον· καὶ ῥῆμα δὲ ἀπὸ τοῦ, Σιμόω, ἐσχημάτισεν ἁπλοῦν μὲν τὸ, Σιμόνω, σύνθετον δὲ, τὸ τοῖς μὲν μικρῷ πρὸ ἡμῶν Σιμοκοντεύω, ἡμῖν δὲ, Κοντοσιμόνω λεγόμενον, οὐδὲν ἀλλ' ἢ τὸ Πλησιάζω δηλοῦν. ὅθεν καὶ τὸ τοῦ Θουκυδίδου (Δ, κε'), Ἀποσιμωσάντων, ἄριστα ὁ σχολιαστὴς διὰ τοῦ, Ὑπαναχωρησάντων, ἡρμήνευσε. καθάπερ οὖν τοὺς Σιμοὺς τὴν ῥῖνα, Κοντομύτας φαμὲν, εἶεν ἂν καὶ οἱ Σιμοὶ τὴν κνήμην οἱ ἐν τῇ συνηθείᾳ λεγόμενοι Κοντοπόδαροι ἢ Κοντοπόδαι, ἤγουν,

οἱ βραχέα τὰ σκέλη, καὶ οὐ πολὺ τῆς γῆς ἐξανεστηκότα ἔχοντες. — Σημ. 12, Ζώων γένους κ. τ. λ.] Ἐνδέχεται μὲν καὶ, Ζώου γένος. . . ἀγόμενον, γεγραφέναι τὸν Ἡλιόδωρον· πιθανώτερον δὲ τὸ τοὺς ἀντιγράψαντας μεταλλάξαι τὰς πτώσεις. ὅθεν οὐκ ὤκνησα διορθώσασθαι, Ζώων γένους. . . ἀγομένου· ἐρεῖ γὰρ αὖθις προϊὼν (σελ. 392), «Καὶ ἄλλων ζώων παντοίων. . . ὥστε ἐξ ἑκάστου γένους ἑκατόμβην εἰς τὴν θυσίαν » ηὐτρεπίσθαι» — Στ. 17, Θετταλαί.] αἱ ΑΑ, Θετταλικαί· τὸ δὲ ἐχόμενον, Καλλίζωνοί τινες, ἔκ τε τῆς Β καὶ τῶν ΑΑ παρείληφα, μικρὸν παρατρέψας· τὸ γὰρ Καλλίζωνος ἀποστρέφεται τὸν θηλυκὸν σχηματισμὸν, Καλλιζώνη. — Στ. 20, Ὡραίων πλήρεις.] Ἐν ταῖς ΚΑ, Ὡραίων πλήρεις ὀπωρῶν· ἀλλ᾽ ὅμως τὸ Ὀπωρῶν οὐδέν ἐστιν ἀλλ᾽ ἡ ἐπεξήγησις τοῦ Ὡραίων, ὡς δῆλον καὶ ἀπὸ τοῦ, Ὡραιοπώλης, ὃν, Ὀπωροπώλην, Ἡσύχιος ἐξηγεῖται. — Στ. 21, Κανᾶ.] Κακῶς οἱ πρὸ ἡμῶν ἅπαντες, Κανὰ, ὀξυτόνως· συνήρηται γὰρ ἀπὸ τοῦ Κάνεα. ἦσαν δὲ τὰ Κανᾶ, καλαθίσκοι πλεκτοὶ ἐκ καλάμων, οἷα τὰ ἐν τῇ συνηθείᾳ λεγόμενα Πανέρια, ἀπὸ τοῦ Λατινικοῦ, *Panarium*, ὃ σημαίνει τὴν κίστην ἐν ᾗ ἀποτίθεται ὁ ἄρτος (*Panis*). οἶδε μέντοι καὶ ἡ συνήθεια τὸ Κανίον, παραφθαρὲν ἀπὸ τοῦ Κάνεον, καὶ τὸ Κανίστριον, ἤγουν τὸν Κάλαθον, ἀπὸ τοῦ Ἑλληνικοῦ Κάνιστρον, καὶ τὸν Κανιστρᾶν, ἤτοι τὸν πλέκοντα τὰ κανᾶ, τὸν ἄλλως λεγόμενον Καλαθᾶν, καὶ τὸ Κανίσκιον, ὅπερ Ἡσύχιος μὲν συνώνυμον εἶναι βούλεται τοῦ, Κανοῦν, ἢ τοῦ, Δισκάριον, ἡμεῖς δὲ μεταφορικῶς ἐπὶ τοῦ Δώρου οὐ κακῶς ἐξελάβομεν, ἐπεὶ καὶ τὰ δῶρα ἐπὶ κανῶν προσφέρονται. ταῦτα δὲ πάντα παρῆκται ἀπὸ τοῦ, Κάνα, ἢ Κάννα (Ἀριστοφ. Σφ. 394), ὃ δηλοῖ τὸν κάλαμον· ὅθεν τῶν Λατίνων καὶ τῶν Ἰταλῶν τὸ *Canna*. τούτου δὲ πρὸς τοῖς ἄλλοις μαρτύριον καὶ τὸ παρ᾽ ἡμῖν Κανίον, σημαῖνον τὸ καὶ ἄλλως λεγόμενον Καλαμοπόδαρον, ἤτοι τὴν παρὰ τοῖς Ἀρχαίοις Κνήμην, διότι καὶ ἡ κνήμη ὀστοῦν ἐστι μακρὸν καὶ κοῖλον ὡς ὁ Κάλαμος. — Στ. 22, Εὐωδίᾳ κατέπνεον.] Οὕτω διαῤῥήδην ἡ Β καὶ αἱ ΑΑ. τὸ τῶν λοιπῶν, Εὐωδίας, ἔστιν αὐτοῦ τοῦ Κ παραδιόρθωσις. καὶ ὁ μὲν Ἡλιόδωρος ἐνταῦθα, καλῶς ποιῶν, ἠρέσθη τῇ φράσει ταύτῃ, Τὸν τόπον εὐωδίᾳ κατέπνεον. ὁ δὲ Ἀχιλλεὺς ὁ Τάτιος (Β, ιε΄), ὑπερ-

βαλέσθαι πειρώμενος τὸν Ἡλιόδωρον, ἀπειροκάλως τε καὶ ψυχρῶς πάνυ, οἱονεὶ λεξιμανῶν, ῥηματισκίοις οὐδὲν πρὸς Διόνυσον, τὸ λεγόμενον, ἐνέπλησεν ἣν καταγράφει πομπὴν, «Πολλὴ » μὲν ἡ τῶν θυμιαμάτων πομπὴ (ἴσ. Πνοὴ), πολλὴ δὲ ἡ τῶν ἀν» θέων συμπλοκή. τὰ θυμιάματα, κασσία καὶ λιβανωτὸς καὶ » κρόκος· τὰ ἄνθη, νάρκισσοι, καὶ ῥόδα καὶ μυῤῥίναι. ἡ δὲ τῶν » ἀνθέων ἀναπνοὴ πρὸς τὴν τῶν θυμιαμάτων ἤριζεν ὀδμήν· τὸ » δὲ πνεῦμα ἀναπεμπόμενον εἰς τὸν ἀέρα, τὴν ὀδμὴν ἐκεράν» νυεν, καὶ ἦν ἄνεμος ἡδονῆς». οὕτως ἄρα χαλεπὰ τὰ καλά, ἐπεὶ καὶ πολλὰ καμόντας πολλάκις ἐκφεύγει.

Σελ. 109, στ. 3, Ὑπεσήμαινεν.] Τῇ φωνῇ δηλονότι, ἢ καὶ δι' ὀργάνου τινὸς μουσικοῦ. ἔλεγον γὰρ οἱ Ἀρχαῖοι, « Ση» μαίνειν τῇ σάλπιγγι » · ὅθεν καὶ, Σημασίαν, ἐξηγεῖται Σουΐδας, τὴν διὰ σάλπιγγος φανέρωσιν. εὕρηται δὲ καὶ, « Αἰγείῳ κέρατι σημαίνων » παρὰ τῷ Ἀθηναίῳ (Ε, σελ. 200), ἐν οἷς περιγράφει τὴν ἐν Ἀλεξανδρείᾳ ὑπὸ Πτολεμαίου τοῦ Φιλαδέλφου γενομένην πομπὴν, ἣν ἐπιτεμὼν παρῳδεῖ Ἡλιόδωρος. πολὺ δὲ τὸ, Σημαίνειν, καὶ παρὰ τοῖς Ἑβδομήκοντα, ὅθεν παραλαβοῦσα ἡ συνήθεια κατεχρήσατο ἐπὶ παντὸς ὀργάνου μουσικοῦ· καὶ αὐτὰ δὲ τὰ ὄργανα Σημάσματα, καλεῖ, καὶ χυδαιέστερον, Σημάρματα, τραπέντος τοῦ σ̄ εἰς ρ̄ (ὡς καὶ ἐν τῷ Ξερκίζω, ἀντὶ τοῦ, Ξεσχίζω, ὅ ἐστιν, Ἐκσχίζω). ἐκ τούτου δὲ καὶ τὸ Σήμαντρον, ᾧ καλοῦσιν εἰς Ἐκκλησίαν τοὺς μοναχοὺς ἐν τοῖς Κοινοβίοις· — Στ. 14, Χρυσοέθειρα Θέτιν.] Ἐν ταῖς ΑΑ, Θέταν. Ἐνταῦθά τε καὶ ἐν τῷ τελευταίῳ στίχῳ τοῦ ὕμνου τούτου ἔτρεψα τὴν κλητικὴν εἰς τὴν αἰτιατικήν, ἵνα ἔχῃ συνάπτεσθαι, ὡς καὶ τὸ πρῶτον Θέτιν, τῷ Ἀείδω ῥήματι. πιστοῦται δὲ τὴν διόρθωσιν καὶ ἡ τῶν ΑΑ γραφὴ, Θέταν, καίπερ ἡμαρτημένη. ἐκληπτέον δὲ καὶ τὸ, Χρυσοέθειρα, αἰτιατικῶς· λέγεται γὰρ οὐ μόνον, Ἔθειραν, ἀπὸ τῆς ὀνομαστικῆς, Ἔθειρα, ἀλλὰ καὶ, Ἔθειρα, ἀπὸ τῆς, Ἔθειρ (Σουΐδ. λέξ. Ἔθειρ), κατὰ τὸ, Δήμητραν, καὶ, Δήμητρα. — Στ. 15, Νηρέος.] Ὀμικρογραφητέον διὰ τὸ μέτρον· ὁ γὰρ ὕμνος Ἐλεγειακὸς πεντάμετρος. ὁ δὲ στίχος ἐκ τῶν Ὁμήρου (Ἰλιάδ. Α, 538),

Ἀργυρόπεζα Θέτις, θυγάτηρ ἁλίοιο γέροντος.

πέντε πρὸς ταῖς τεσσαράκοντα Νηρέως θυγατέρας καταλέγει Ἀπολλόδωρος (Α, β΄), ὧν ἦν μία ἡ Θέτις, ἐκαλοῦντο δ' ἅπασαι ἀπὸ τοῦ πατρὸς Νηρηΐδες, ὃ δὴ ὄνομα ἡ συνήθεια μετεποίησεν εἰς τὸ, Νεράϊδες. — Στ. 18, Δουριμανῆ, τόν τ' Ἄρεα πτολέμων.] Ἡμάρτηται ἡ γραφὴ τῶν ΑΑ, Δουρομενῆ τόν τε τῶν πολέμων Ἄρεα. — Στ. 20, Τοῦ κλέος οὐράνιον.] Ὡς εἶναι φάναι περὶ Ἀχιλλέως, τὰ εἰς τὸν αὐτοῦ πατέρα Πηλέα ὑπὸ τοῦ Πινδάρου (Ἰσθμ. ϛ, λδ΄) ᾀσθέντα,

................Οὐδ' ἔστιν οὕτω
Βάρβαρος οὔτε παλίγγλωσσος πόλις,
Ἅτις οὐ Πηλέος ἀΐει κλέος
Ἥρωος.........................

Στ. 24, Ὄλβιε.] Ἐν τῇ Β, Ὄλβια. — Στ. 25, Δ' εὐμενέων τάνδε.] Ἐν τῇ Β, Δὲ ὑμεναίων τῶνδε· ἐν δὲ ταῖς ΑΑ, Δὲ ὑμναίων τάνδε. τοῦτο δὲ τὸ, Ὑμναίων, οἱ μεταφρασταὶ ἀμφότεροι ἀντὶ τοῦ, Ὕμνων, ἐξεδέξαντο. ὁ Μ διώρθωκε, Δ' εὐμενέων τῶνδε· ὃ καὶ ἡμεῖς παρελάβομεν, φυλάξαντες μέντοι τὸ, Τάνδε, τῶν ΑΑ, ἵν' ᾖ, Ταύτην τὴν θυηπολίην, ἤγουν τὴν θυσίαν. τὸ δὲ, Εὐμενέων, μετοχή ἐστι τοῦ ῥήματος, Εὐμενέω.

Σελ. 110, στ. 3, Οὕτω συμβαίνων ὁ κρότος τοῦ βήματος.] Εἰκότως ἔπλασε τοῦτο ἐπὶ χορῶν Θεσσαλικῶν· λέγει γὰρ ὁ Λουκιανὸς (περὶ Ὀρχήσ. § 14) ὅτι, « Ἐν Θεσσαλίᾳ τοσοῦ» τον ἐπέδωκε τῆς ὀρχηστικῆς ἡ ἄσκησις, ὥστε τοὺς προστά» τας καὶ προαγωνιστὰς αὐτῶν, Προορχηστῆρας ἐκάλουν. καὶ » δηλοῦσι τοῦτο αἱ τῶν ἀνδριάντων ἐπιγραφαὶ, οὓς τοῖς ἀρι» στεύουσιν ἀνίστασαν· ΠΡΟΥ'ΚΡΙΝΕ, γάρ φησι, ΠΡΟ» ΟΡΧΙΣΤΗ͂ΡΑ Ἁ ΠΟ'ΛΙΣ· καὶ αὖθις, Ε'ΙΛΑ» ΤΙ'ΩΝΙ ΤᾺΝ Ε'ΙΚΟ'ΝΑ Ὁ ΔΑ͂ΜΟΣ Ε͂Υ 'ΟΡΧΗ» ΣΑΜΕ'ΝΩι ΤᾺΝ ΜΑ'ΧΑΝ ». — Στ. 9, Ἕως κατόπιν κ. τ. λ.] Ὅλον τοῦτο τὸ περὶ τῶν Ἐφήβων καὶ τοῦ Ἱππάρχου παρῴδηταί πως ἀπὸ τῶν περὶ Φιλοποίμενος ἱστορημένων· οὕτω γὰρ κἀκεῖνον, φησὶ Πλούταρχος (Φιλοποίμ. § 11) τῆς τῶν Νεμέων πανηγύρεως συνεστώσης, « Κιθαρῳδῶν » ἀγωνιζομένων, εἰς τὸ θέατρον παρελθεῖν ἔχοντα τοὺς νεα» νίσκους ἐν ταῖς στρατιωτικαῖς χλαμύσι, καὶ τοῖς φοινικοῖς

» ὑποδύταις, ἀκμάζοντάς τε τοῖς σώμασιν ἅπαντας καὶ ταῖς » ἡλικίαις παραλλήλους, αἰδῶ δὲ πολλὴν πρὸς τὸν ἔρχοντα » καὶ φρόνημα νεανικὸν ὑποφαίνοντας ἐκ πολλῶν καὶ καλῶν » ἀγώνων ». — Στ. 17, Πέζαν.] Πέζα, καθ᾽ Ἡσύχιον, ἐστὶ τὸ κάτω μέρος τοῦ ἱματίου, ὃ δὴ καὶ Ὦα λέγεται, διὰ τὸ τοὺς Ἀρχαίους προβάτων δέρματα προσράπτειν τοῖς κρασπέδοις τῶν ἱματίων, ὡς φησὶν ὁ Ἐτυμολόγος (σελ. 820). ἔστι γὰρ τὸ, Ὦα παρὰ τὸ, Οἴα, τοῦτο δὲ (ἀπὸ τοῦ, Οἶς, οἰὸς, παρηγμένον) σημαίνει μηλωτὴν προβάτου. ἐντεῦθεν ἡ συνήθεια παραφθείρασα ἐσχημάτισε τὸ, Οὔϊα, καὶ χυδαιέστερον, Οὔγια, ὡς ἀπὸ τοῦ, Οἷος (τοῦ Ὁποῖος), τὸ, Οἷος, ἢ Ὅγιος, ἤγουν Ὅσ]ις. ἄλλως δὲ ἐλέγετο ἡ Ὦα καὶ ἁπλῶς ἐπὶ πάντων τῶν ἄκρων τοῦ ἱματίου, οὐ μόνων τῶν κάτω. ὅθεν καὶ τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον, Προφύλλιον, Ὦα τις ἂν εἴη καὶ αὐτὸ, καίπερ ὡς ἐπὶ τὸ πολὺ ἐκ δερμάτων πολυτελεστέρων συνεῤῥαμένον. Προφύλλιον δὲ εἰρῆσθαι ἔοικε διὰ τὸ τὰ ἑκατέρωθεν πτερὰ τοῦ περιβολαίου, οἱονεὶ φύλλα προέχειν. Στ. 18, Θετταλική.] Ἐκ χρησμοῦ τοῦτο, οὗ πολλοὶ μέμνηνται,

Ἵππον Θεσσαλικὴν, Λακεδαιμονίην τε γυναῖκα·
Ἄνδρας δ᾽, οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης.

διεβεβόηντο γὰρ αἱ τῆς Θεσσαλίας ἵπποι (Ἴδ. Σουΐδ. λέξ. Ὑμεῖς, ὦ Μεγαρεῖς). — Στ. 21, Ὡς δὲ τόν.] Ἐν ταῖς ΑΑ. Πρὸς δὲ τόν. κρεῖττον δὲ αἰτιατικὴν ἀπόλυτον ἐκλαβεῖν, Ἠρνεῖτο τὸν χαλινὸν ὡς δεσπότην· φέρειν δ᾽ αὐτὸν ἠνείχετο, ὡς τοῦ νοὸς τοῦ ἀναβάτου ὑφηγουμένου καὶ ἡνιοχοῦντος. — Στ. 24, Πεποιημένων.] Οὕτως ἡ Ε, ᾗ συνάδουσι καὶ αἱ ΔΑ 541.

Σελ. 111, στ. 2, Τὸ μέλημα τὸ ἐμόν.] Οὕτω προσηγόρευον τοὺς προσφιλεστάτους ὑποκοριζόμενοι, οἷον Ἀριστοφάνης (Ἐκκλ. 972),

Ὦ χρυσοδαίδαλον ἐμὸν μέλημα.

τοῦτο ἐν τῇ κοινῇ συνηθείᾳ οὐκ ἂν ἄλλως λέγοιτο, ἢ, Ἡ ἀγάπη μου ὁ Θεαγένης. ὅθεν καὶ ὁ Ἡσύχιος ἐξηγεῖ τὸ Μέλημα, « Οὗτινος ἄν τις φροντίζοι, ἀγάπημα ». — Στ. 3, Ἔδοξας ἄν.] Οὕτως αἵ τε ΑΑ καὶ ΔΑ 704. — Στ. 7, Μελίαν.] Ὅτι καὶ ἔγχος ἐκ μελίας πεποιημένον ἔφερεν ὁ πρόγονος αὐτοῦ

Ἀχιλλεὺς, ὥς φησιν Ὅμηρος (Ἰλιάδ. Π, 143),

> Πηλιάδα ΜΕΛΙΉΝ, τὴν πατρὶ φίλῳ πόρε Χείρων
> Πηλίου ἐκ κορυφῆς.........................

Στ. 14, Ἀνέμου λιγεῖα ῥιπή.] Ὅμηρος (Ἰλιάδ. Ε, 525),

> .......ἀνέμων, οἵ τε νέφεα σκιόεντα
> Πνοιῇσιν λιγυρῇσι διασκιδνᾶσιν ἀέντες.

Στ. 20, Καὶ ὡς καλὸν κ. τ. λ.] Κακῶς ὁ Μ, ἡμαρτῆσθαι τὴν γραφὴν ὑπέλαβε· τὸ γὰρ ἑξῆς ἐστὶν, Εἶπες ἂν τὸν ἵππον, ὡς ὄντα καλὸν αὐτὸν, αἰσθάνεσθαι φέρειν κάλλιστον τὸν ἡνίοχον. ἡμάρτηται δὲ τὸ, Φέρει, τῆς Β, ἀντὶ τοῦ, Φέρειν, οὗ Ἑλληνικώτερον ἐνταῦθα ἴσως τὸ, Φέροντα. Αἰσθάνομαι γάρ τι ποιῶν, οὐ, Ποιεῖν, φασὶν οἱ ὀρθῶς Ἑλληνίζοντες. — Στ. 22, Εἰς ὀρθὸν οὖς.] Σοφοκλῆς (Ἠλέκτρ. 25),

> Ὥσπερ γὰρ ἵππος εὐγενὴς, κἂν ᾖ γέρων,
> Ἐν τοῖσι δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν,
> Ἀλλ' ὀρθὸν οὖς ἵστησιν..............

καὶ κομψὴ μὲν ἱκανῶς ἡ Ἡλιοδώρειος ἔκφρασις τοῦ ἵππου. τὴν δὲ τοῦ Ὁμήρου (Ἰλιάδ. Ζ, 506 – 511),

> Ὡς δ' ὅτε τις στατὸς ἵππος κ. τ. λ.

ὁ ἔχων ὦτα ακούειν Ἀπόλλωνί τε καὶ Μούσαις αὐταῖς ἂν, οὐχ Ὁμήρῳ, πεποιῆσθαι φαίη.

Σελ. 112, στ. 5, Δημώδεις γυναῖκες.] Τουτέστιν αἱ πόρναι· αὗται γὰρ βάλλειν μήλοις, οὐχ αἱ σεμναὶ, τοὺς καλοὺς εἰώθασιν. ὅθεν καὶ Ἀριστοφάνης (Νεφελ. 996), παραινεῖ τοῖς νέοις

> Μηδ' εἰς ὀρχηστρίδος εἰσάττειν, ἵνα μὴ πρὸς ταῦτα κεχηνὼς,
> Μήλῳ βληθεὶς ὑπὸ πορνιδίου, τῆς εὐκλείας ἀποθραυσθῇς,

ἀστείως ἅμα τε καὶ λελογισμένως· ἀκλεεῖς γὰρ ὡς ἐπὶ τὸ πολὺ καταγηράσκουσιν, οἱ ταῖς πόρναις προσέχοντες νέοι. ἐλέγοντο δὲ αὗται καὶ Δημίαι καὶ Δημιουργοί. καὶ πύλαι δὲ καθ' Ἡσύχιον τοῦ ἄστεος ἦσαν Ἀθήνησι Δημιάδες καλούμεναι, διὰ τὸ ἐν αὐταῖς προεστάναι τὰς πόρνας. — Στ. 10, Τὸ Θεαγένους ὑπερβάλλοιτο κάλλος.] Ἐκ τῶν ΚΑ. ἴσως δ' ἔτι ὀρθώτερον, Ὑπερβάλοιτο, ἀορίστως. — Στ. 12, Ἦμος δ' ἠριγένεια κ. τ. λ.] Τοῦ Ὁμήρου ὁ στίχος (Ἰλιάδ. Α,

477). — Στ. 18, Ἐφ' ἁρμαμάξης.] Ἐν τῇ Β, καὶ ταῖς ΔΑ 444, Ἐφ' ἁμάξης. — Στ. 19, Ὀχουμένη.] Ἐν ταῖς ΚΑ καὶ ΔΑ 444, Ἡνιοχουμένη. τὸ δὲ ἐχόμενον, Ἁλουργῆ, ἐκ τῆς Β. οἱ λοιποὶ πάντες, Ἁλουργόν.—Στ. 21, Ἣν ὁ τεχνησάμενος κ. τ. λ.] Ἀσυνάρτητός πως ὁ λόγος· ἔδει γὰρ εἰπεῖν, Εἰς ἣν ὁ τεχνησάμενος τὸ πᾶν τῆς ἑαυτοῦ κ. τ. λ. ὁ δὲ Μ, οὕτω διορθοῦν ἐπεχείρησε τὸ χωρίον, Ἧι ὁ τεχνησάμενος ἐκείνην τὸ πᾶν τῆς ἑαυτοῦ κ. τ. λ. παρῴδηται δὲ τὰ ἑξῆς, Οὔτε πρότερόν τι τοιοῦτον κ. τ. λ. ἐκ τῆς Ὀδυσσείας (Λ, 612),

Μὴ τεχνησάμενος, μηδ' ἄλλο τι τεχνήσαιτο
Ὃς κεῖνον τελαμῶνα ἑῇ ἐγκάτθετο τέχνῃ.

Στ. 24, Δυοῖν γὰρ δρακόντοιν κ. τ. λ.] Παρῳδήθη ἐκ τῶν Ἡσιόδου (Ἀσπ. Ἡρακλ. 233),

.....................ἐπὶ δὲ ζώνῃσι δράκοντε
Δοιὼ ἀπῃωρεῦντ' ἐπικυρτώοντε κάρηνα.
Λίχμαζον δ' ἄρα τώγε' μένει δ' ἐχάρασσον ὀδόντας,
Ἄγρια δερκομένω·....................

Σελ. 113, σ. 2, Διολισθῆσαι.] Ἐν ταῖς ΑΑ, Διολισθῆναι, ὡς ἂν ἀπὸ τοῦ Διολισθαίνω. — Στ. 7, Κώματι.] Οὕτω πρὸς τοῖς ἄλλοις καὶ αἱ ΑΑ· ἐν δὲ τῇ Β, Κοιμήματι, ὅ ἐστιν ἐπεξήγησις τοῦ, Κώματι· ἔστι γὰρ τὸ Ὑγρὸν κῶμα, ὅπερ Ὅμηρος (Ἰλιάδ. Ξ, 359) Μαλακὸν κῶμα λέγει. ἔοικε δὲ παρῳδῆσθαι ἐξ Ὀρφέως (Ἀργον. 1015),

Κῶμα δ' ἄφαρ κατέμαρψε πελωρίου ὄσσε δράκοντος.

Στ. 12, Συγκραθέν.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. τὸ δὲ, Εἰσκραθὲν, τῶν λοιπῶν ἡμάρτηται.—Στ. 15, Ἐπεκύμαινε.] Οὕτως αἱ ΚΑ. Στ. 16, Καὶ τοῦ μετώπου.] Ἐκ τῶν ΑΑ.—Στ. 19, Ἐφιέντες.] Ἐν ταῖς ΑΑ, Ἀφιέντες. —Στ. 21, Θατέρᾳ.] Τοῦτο ἀναλυόμενον ταὐτὸ βούλεται τῷ, Τῇ ἑτέρᾳ· ὅθεν ἐξεβάλομεν τὸ κακῶς πλεονάσαν ἄρθρον, ᾗ δῆλον καὶ ἐκ τῶν κατωτέρω (σελ. 135) ῥηθησομένων, ὅπου Θατέρᾳ πάλιν ἐρεῖ, οὐ Τῇ θατέρᾳ. ἐνδέχεται μέντοι ἐνταῦθα, καὶ αὐτοῦ Ἡλιοδώρου εἶναι τὸ ἁμάρτημα· ἐπεὶ καὶ Εὐριπίδην καὶ Μένανδρον, καὶ ἄλλους οὐκ ὀλίγους εὐθύνουσιν ἁμαρτήσαντας περὶ τὴν συναίρεσιν τοῦ ὀνόματος τούτου. τὸ δὲ ἐχόμενον, Λαμπάδιον, διὰ τὴν Ἄρτεμιν· δοκεῖ

γὰρ ἡ λαμπὰς Ἀρτέμιδος ἐξαίρετον εἶναι τῆς αὐτῆς οὔσης τῇ Σελήνῃ, ἢ, διὰ τὸ λάμπειν νυκτὸς, καὶ Φωσφόρος ἐπιθετικῶς ἐκλήθη. καὶ βόας δὲ ἱερὰς νεμομένας Ἀρτέμιδος πέραν Εὐφράτου, χάραγμα φέρειν τῆς θεοῦ λαμπάδα, φησὶν ὁ Πλούταρχος (Λουκούλλ. § 24).

Σελ. 114, σἱ. 1, Ἱκετεύω.] Ἐντονώτερον ἐνταῦθα τοῦ, Ἱκετεύων, τὸ, Ἱκετεύω, ὃ δὴ καὶ ὁ Α ἐξέφρασεν. — Στ. 4, Καὶ οἵους.] Ἀντέβαλον τῷ, Οὓς τὸ, Οἵους, συνομολογούντων μου τῇ διορθώσει τοῦ Λ καὶ τοῦ Α. — Στ. 8, Τὴν μὲν, ἀνδράσι, τὸν δέ.] Ἐν ταῖς ΔΑ 573 γράφεται, Τὴν μὲν ἐν ἀνδράσι, τὴν δὲ ἐν. — Στ. 9, Θάτερον.] Ἡλιοδώρου τὸ ἁμάρτημα ἀντὶ τοῦ, Τὸν ἕτερον. — Στ. 23, Θυμὸν ἔχε ἀγαθόν.] Ἡροδότου (Γ, πέ.) ἡ φράσις, ᾗ χρῆται συνεχῶς (σελ. 33 καὶ 341) Ἡλιόδωρος. ἔστι δὲ τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον, Ἔχε καλὴν καρδίαν.

Σελ. 115, σἱ. 7, Εἶναί μοι φαίνῃ.] Ἡ ἀντωνυμία ἐκ τῶν ΑΑ, ἐν αἷς οὐκ ὀρθῶς ἄλλως, Φαίνειν, ἀντὶ τοῦ Φαίνῃ. — Στ. 10, Τὰ κοιταῖα.] Τὰ μετὰ τὸ δεῖπνον ὑπὸ τῶν ἐπὶ κοίτην ἰόντων νομιζόμενα γίγνεσθαι τοῖς νυχίοις θεοῖς. τούτων δὲ τῶν νυχίων θεῶν ἦν καὶ ὁ Ἑρμῆς,

> Ὧι πυμάτῳ σπένδεσκον, ὅτε μνησαίατο ΚΟΊΤΟΥ,

καθά φησιν Ὅμηρος (Ὀδυσσ. Η, 138), ὁ καὶ ἐν ἄλλοις (Ὑμν. Ερμ. 14)

> ....................Ἡγήτορ' ὀνείρων
> Νυκτὸς ὀπωπητῆρα ...............

αὐτὸν καλέσας. καὶ αὐτὴν δὲ τὴν τελευταίαν πόσιν, Ἑρμῆν ἐκάλουν (Ἀθην. Α, σελ. 32). ἔσπενδον δὲ καὶ Ποσειδῶνι, ὡς αὐτός πάλιν Ὅμηρος ἀλλαχοῦ (Οδυσσ. Γ, 333) λέγει. καὶ Μούσαις δὲ, καὶ Αμφιτρίτῃ σπονδαὶ ἐγίγνοντο, λυομένων τῶν συμποσίων, ᾗ φησὶ Πλούταρχος (Ἑπτ. Σοφ. συμποσ. § 21)· παρὰ δὲ τοῖς ὕστερον καὶ Διὶ τελείῳ (Ἀθην Α, σελ. 16.). — Στ. 16, Ἐπέχεεν.] Οὕτω διωρθωσάμην. — Στ. 21, Περιεστοιχίσατο.] Ἐκ τῶν ΚΑ. ἔστι γὰρ ἀπὸ τοῦ Περιστοιχίζομαι, οὐκ ἀπὸ τοῦ Περιστοιχέομαι. τὸ δὲ, Περιστοιχίζομαι καὶ κατὰ μέσην καὶ κατὰ παθητικὴν διάθεσιν ἐκλαμβάνεται, ὅπερ ἐδήλωσεν Ἡσύχιος λέγων, « Περιεστοιχισμένοι, οἱ περιέχοντες, » καὶ

» καὶ περιεχόμενοι ». κατὰ μέσην μὲν ὡς ἐνταῦθα, καὶ παρὰ τῷ Δημοσθένει, οὗ τὸ μαρτύριον παρατέθειται Ἁρποκρατίων καὶ ὁ Ἐτυμολόγος (λεξ. Περιστοιχίζεται)· κατὰ δὲ παθητικὴν, ὡς ἐν τοῖς ἑξῆς (σελ. 258) « Κλύδωνι φροντισμάτων » περιεστοίχιστο ». — Στ. 23, Ὠλόλυξαν.] Ἴσως ἐγέγραπτο, Καὶ ὠλόλυξαν, μετὰ τοῦ συνδέσμου· καὶ εἰ μὲν οὕτως εἶχεν ἡ γραφὴ, οὐ τελείᾳ στικτέον μετὰ τὸ Ἄνδρες, ἀλλὰ βραχὺ διασταλτέον, ἵν᾽ ᾖ τὸ, Τότε, ἀπόδοσις τοῦ προηγησαμένου, Ἐπειδή. σημείωσαι δὲ διαφορὰν τοῦ Ὀλολύζω πρὸς τὸ Ἀλαλάζω· τὸ μὲν γὰρ Ὀλολύζειν καὶ ἡ Ὀλολυγὴ ἐπὶ γυναικῶν φωνῆς, ἣν ποιοῦνται ἐν τοῖς ἱεροῖς εὐχόμεναι, τάττεται, ὡς καὶ Ὅμηρος ἐδήλωσε (Ἰλιάδ. Ζ, 301, καὶ Ὀδυσσ. Γ, 450). τὸ γὰρ ἐπὶ θρήνου τάττειν τὸ, Ὀλολύζειν νεωτέρων ἐστὶν, ᾗ φησὶν Εὐστάθιος. Ἀλαλάζειν, δὲ (ὃ Ξενοφῶν καὶ Ἐλελίζειν εἴρηκε), ἐστὶ τὸ ἀνάρθρως βοᾶν εἰς πόλεμον συνιόντας, ὡς δηλοῖ καὶ ὁ παρ᾽ Ὁμήρῳ Ἀλαλητὸς, τουτέστιν ὁ παρὰ τὰς μάχας θόρυβος. καὶ ὁ Ἀλαλαγμὸς δὲ ἐπινίκιος ὕμνος ἐστίν. οἱ δὲ ὕστερον καὶ ἐπὶ παντὸς ὕμνου εὐχομένων ἐξεδέξαντο τὴν λέξιν. Σοφοκλῆς μέντοι (Τραχ. 205), Ἀνολολύζειν ἀλαλαγαῖς, εἰπὼν, οὐδεμίαν ἔοικε διαφορὰν τοῦ Ὀλολύζειν καὶ Ἀλαλάζειν εἰδέναι. (Ἴδ. καὶ τὰς σημ. εἰς τὸν Ἡσύχ. λέξ. Ἀλαλαγμὸς, καὶ Ὀλολυγή).

Σελ. 116, στ. 2, Φορτώσαντες.] Σημειωτέον τὸ Φορτώσαντες, ὡς ἀπὸ τῆς κοινῆς συνηθείας εἰλημμένον· οἱ γὰρ Ἀρχαῖοι διὰ τοῦ ίζω τὸ ῥῆμα ἐξέφερον, Φορτίζω λέγοντες, οὐ Φορτόω. τοῦτο δὲ τῶν νεωτέρων ἐστὶν Ἑλλήνων. κατακόρως δὲ μάλιστα χρῆται τῷ συνθέτῳ Ἐκφορτόω, ὁ τὰ καθ᾽ Ὑσμινίαν καὶ Ὑσμίνην συγγράψας Εὐμάθιος. ἐκ τούτων οἱ νεώτατοι παραλαβόντες, παρενθήκῃ τοῦ ν ἐποίησαν τὸ Φορτόνω, ὡς καὶ ἄλλα πολλὰ τῶν διὰ τοῦ όω, οἷον Χρυσόω Χρυσώνω, Σημειόω Σημειόνω κ. τ. λ. τὸ Φορτόω ὁ μὲν Στέφανος οὐδὲ ὅλως ἐνέγραψε τῷ Θησαυρῷ· ὁ δὲ σοφὸς Σχνεϊδέρος ταῖς ἀμφισβητουμέναις τῶν λέξεων συγκατέλεξεν ἐν τῷ Ἑλληνογερμανικῷ αὐτοῦ Λεξικῷ. ἀλλ᾽ ὅμως κἂν εἰ παρά τινι τῶν δοκίμων συγγραφέων ἡ λέξις ἐφέρετο, οὐδ᾽ οὕτως ἂν ἦν ἀμφισβητήσιμος· ἐπεὶ καὶ ἄλλα ἐστὶν ἃ τῶν ῥημάτων διφορεῖται, τὰ μὲν οὕτω τῆς χρήσεως

ὑπαγορευσάσης, τὰ δὲ καὶ κατὰ διάλεκτον, οἷόν ἐστι τὸ Ὁρκοῦν παρὰ Θουκυδίδῃ, ὃ Δημοσθένης Ὁρκίζειν λέγει, καὶ τὸ Καταποντοῦν παρ' Ἡροδότῳ, ὅπερ οἱ ἄλλοι Καταποντίζειν λέγουσι. Στ. 3, Ἄκρα.] Οὐ δεόντως ὁ Δορβίλλος, ἐν ταῖς εἰς τὸν Χαρίτωνα σημειώσεσι (σελ. 327), εἰς τὸ, Ἄρθρα μεταβάλλειν ἠξίου.—Στ. 12, Οἱ νέοι καὶ ἥρων.] Λείποντα τὰ τέσσαρα ταῦτα μέρη τοῦ λόγου ἐκ τῆς Β καὶ τῶν ΑΑ, δεόντως ἀνεπλήρωσαν αἱ ΚΑ, ΔΑ19, καὶ ὁ Μ.—Στ. 15, Ἐκ πρώτης ἐντεύξεως.] Ἀνεστραμμένως αἱ ΔΑ19, Ἐντεύξεως ἐκ πρώτης.—Στ. 16, Ὁλκότερον.] Βραδύτερον καὶ βλακωδέστερον, ἵνα ἐπὶ πλέον ὁρᾶν ἀλλήλους ἐγγίγνοιτο. ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (σελ. 433), Ὁλκὰ προβαίνων, ὅ ταυτόν ἐστι τῷ (σελ. 144), Βλακῶδες βαίνων. Ἀριστοφάνης δὲ (Σφηξ. 268) μετὰ τῆς προθέσεως, Ἐφολκὸν λέγει τὸν τοιοῦτον. — Στ. 24, Καὶ τὴν καρδίαν.] Περιττὸς δοκεῖ ὁ σύνδεσμος.

Σελ. 117, στ. 11, Ἄλλο δὲ ἀκριβῶς.] Ἀδιανοήτου οὔσης τῆς παρὰ πᾶσι φερομένης γραφῆς, διορθωσάμενος ἐσαφήνισα τὸ λεγόμενον· ὁ δὲ νοῦς, Τὸν μὲν χρησμὸν εἰς Θεαγένην τε καὶ Χαρίκλειαν αἰνίττεσθαι εἴκασα ἐξ αὐτῶν τῶν ὀνομάτων, Χάριν, Κλέος, Θεᾶς καὶ Γενέτην (σελ. 106). ἀλλὰ τοῦτο μόνον εἴκασα· ἄλλο δ' οὐδὲν τῶν ἑξῆς τοῦ χρησμοῦ ῥημάτων ἀκριβῶς συνέβαλον. ταῦτά δέ ἐστι τὸ, Οἳ νηὸν προλιπόντες κ. τ. λ. μέχρι τέλους. δῆλον δὲ καὶ ἐξ ὧν προϊὼν ἐρεῖ (σελ. 124) «Τοῦ χρησμοῦ τὰ τελευταῖα τί ἄρα βούλοιτο ἀν- » ιχνεύων». — Στ. 15, Ἀνῆψε, λέλυτο.] Οὕτως ἡ Β καὶ αἱ ΑΑ. περὶ δὲ τῶν αναυξήτων τούτων ὑπερσυντελικῶν ἀρκούντως εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 2). — Στ. 22, Παντοίως.] Ἔκ τε τῆς Β καὶ τῶν ΑΑ. τυπογραφικῶς δὲ ἡμαρτῆσθαι τὸ τοῦ Κ Παντοίας (ὅπερ οἱ μετ' αὐτὸν ἀσκέπτως παρεδέξαντο), δῆλον ἐξ ὧν αὐτὸς σημειοῦται ἐν ταῖς ΚΑ.

Σελ. 118, στ. 4, Συνέθυσεν.] Ἐκ τῆς Β καὶ τῶν ΚΑ. αἱ λοιπαὶ, Συνέθυσα. — Στ. 7, Ὦ 'γαθὲ.] Ἐκθλιπτέον εἶναι τὸ ἀρκτικὸν τοῦ, Ἀγαθὲ, οὐ μόνον Ἡλιόδωρος διδάσκει (πλὴν γὰρ τοῦ χωρίου τούτου, ἐν ἅπασι τοῖς ἄλλοις, Ὦ 'γαθὲ, ὀρθῶς ἐξέδωκαν οἱ ἀντιγραφεῖς), ἀλλὰ καὶ ἡ χρῆσις αὐτὴ τῶν Ἀττικῶν τοῦτο βούλεται. ἔστι δὲ φιλοφρονητικὴ προσ-

αγόρευσις ἐν τοῖς διαλόγοις μάλιστα χώραν ἔχουσα, ὡς καὶ τὸ συνωνυμοῦν πῶς Καλὸς ἐν τῇ συνηθείᾳ· οἷον τὸ προκείμενον χωρίον ἔστι μικρὸν παρεγκλίναντας ἑρμηνεῦσαι, Καλὲ εἰπέ με πῶς σ᾽ ἐφάνη σήμερον ἡ Χαρίκλεια; — Στ. 16, Οὖν.] Οὕτως αἱ ΑΑ.

Σελ. 119, στ. 12, Ὁ περικεχυμένος ἡμῖν οὗτος ἀήρ.] Τὰ πλεῖστα τῆς ματαιολόγου ταύτης περὶ βασκανίας διαλέξεως, καὶ μάλιστα τὸ περὶ τοῦ Χαραδριοῦ, μετηνέχθη ἐκ τῶν Πλουτάρχου Συμποσιακῶν (Ε, ζ΄).—Στ. 19, Ἐνέπλησε.] Ἄμεινον ἂν εἶπεν ἐνταῦθα, Ἀνέπλησε, ἐπὶ τῆς σημασίας τοῦ, Ἐμόλυνεν, ἐφ᾽ ἧς μάλιστα ἔταττον αὐτὸ οἱ Ἀττικοὶ (Τιμ. λέξ. Ἀνάπλεως, καὶ Σουΐδ. λέξ. Ἀναπλήσας). ὅθεν καὶ διορθωτέος ἅμα καὶ ἐξηγητέος ὁ Κωμικὸς (Νεφέλ. 990, ἐκδ. Κυστέρ.), ἐν οἷς παραινεῖ τοῖς νέοις,

.................................. Ἄλλο τε μηδὲν
Αἰσχρὸν ποιεῖν, ὍΤΙ, τῆς αἰδοῦς ΜΕ΄ΛΛΕΙΣ τἄγαλμ᾽ ἀναπλήσειν.

τοῦτο ἀτυχῶς πάνυ ὁ Βρύγκιος εἰς τὸ, Ἀναπλάττειν, μετέβαλε, δέον γράφειν,

............Ο΄, ΤΙ τῆς αἰδοῦς ΜΕ΄ΛΛΕΙ τἄγαλμ᾽ ἀναπλήσειν.

τουτέστι, Μηδὲν αἰσχρὸν ποιεῖν ὅ, τι μέλλει (ἢ Μέλλοι) μολυνεῖν τὸ ἄγαλμα τῆς αἰδοῦς. τοῦτο δὲ καὶ τῶν σχολιαστῶν ἅτερος εὖ μάλα συνῆκε· φησὶ γὰρ, « Ὅπερ μέλλει μολύνειν τὴν αἰδῶ », κακῶς θατέρου διὰ τοῦ, Πληρώσειν ἑρμηνεύσαντος τὸ, Ἀναπλήσειν. — Στ. 23, Βασκανίαν.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. εἰρήκαμεν δ᾽ ἐν τοῖς πρόσθεν (σελ. 57) περὶ τῆς συντάξεως ταύτης.

Σελ. 120, στ. 1, Θιγόντες.] Ἔτρεψα εἰς ἀόριστον τὸν ἐνεστῶτα, διὰ τὰ ἑπόμενα, Μετασχόντες, καὶ, Κοινωνήσαντες, ἀοριστούμενα καὶ αὐτά.—Στ. 2, Τραπέζης κ.τ.λ.] Ταῦτα ἐν ταῖς ΔΑ594 οὕτως ἐμφέρεται, Τραπέζης τῶν αὐτῶν μεταλαχόντες, ἀέρος δὲ μόνον κ. τ. λ. — Στ. 6, Ὑπήνεμα.] Ὑπήνεμα λέγεται τὰ ἐν σκέπῃ τοῦ ἀνέμου τυγχάνοντα, ἢ γοῦν τὰ τὸν ἄνεμον ὄπισθεν ἔχοντα· οἷον ἐν τοῖς ἑξῆς (σελ. 207) ἐρεῖ, Πλοῦς ὑπήνεμος, τουτέστιν ὁ τῷ ἀνέμῳ ὄπισθεν ἐπιφερομένῳ ἀνυόμενος· τοῖς δὲ Ὑπηνέμοις ἀντίκειται τὰ Προσήνεμα. ὅθεν οἶμαι γραπτέον ἐν τῷ προκειμένῳ χωρίῳ, Ὑπηνέ-

μια, ἀπὸ μεταφορᾶς τῶν ὠῶν τῶν ἄνευ ὀχείας γεννωμένων, ἅπερ ἐκάλουν Ὑπηνέμια, Ἀνέμια, Ἀνεμίδια, Ἀνεμιαῖα, καὶ Ζεφύρια, διὰ τὸ πεπισῆεῦσθαι τὴν σύλληψιν αὐτῶν ὑπ' ἀνέμου γίγνεσθαι. ταυτὰ δὲ ταῦτα καὶ Οὔρια συνωνύμως (Οὖρος γὰρ ὁ ἄνεμος) ἐκάλεσεν Ἀριστοτέλης (Ζώων γενέσ. Γ, β'). καὶ ἡ συνήθεια δὲ ἔτι καὶ νῦν, Οὔρια ὠὰ, καλεῖ τὰ ἄγονα, καὶ, Οὔριον ἄνθρωπον, μεταφορικῶς φαμὲν τὸν μωρὸν, ὃν οἱ Ἀρχαῖοι Ἀνεμιαῖον ἔλεγον, ἐν ἀμφοτέροις τοῖς ὀνόμασιν οὐκ ἀκόμψως τῆς μεταφορᾶς αἰνιξαμένης τό, τε ἄγονον, καὶ τὸ οἱονεὶ ὑπὸ ἀνέμου σαλευόμενον τοῦ νοός. — Στ. 15, Ὁ Χαραδριός.] Τεθρύλληται τὰ περὶ τοῦ Χαραδριοῦ, οὐ πάνυ τι γνωρίμου ὀρνέου τοῖς νεωτέροις τῶν ὀρνιθιακῶν συγγραφεῦσι. περὶ δὲ τῆς μυθευομένης ταύτης ἰάσεως ἱστορεῖ καὶ Αἰλιανὸς (περὶ ζώων ἰδιότ. ΙΖ, ιγ'), καὶ Πλούταρχος (Συμποσιακ. Ε, ζ'), ἐξ οὗ καὶ κατὰ λέξιν σχεδόν τι μετενήνεκται τὰ φυσιολογούμενα ταῦτα παρ' Ἡλιοδώρῳ, καὶ ἄλλοι πολλοί. ἀπόχρη δὲ παραθέσθαι τὸ τοῦ σχολιάσαντος τὸν Πλάτωνος Γοργίαν μαρτύριον, ὅς φησιν ὅτι διὰ τοῦτο καὶ οἱ πιπράσκοντες ἐνέκρυπτον αὐτὸν, ἵνα μὴ προῖκα ὠφελοῖντο οἱ κάμνοντες· οὗ καὶ μαρτύριον παρέχεται ἐκ τῶν Ἱππώνακτος,

Καὶ μὴν καλύπτει. μῶν χαραδριὸν περνᾷς;

εἰσὶ μέντοι οἵ φασι, τῶν ἰκτερικῶν οὐ τοὺς ἰδόντας τὸν Χαραδριὸν, ἀλλὰ τοὺς φαγόντας ἀπαλλάττεσθαι τοῦ πάθους (Σχολ. Ἀριστοφ. Ὀρν. 267). — Στ. 17, Τόδε.] Ἐγκεκλιμένως ἔγραψα διὰ τὸ εὐσυνάρτητον, καίπερ οὐδ' οὕτως ἐῤῥῶσθαι μοι δοκοῦν τὰ τῆς γραφῆς τε καὶ τῆς συντάξεως. — Στ. 18, Φθονοῦν.] Ἐν τῇ Β, Φθόνου· ἐν ταῖς ΑΑ, Φθονῶν· ἐν δὲ ταῖς ΚΑ, Φθονοῦν, καὶ, Φθονῶν. — Στ. 22, Βασιλίσκος.] Ἄλλος οὗτος μῦθος, οὐ μᾶλλον πιθανὸς τοῦ προτέρου, ὁ περὶ τοῦ Βασιλίσκου, περὶ οὗ πολλὰ παράδοξα ἱστορεῖ Πλίνιος (Η, κά). — Στ. 25, Εἰ δέ τινες καὶ τοὺς φιλτάτους . . . ἀλλ' ὃ πεφύκασι.] Τοῦτο ὅλον ἐκ τοῦ Πλουτάρχου (Αὐτόθ.) « Ὥστ' οὐκ ἄξιον θαυμάζειν τοὺς τὴν φθονητικὴν » καὶ βασκαντικὴν ἀπειργασμένους ἐν ἑαυτοῖς ἕξιν, εἰ καὶ πρὸς » τὰ οἰκεῖα κατὰ τὴν τοῦ πάθους ἰδιότητα κινοῦνται· κινού- » μενοι δὲ οὕτως, ὃ πεφύκασιν, οὐχ ὃ βούλονται, ποιοῦσιν ».

Σελ. 121, σἰ. 5, Πιστικώτατα.] Ἐν ταῖς ΚΑ, Πισἰότατα. Στ. 6, Εἴθε.] Ὡς καὶ ἐν τῇ Β. τοῦτο τυπογραφικῶς ἁμαρτηθὲν παρὰ τῷ Κ, παρέλαβον ἀσκέπτως οἱ μετ᾽ αὐτόν. — Στ. 9, Δέος μὴ τοῦτο.] Ἐν ταῖς ΑΑ, Δέος εἰ τοῦτο· ἐν δὲ ταῖς ΚΑ, διπλῆ γραφὴ, Δέος εἰ τοῦτο, καὶ (ὃ μόνον ἐσἰὶν Ἑλληνικὸν), Δέος μὴ τοῦτο. τὸ δὲ ἐχόμενον, Μισόλεκτρος (ὅπερ οὐχ εὕρηται ἐν τοῖς Λεξικοῖς), ἐσἰὶν ἡ μισοῦσα τὸν γάμον. Στ. 17, Ἐπὶ μάχην ἢ πόλεμον.] Παροιμιῶδες τοῦτο, ἐπὶ τῶν βραδυνόντων· οἱ γὰρ εἰς πόλεμον ἰόντες, ἢ καὶ ὅλως τινὶ τῶν μὴ κατὰ γνώμην ἐπιχειροῦντες, βραδύνειν καὶ χρονοτριβεῖν εἰώθασιν. εἴληπται δὲ ἐξ αὐτῆς τῆς ἀρχῆς τοῦ Γοργίου τοῦ Πλάτωνος, ὅπου πρὸς τὸν Σωκράτην τοῦ συγκειμένου βραδύτερον ἀφιγμένον φησὶ Καλλικλῆς, « Πολέμου καὶ μάχης φασὶ » χρῆναι, ὦ Σώκρατες, οὕτω μεταλαγχάνειν ». — Στ. 20, Δεῦρ᾽ ἴτε.] Ὁμηρικῶς (Ἰλιάδ. Γ, 390),

Δεῦρ᾽ ἴτ᾽· Ἀλέξανδρός σε καλεῖ οἰκόνδε νέεσθαι

Στ. 22, Προσκύψας.] Οὕτω διωρθωσάμην· Προκύπτειν μὲν γάρ ἐσἰι τὸ προφαίνεσθαι, οἷον ὅταν φαμὲν Προκύπτει τῆς θύρας ἢ τῆς θυρίδος ἡ κόρη, καὶ τὸ ῥόδον τοῦ κάλυκος, καὶ Προκύπτουσι τῆς γῆς τὰ φυτὰ, ἡνίκα βλασἰάνειν ἄρχηται· Προσκύπτειν δὲ τὸ πρός τι πρᾶγμα ἢ πρόσωπον προσκλίνεσθαι. — Στ. 23, Τὴν ἀπὸ ξύλου κλῆσιν.] Παρῴδηται ἀπὸ τῆς θρυλλουμένης παροιμίας, « Ἡ ἀπὸ Σκυθῶν ῥῆσις »· ἦν δ᾽ αὕτη τὸ « Κλαίειν λέγω » ὅπερ Ἰδάνθυρσος ὁ Σκυθῶν βασιλεὺς ἀπεκρίνατο τῷ Περσῶν Βασιλεῖ Δαρείῳ, ὡς φησὶν Ἡρόδοτος (Δ, ρκζ.). — Στ. 24, Καὶ ταῦτα.] Ὑπό τι ἀκύρως ἀντὶ τοῦ, Καίπερ. — Στ. 25, Πληγὰς ἡμῖν ἐμφορήσῃ.] Ἐντεῦθεν ἡ συνήθεια παραλαβοῦσα, Ξυλοφορεῖν λέγει, τὸ Ξύλῳ πληγὰς ἐμφορεῖν.

Σελ. 122, σἰ. 7, Πυῤῥίχιον ὄρχησιν.] Τὴν καὶ διὰ μιᾶς λέξεως Πυῤῥίχην καλουμένην, ἧς εὑρετὴν τὸν Ἀχιλλέως υἱὸν Πύῤῥον (τὸν αὐτὸν ὄντα τῷ Νεοπτολέμῳ) φασί τινες. — Στ. 12, Ἐνεδείκνυτο.] Ἐκ τῶν ΑΑ. — Στ. 14, Τὸ ὄμμα ἠνεμωμένος.] Τουτέσἰιν Ἄστατον καὶ τῇδε κἀκεῖσε οἷον ὑπ᾽ ἀνέμου φερομένην τὴν ὄψιν ἔχων. τοῦτο δὲ ἐν τοῖς ἑξῆς (σελ. 146) διὰ τοῦ, Τὸ βλέμμα διέῤῥιπἰαι, ἐκφράσει. ἀποσκορακισἰέον οὖν

τὴν γραφὴν τῶν ΔΑ 481, Τὸ ὄμμα ἀνεῳγμένος, καὶ τὴν ἔτι ψυχροτέραν ταύτης διόρθωσιν τοῦ Δορβίλλου, Τὸ ὄμμα ἠνιημένος. ὁ Μ γραπτέον ἴσως φησὶ, Τὸ ὄμμα ἀνειμένος. — Στ. 20, Διάνοια γὰρ ἐρῶντος.] Ἐκ τῶν Πλουτάρχου Συμποσιακῶν (Α, ε΄), «Ἐλέχθη δὲ καὶ ὅτι τῷ μεθύειν τὸ ἐρᾶν » ὅμοιόν ἐστι· ποιεῖ γὰρ θερμοὺς καὶ ἱλαροὺς καὶ διακεχυμέ» νους ». — Στ. 24, Πρὸς τὸ ἐρᾶν ὁ μεθύων.] Οἶνος γὰρ ἔρωτος τροφὴ, ὥς ἔφησέ που καὶ Ἀχιλλεὺς ὁ Τάτιος (Β. γ΄). τοῦτο δὲ περὶ τῶν μετρίως χρωμένων οἴνῳ μάλιστα νοητέον· « Οἱ γὰρ πίνοντες πολὺν ἄκρατον ἀμβλύτεροι πρὸς »τὰς συνουσίας εἰσὶν», ἥ φησὶ Πλούταρχος (Συμποσιακ. Γ, ε΄).

Σελ. 123, στ. 3, Καθεωρακότα δὴ τὸ ἀνώμαλον.] Μακρὰ χαίρειν φράσας ταῖς ἀπροσδιονύσοις ἐξηγήσεσι τῆς προδήλως ἡμαρτημένης γραφῆς (Ἴδε τὰς ΚΑ καὶ ΔΑ198), διώρθωκα οὕτως. — Στ. 14, Ἐμψυχωμένων.] Τὸ, Ἐμψυχομένων, τῶν πρὸ ἐμοῦ (ἀπὸ τοῦ ἐμψύχω) σημαίνει Ψυχραινομένων. ἐνδέχεται μὲν οὖν καὶ, Ἐμψύχων μόνων, ὑπάρξαι τὴν ἀρχαίαν γραφήν· εἰκὸς μέντοι μᾶλλον γεγραφέναι τὸν Ἡλιόδωρον, Ἐμψυχωμένων διὰ τοῦ ω, καθάπερ διώρθωκα, παρὰ τὸ, Ἐμψυχόω. ἔστι δὲ παρακείμενος ἀναύξητος ἀντὶ τοῦ, Ἐνεψυχωμένων. ἴσως δ᾽ ἄν τις προέλοιτο διορθοῦν, Ἐψυχωμένων, παρὰ τὸ, Ψυχόω, ᾧ χρῶνται πολλάκις ὅσοι παρακμασάσης ἤδη τῆς Ἑλλάδος φωνῆς συγγράφειν ἐπεχείρησαν. ἀλλὰ καὶ αὗται αἱ παραλείψεις τῆς συλλαβικῆς τῶν παρακειμένων αὐξήσεως (οἱ γὰρ Ἀρχαῖοι ἐπὶ τῶν ὑπερσυντελικῶν τοῦτο ἐποίουν) τῶν νεωτέρων εἰσίν· ὅθεν ἡ κοινὴ συνήθεια παραλαβοῦσα ἀφεῖλε πάντων ὡς εἰπεῖν τῶν παρακειμένων τὴν αὔξησιν, περὶ οὗ καὶ ἐν τοῖς πρόσθεν (σελ. 6 καὶ 58) εἰρήκαμεν. — Στ. 24, Οὖσα.] Οὕτως ἅπαντες, πλὴν τῆς Β, ἐν ᾗ γράφεται Οὖσαν. τὴν ἀδιανόητον ταύτην γραφὴν κατεχώρισεν εἰς τὴν ἰδίαν ἔκδοσιν ὁ Μ, ὑπολαβὼν τὸ Οὖσα εἰς τὸ, Τράπεζα ἀναφέρεσθαι, καὶ διὰ ταῦτα μετατρεπτέον εἰς τὸ Οὖσαν, ἵνα ἔχῃ συντάττεσθαι τῷ Φιλίαν. ἀλλὰ τὸ μὲν Σπενδέσθω, μέσως λαμβανόμενον ἐνταῦθα, ἀπῄτει πάντως τὴν αἰτιατικὴν, Ἥδε ἡ τράπεζα σπενδέσθω ἡμῖν φιλίαν· τὸ δὲ Ἐσπείσθω, παθητικὸν ὂν, οὐ χρῄζει αἰτιατικῆς. ἔστι γὰρ ὁ

βούλεται λέγειν Καλάσιρις, Ἐσπείσθω ἡ φιλία, ἣν λέγεις, ὦ Θεάγενες, καὶ πάλαι οὖσα πρὸς σέ.

Σελ. 124, σl. 8, Μεσούσης τῆς νυκτός.] Λείπει τὸ ἄρθρον ἐν ταῖς ΑΑ. — Στ. 15, Ἴσα καὶ παισί.] Τὸ, Ἴσα τε παισὶ, πόῤῥω που Ἑλληνισμοῦ κεῖται. — Στ. 16, Ὅποι.] Τῷ, Ὅπῃ ἀνθυπέβαλον τὸ, Ὅποι. δῆλον δὲ καὶ ἐξ ὧν ἐρεῖ προϊὼν (σελ. 128) « Ὅπως μὲν λήσομεν, ὅποι δὲ τραπῶμεν ». — Στ. 23, Αὐτός γε.] Ἀντὶ τοῦ, Γε, ἐν ταῖς ΚΑ καὶ τῇ Β γράφεται, Τε. καὶ τὸ μὲν, Γε, περιττόν· τὸ δὲ Τε, πρὸς τῷ περιττῷ καὶ βάρβαρον.

Σελ. 125, σl. 4, Ἴχνια κ.τ.λ.] Ἐκ τῆς Ἰλιάδος (Ν, 71). ὅθεν ἔγραψα (ὡς καὶ ὁ Μ), Ῥεῖ', μετὰ τῆς ἐκθλίψεως, ἵν' ᾖ, Ῥεῖα, τουτέστι ῥᾳδίως. ἀντὶ δὲ τοῦ, Ἀπιόντος, αἱ ΑΑ ἔχουσιν ἐνταῦθα, Ἀπιόντων. — Στ. 8, Ἀλλ' ἢ.] Οὕτω γραπτέον ἐπιῤῥηματικῶς, καὶ οὐ συνδεσμικῶς. — Στ. 10, Ὧν ἐγώ.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 11, Ὅτε περ.] Ἴσως γραπτέον, Ἐξ οὗπερ, ὡς ἔγραψεν ἀνωτέρω (σελ. 117), ἢ, Ἐξ ὅτεπερ· λέγεται γὰρ καὶ τοῦτο, καθὰ καὶ τὸ, Ἔκτοτε. τοιοῦτόν τι καὶ τὸ παρὰ τῷ ποιητῇ (Ἰλιάδ. Ι, 106), « Ἐξέτι τοῦ ὅτε. . . ἔβης ». — Στ. 12, Ἐγκατεσπαρμένην.] Μετὰ τῆς, Ἐν, οὐ μετὰ τῆς, Σὺν, ἐνταῦθα γραπτέον εἶναι προθέσεως, αὐτὸς ὑπαγορεύσει προϊὼν ἐν οἷς φησι (σελ. 126), Τοῖς ἔπεσιν ἐναπέθετο, καὶ (σελ. 363), Τὰς ἐγκατεσπαρμένας τούτοις ὑπονοίας. — Στ. 24, Διάσλασιν.] Ἡμάρτηται τὸ, Διάσlησιν, ὡς ἐν τοῖς ἑξῆς (σελ. 403) τὸ, Μετάσlησιν. ὅθεν οὐκ ὤκνησα διορθῶσαι ἀμφότερα.

Σελ. 126, σl. 3, Τὼ πόδε ζευγνύντες.] Αἱ ΚΑ καὶ ΑΑ, Τὼ πόδε ζευγνύοντες. ἐλέγοντο δὲ τὰ τοιαῦτα ἀγάλματα ἔχειν τὰ σκέλη Συμβεβηκότα, ἃ δ' ὕσlερον κατεσκεύαζον οἱ Ἕλληνες, Διαβεβηκότα. — Στ. 8, Δεινὼ κ. τ. λ.] Ἐξ Ὁμήρου (Ἰλιάδ. Α, 200). — Στ. 11, Ῥεῖ' ἔγνων ἀπιόντος.] Ἐν ἅπασι γράφεται κατὰ ῥῆμα τριτοπροσωπικόν, Ῥεῖ, πλὴν τοῦ Μ, ὃς ἔγραψε μὲν, Ῥεῖ', ἐπιῤῥηματικῶς, καθὰ ἐποίησεν Ὅμηρος, ὑπολαμβάνει μέντοι γραπτέον εἶναι, Ῥεῖν, ἀπαρεμφάτως, οὐ μόνον διότι τὸ ἐχόμενον ἕτερον, Ῥεῖ', Ῥεῖν γράφεται ἐν τῇ Β, ἀλλ' ὅτι καὶ τοῦτο ἔοικε βούλεσθαι Ἡλιόδω-

ρος ἐνταῦθα, παραποιοῦντα δηλαδὴ καὶ παρεξηγούμενον τὰ Ὁμήρου τὸν Καλάσιριν ἐμφῆναι. τοῦτο δὲ ἐστὶ μὲν ἢ πιθανὸν, ἔστι δ' ἢ καὶ ἀντικεῖσθαι ἔοικε τῇ τοῦ Καλασίριδος ἑρμηνείᾳ· τὸ γὰρ, Οἷον ῥέοντος ἐν τῇ πορείᾳ, μᾶλλον ἁρμόζει τῷ, Ῥεῖ' ἀπιόντος (τοῦτο καὶ γὰρ μόνον καινοτομεῖ Καλάσιρις, τὸ, Ῥεῖ' τῷ, Ἀπιόντος συνάπτων, Ὁμήρου τῷ, Ἔγνων, αὐτὸ συνάψαντος) ἢ τῷ, Ῥεῖν ἀπιόντος· ἄλλως τε καὶ ἐπειδὴ αὐτὸ τὸ ἐπίῤῥημα, Ῥεῖα, παρὰ τὸ, Ῥέω ῥῆμα ἐστὶ, ὡς καὶ τὸ τῶν Γάλλων *Coulamment* (ὅ ἐστι, ῥᾳδίως) παρὰ τὸ *Couler* (ὅ ἐστι, ῥέειν). τὸ γὰρ ῥᾳδίως τι ποιεῖν, ἀκωλύτως καὶ οἷον ῥεόντως τι ποιεῖν ἐστί. — Στ. 12, Ῥεῖ' ἀπιόντος.] Ἐνταῦθα, ὡς ἔφθην εἰπὼν, μόνη ἡ Β, Ῥεῖν, ἀπαρεμφάτως· ἐν δὲ ταῖς ΑΑ, καὶ ταῖς λοιπαῖς ἁπάσαις, (πλὴν τοῦ Μ, γράφοντος Ῥεῖ'), Ῥεῖ, κατὰ ῥῆμα τριτοπροσωπικὸν, ἡμαρτημένως δηλονότι ἀντὶ τοῦ, Ῥεῖ'. — Στ. 15, Ταῦτά με.] Οὕτως ἐν ταῖς ΚΑ. — Στ. 21, Διαλαμβάνειν.] Ἐπὶ τῆς σημασίας τοῦ διηγεῖσθαι, διαλέγεσθαι, ἐκτίθεσθαι· καὶ οὐκ ὀλίγη ἡ χρῆσις παρὰ τοῖς νεωτέροις Ἕλλησιν. Οὕτω καὶ Λουκιανὸς (Ῥητόρ. Διδάσκαλ. § 21) « Καὶ » περὶ ὧν ἔφης μεταξὺ διαλαμβάνοντα », ὅπερ οὐ συνεὶς ὁ Σολάνος διώρθου βαρβάρως πάνυ, Μεταξὺ διαλέγοντα. τὸν αὐτὸν δὲ τρόπον φαμὲν καὶ ἐν τῇ κοινῇ συνηθείᾳ, Τί διαλαμβάνει ἡ ἐπιστολή; ἤγουν, περὶ τίνων ἐστὶν ὁ ἐν αὐτῇ λόγος; — Στ. 24, Ἡμεδαπὸς Αἰγύπτιος.] Ἐν Μυθιστορίᾳ μὲν οὐκ ἀηδῶς ἄν τις ἀκούοι τῶν διατεινομένων Αἰγύπτιον γεγονέναι τὸ γένος τὸν Ὅμηρον· τὸ δὲ σπουδάζοντα λέγειν ἢ πιστεύειν Ὁμήρου πατρίδα τὴν Αἴγυπτον, πᾶσαν ὑπερβέβληκεν ἀτοπίαν. ταῦτα δὲ οὐ μόνον τῶν ἀρχαίων πολλοὶ, ἀλλὰ καὶ τῶν καθ' ἡμᾶς ἐρεσχελεῖν οὐκ ὤκνησαν, περὶ ὧν ὁ βουλόμενος ἀναγνώτω τὰς εἰς τὸν Ἀθήναιον (Δ, ιδ') σημειώσεις τοῦ Κασωβῶνος, καὶ τὴν νεωστὶ ἐκδοθεῖσαν Ἑλληνικὴν Βιβλιοθήκην τοῦ Φαβρικίου (Τ. Α, σελ. 327). τῶν τοιούτων ἄρα καταμωκώμενος ὁ χαριέστατος Λουκιανὸς (Ἀληθ. Ἱστορ. Β, § 20), Βαβυλώνιον φησὶ γεγονέναι τὸν Ποιητὴν, καὶ οὐχ Ὅμηρον, ἀλλὰ Τιγράνην κεκλῆσθαι, ὕστερον δὲ, ὁμηρεύσαντα παρὰ τοῖς Ἕλλησιν, ἀλλάξαι τὴν προσηγορίαν. — Στ. 25, Θῆβαι, αἳ ἑκατόμπυλοί εἰσι.] Ἡ τῶν πρὸ ἐμοῦ γραφὴ, Θῆβαι

αἱ

καὶ ἑκατυμπυλοί εἰσι, τοῦτο βούλεται λέγειν ὡς αὐτὸς Ὅμηρος ὁμολογεῖ φάσκων ἑαυτὸν ἐκ Θηβῶν γεγονέναι, οὗ τί ἂν ψευδέστερον γένοιτο. διώρθωκα οὖν καὶ τὴν γραφὴν καὶ τὴν στίξιν, ἵνα ᾖ ὁ νοῦς, Πόλις Ὁμήρῳ Θῆβαι, ἃς ἐκεῖνος Ἑκατομπύλους ἐκάλεσεν· αἰνίττεται γὰρ δηλονότι τὸ ὑπὸ τοῦ ποιητοῦ εἰρημένον (Ἰλιάδ. Ι, 381),

........................... οὐδ' ὅσα Θήβας
Αἰγυπτίας, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται,
Α'Ι θ' ἑκατόμπυλοί εἰσι ..................

Σελ. 127, στ. 13, Ἤτοι τὸ φυγὰς κ. τ. λ.] Ὡς ἀπὸ προσώπου τοῦ Καλασίριδος ταῦτα. — Στ. 20, Ταῦτα μὲν κ. τ. λ.] Ἄρχεται πάλιν ὁ Κνήμων τοῦ λόγου. — Στ. 22, Ἀνειμένον.] Ἐν τῇ Β καὶ ταῖς ΚΑ, Ἀνηγμένον· ἐν δὲ ταῖς ΑΑ καὶ ΚΑ, Ἀνημένον. εἰκότως ὁ Κ ὑπονοεῖ τὸν Α βεβουλῆσθαι, Ἠνιγμένον, ἀπὸ τοῦ Αἰνίττομαι· καὶ γὰρ μεταφράζει, *La subtilité mistique*. ἀντὶ δὲ τοῦ Σύγκρατον, ἐν ταῖς ΑΑ ἐμφέρεται, Σύγκροτον. — Στ. 25, Θείας καὶ δαιμονίας.] Ἡ Β, Θείας κηδεμονίας· καὶ ἦν ἂν ἴσως ἡ γραφὴ οὐκ ἀπόβλητος, εἰ τοῦ, Καταβολῆς προηγοῖτο ὁ Καὶ σύνδεσμος. τὸ δὲ Καταβολῆς ταὐτὸ βούλεται τῷ Ἀρχῆς ἢ Γενέσεως· εἰκὸς γὰρ τὸν Ἡλιόδωρον, Χριστιανὸν ὄντα, ταῖς παρὰ Χριστιανοῖς ἐν χρήσει μάλιστα λέξεσι χρῆσθαι, οἷόν ἐστι τὸ « Πρὸ καταβολῆς κόσμου (Ἐφεσ. Α, 4) », καὶ τὸ « Σάῤῥα δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβε » (Ἑβρ. ΙΑ, 11) » τοῦ Ἀποστόλου Παύλου. ἐρεῖ δὲ καὶ αὖθις προϊὼν (σελ. 149), Κυοφορήσασα τὴν καταβολήν. ὀνομάζει δὲ Ἡσύχιος καὶ Καταβολάδας τοὺς κλάδους τῶν φυτῶν, αἰνιττόμενος τοὺς καταβαλλομένους εἰς γῆν κλάδους, ἐπὶ βλαστήσει νέου φυτοῦ, οὓς καὶ ἡ κοινὴ συνήθεια Καταβολάδας ἔτι καὶ νῦν καλεῖ, καὶ ῥῆμα πρὸς τούτοις σχηματίσασα τὸ, Καταβολεύω.

Σελ. 128, στ. 6, Ὅτι.] Ἐν ταῖς ΑΑ, Ὅταν. — Στ. 14, Ἐψόφει τε ἡ μέταυλος.] Ἀττικῶς ἀντὶ τοῦ Μέσαυλος, ἐλλειπτικῶς ἔξωθεν προσυπακουομένου τοῦ Θύρα. οὕτω δὲ ἐκαλεῖτο, ὥς φησιν ὁ σχολιάσας τὸν Ἀπολλώνιον (Ἀργοναυτ. Γ, 235), ἡ φέρουσα εἴς τε τὴν ἀνδρωνῖτιν καὶ τὴν γυναικωνῖτιν. τὸ δὲ Ἐψόφει οὐκ ἀντίκειται οἷς εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 34)

περὶ διαφορᾶς τοῦ Ψοφεῖν καὶ τοῦ Κόπτειν· ἄλλο γάρ ἐστι τὸ Ψοφεῖν τὴν θύραν, μεταβατικῶς, καὶ ἄλλο τὸ Ψοφεῖ ἡ θύρα, ἀμεταβάτως. οἶδε δὲ καὶ ἡ κοινὴ συνήθεια τὸ Κτυπεῖν τὴν θύραν, καὶ τὸ Κτυπεῖ ἡ θύρα. τὸ δὲ ψοφεῖν ἐπὶ τοῦ θνήσκειν λέγομεν, ὁπηνίκα τὸ θνῆσκον ἕν τι τῶν ἀλόγων ζώων ἐστὶ, οἷον « Ἐψόφησεν ὁ Σκύλος, ἢ ὁ Γάδαρος. εἰσὶ δὲ οἱ πάνυ ἀνάγωγος, ἢ μᾶλλον εἰπεῖν ἀπανθρώπως, καὶ ἐπὶ τῶν μὴ ὁμοδογματούντων χρῶνται τῇ λέξει, οἷον « Ἐψόφησεν ὁ Ἑβραῖος». καὶ ψόφος δὲ ὁ θάνατος, οἷον « Ἔπεσε ψόφος εἰς τὰ πρόβατα». δοκεῖ δὲ ἡ τοιαύτη χρῆσις τὴν ἀρχὴν εἰληφέναι ἐκ τοῦ Ὁμηρικοῦ (Ἰλιάδ. Ν, 426),

Ἢ αὐτὸς δουπῆσαι ἀμύνων λοιγὸν Ἀχαιοῖς,

ὅπου φασὶν οἱ ἐξηγήσαντες τὰ Ὁμήρου, ὅτι τὸ Δουπῆσαι (οὐδὲν ἄλλο ὂν ἢ αὐτὸ τὸ Ψοφῆσαι) ἐκ τοῦ παρεπομένου δηλοῖ τὸ ἐν πολέμῳ ἀποθανεῖν· οἱ γὰρ ἐν πολέμῳ πίπτοντες ψόφον ἀποτελοῦσι τοῖς ὅπλοις. τοιοῦτον δέ ἐστι καὶ τὸ (Ἰλιάδ. Ψ, 679),

................δεδουπότος Οἰδιπόδαο,

ἀντὶ τοῦ, Τεθνηκότος. τὸ δὲ ἐχόμενον, Καλοῦντος, Παιδίον, διώρθωκα ἐκ τῶν ΑΑ. προσεπιδιορθώσας καὶ τὴν στίξιν. ἡμάρτηται γὰρ τὸ Παιδίου συναπτόμενον τῷ Καλοῦντος· ἕτερος γὰρ ὁ Καλῶν καὶ κόπτων ἔξωθεν, τοῦ καλουμένου παιδίου, ὃ δὴ καὶ Ὑπηρέτην μετὰ μικρὸν ὀνομάζει. — Στ. 16, Καὶ κατὰ ποίαν.] Μετέβαλον τὸν διαζευκτικὸν εἰς τὸν συμπλεκτικὸν, τῆς διανοίας τοῦτο ἀπαιτούσης, ἢ κατηκολούθησαν ὅ τε Λ καὶ Α ἐν τῇ μεταφράσει. — Στ. 17, Ἀπάγγελλε.] Τοῦτο λέγει ὁ κόψας τὴν θύραν καὶ τὸ παιδίον καλέσας, τουτέστιν, Ἀπάγγελλε τῷ δεσπότῃ σου, ὅτι Θεαγένης ἐστὶν ὁ κόπτων. ὅθεν κακῶς οἱ πρὸ ἐμοῦ παρέλιπον τὴν μετὰ τὸ, Χρείαν, διαστολήν. — Στ. 25, Ἠπάτηνται.] Ἤγουν ἠπατημένως καὶ ψευδῶς νομίζουσι· οὕτω γὰρ γραπτέον, ὡς ἐμφέρεται ἐν ταῖς ΚΑ, ΑΑ ΔΑ 496 καὶ Μ. τὸ δὲ Ἥγηνται ἀπὸ τῆς Β εἰς τὰς λοιπὰς εἰσφθαρὲν οὐδὲν ἀλλ᾽ ἐστὶν ἢ ἐπεξήγησις. εἴρηκα δὲ περὶ τούτου καὶ ἐν τοῖς πρόσθεν (σελ. 30).

Σελ. 129, στ. 5, Προσιοῦσα.] Αἱ ΑΑ, Προϊοῦσαν, μετὰ τῆς Πρὸ, καὶ κατ᾽ αἰτιατικήν. — Στ. 6, Αὐτὴ περὶ αὐτήν.] Ἀπήλειψα τὸ, Τὰ, κακῶς παραπλασθὲν ἀπὸ τῆς προηγησαμέ-

της τελευταίας συλλαβῆς τοῦ Αὐτή. ἀντὶ δὲ τοῦ ἑπομένου, Παίουσα (ὅπερ ἡ χρῆσις ἀντιδιέσταλκε πρὸς τὸ, Κατορθοῦσα), ἐν ταῖς ΑΑ γράφεται, Παίουσα· καὶ ἦν ἂν ἴσως οὐκ ἐπιλήψιμος ἡ γραφὴ, εἰ προθετικῶς ἐλέγετο, Παραπαίουσα. — Στ. 8, Ἀποτυχίας.] Μῶν Ἐπιτυχίας; τοῦτο γὰρ μᾶλλον ὑπαγορεύει τὸ προηγησάμενον Κατορθοῦσα. ἀλλὰ καὶ τούτου δοθέντος, τί βούλεται τὸ Κατορθοῦν ἐπιτυχίας; τὰς γὰρ πράξεις τε καὶ ἐπιχειρήσεις τῶν πράξεων κατορθοῦσθαι ἡ χρῆσις λέγει, καὶ ὁ λόγος αἱρεῖ· ἄλλως τε τὸ Κατορθοῦν ἐπιτυχίας, ταὐτὸν ἂν εἴη τῷ Κατορθοῦν κατορθώσεις. ἐνδέχεται οὖν ἡμαρτῆσθαι τὸ χωρίον ὅλον, ὀρθῶς ἂν ἔξον εἰ οὕτω τις λέγοι, « Φαντασίαις τῶν μὴ ὄντων ὡς ὄντων, καὶ ἐπιτυχίας τῶν ἐλ» πιζομένων » τὸ μὲν Φαντασίας εἰς δοτικὴν τρέψας, τὸ δὲ διορθωθὲν Ἐπιτυχίας κατὰ γενικὴν ἐκλαβὼν ἐξηρτημένην τοῦ Φαντασίαις. καὶ εἴη ἂν ὁ νοῦς τηνικαῦτα, ὅτι ἡ ψευδὴς αὕτη σοφία μικρά τινα κατορθοῦν φαίνεται, φανταζομένη βλέπειν τὰ μὴ ὄντα ὡς ὄντα, καὶ ἀπολαύειν τῶν ἐλπιζομένων ὡς παρόντων· οἷς δὴ συνομολογεῖ καὶ Πλούταρχος (Περὶ Ἀρετ. καὶ Κακ.) ἐν οἷς λέγει περὶ κακίας, λαβὼν ἐκ τοῦ Πλάτωνος, « Ἀπολαύουσα τοῦ παρανομεῖν ὡς ἀνυστόν ἐστιν, ΕἸΔΏ» ΛΟΙΣ καὶ ΦΆΣΜΑΣΙΝ, ΕἸΣ ΟΥ̓ΔΕΜΙΆΝ ἡδονὴν » οὐδὲ τελείωσιν τοῦ ἐπιθυμοῦντος τελευτῶσιν, ἀλλὰ κινεῖν » μόνον καὶ διαγριαίνειν τὰ πάθη καὶ τὰ νοσήματα δυναμέ» νοις ». — Στ. 11, Ἡ ἀληθῶς σοφία . . . ἣν ἱερεῖς καὶ προφητικὸν γένος κ. τ. λ.] Οὐκ ἀπροσφυῶς οὐδ' ἀπροσδιονύσως τὰ περὶ τῆς διπλῆς ταύτης σοφίας μετενήνοχεν ἀπὸ τῶν θρυλλουμένων παρ' Ἰουδαίοις τε καὶ Χριστιανοῖς, περὶ τῶν Αἰγυπτίων πληγῶν. διὰ μὲν γὰρ τοῦ προφήτου καὶ ἱερέως Καλασίριδος, τὸν ἱερέα Ἀαρὼν ἠνίξατο, περὶ οὗ φησιν ὁ θεὸς πρὸς Μωϋσῆν ἡνίκα ἔπεμπεν ἀμφοτέρους πρὸς Φαραὼ, « Καὶ » Ἀαρὼν ὁ ἀδελφός σου ἔσται σου προφήτης (Ἐξόδ. Ζ) »· διὰ δὲ τῶν ἀσκούντων τὴν ἐπῳδαῖς ἐπανέχουσαν καὶ δημώδη σοφίαν, τοὺς τῶν Αἰγυπτίων ἐπαοιδοὺς λεληθότως ἐνέφηνε, οὕς φησιν ἡ Γραφὴ (Αὐτ.) ποιῆσαι μὲν καὶ αὐτοὺς ταῖς φαρμακείαις αὐτῶν ἃ καὶ Ἀαρὼν ἐποίει σημεῖα καὶ τέρατα, οὐ μὴν εἰς τέλος κατακρατῆσαι τοῦ προφήτου. — Στ. 14, Ἄστρων.]

παρὰ τὴν ὀνομαστικὴν, Ἄστρον. ἅπαντες μέντοι οἱ πρὸ ἐμοῦ, Ἀστρῶν, περισπωμένως, ὡς ἀπὸ τοῦ Ἄστρος· ὅπερ ἐνδέχεται μὲν καὶ αὐτῶν εἶναι τῶν ἀντιγραψάντων, παραχθέντων ὑπὸ τῆς καθωμιλημένης φωνῆς, ἐν ᾗ οὐ μόνον Ἄστρα (παρὰ τὸ, Ἄστρον), ἀλλὰ καὶ Ἄστρη (παρὰ τὸ, Ἄστρος) φαμέν. ἐνδέχεται δὲ καὶ αὐτὸν τὸν Ἡλιόδωρον οὕτως ἐξενέγκαι, ἢ τῇ συνηθείᾳ κατακολουθήσαντα, ἢ καί τισι τῶν ἀρχαίων οὕτω γράψασιν ἐντυχόντα. καὶ γὰρ καὶ αὐτὰ τῆς κοινῆς συνηθείας τὰ πλεῖστα, ἀκρίτως ἄν τις βαρβαρισμοῦ αἰτιῷτο διὰ τοῦτο μόνον ὅτι οὐχ εὕρηται παρὰ τοῖς σωζομένοις τῶν Ἀρχαίων συγγράμμασι· πολλοστὸν γὰρ ἴσμεν ὂν μέρος τὰ σωζόμενα τῶν ἠφανισμένων ὑπὸ τοῦ χρόνου. ἐν τοῖς τοίνυν τοιούτοις τὴν ἀναλογίαν σκεπτέον, καὶ ὀρθῶς, ἢ οὐ βαρβάρως γε ἔχειν ὑποληπτέον τοὺς ἐν τῇ κοινῇ συνηθείᾳ σχηματισμοὺς, ὁσάκις παραπλησίοις ἢ ἀναλόγοις σχηματισμοῖς τῆς ἀρχαίας χρήσεως ἐντυγχάνομεν. εἰ γὰρ τὸ Δένδρεσι τοῦ Θουκυδίδους (παρὰ τὸ Δένδρος), καὶ τὸ Κρίνεσι τοῦ Ἀριστοφάνους (παρὰ τὸ Κρίνος) ὀρθῶς ἔχει, τί μὴ καὶ τὰ ἐν τῇ συνηθείᾳ ἀπὸ κλίσεως εἰς κλίσιν ἑτέραν μεταπεσόντα, ἢ ἄλλως διφορούμενα, ὀρθῶς ἕξει; τοιαῦτα δέ εἰσι τὸ Δένδρη ἀπὸ τοῦ Δένδρος, Ἄστρη ἀπὸ τοῦ Ἄστρος (οἱ δὲ Ἀρχαῖοι καὶ Ἄστρασι, οἱονεὶ ἀπὸ τοῦ Ἄστρας, εἶπον), Οὖρος ἀντὶ τοῦ Οὖρον, Μέτρος καὶ Μέτρον, Μύρος καὶ Μύρον, Κρύος καὶ Κρύον κ. τ. λ. οὐ μόνον δὲ σχηματισμοὺς λέξεων, ἀλλὰ καὶ λέξεις ὅλας ἡ συνήθεια περιέσωσεν, αἷς ἢ οὐδόλως, ἢ ἅπαξ που, ἐστὶν ἐντυχεῖν παρὰ τοῖς σωζομένοις τῶν Ἀρχαίων συγγράμμασιν. οἷον τί λέγω; τῷ Μῆκος ἡ μὲν συνήθεια σπανίως κέχρηται, ἐπιπολάσαντος ἐν αὐτῇ τοῦ, Μάκρος· τῶν Ἀρχαίων δ' ἀνάπαλιν παρὰ μόνῳ τῷ Ἀριστοφάνει (Ὄρν. 1131) εὕρηται τὸ Μάκρος,

> Τὸ δὲ μῆκός ἐστι, καὶ γὰρ ἐμέτρησ' αὔτ' ἐγὼ,
> Ἑκατοντόργυιον.— ὦ Πόσειδον τοῦ ΜΑΚΡΟΥΣ.

καὶ περὶ μὲν τούτων τε καὶ τῶν τοιούτων, ἐπὶ τοῦ παρόντος εἰρήσθω μοι τοσαῦτα, ἐν ἄλλοις ἴσως πλατύτερον πραγματευσομένῳ. εἰ δέ τις τῷ μήκει τῶν σημειώσεων δυσχεραίνει, ἴστω με δι' οὐδὲν ἄλλο τοῦ προκειμένου θαμὰ παρεκβαίνοντα, ἢ τῶν φιλομούσων Ἑλλήνων χάριν, οἷς διαφέρει μάλιστα τὰ τοιαῦ-

τα, ἵνα διορθοῦν τὴν καθωμιλημένην γλῶσσαν σπουδάζοντες, μετὰ κρίσεως τοῦτο καὶ προσοχῆς μεγίστης ποιῶσι. ποιήσουσι δὲ, ἐὰν ἀκριβῶς τὰ ἀρχαῖα τοῖς νῦν ἑκάστοτε παραβάλλειν ἐθισθῶσι· τὸ γὰρ ἄλλως πειρᾶσθαι μετακοσμεῖν τὴν συνήθη φωνὴν, ἐντρυφῶντος, οὐ προσέχοντός ἐστι τῇ γλώσσῃ. — Στ. 21, Κατ' ἀλλήλων πόλεμον.] Ἀνεστραμμένως, ἐκ τῶν ΑΑ.

Σελ. 130, στ. 7, Καταψήσας.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Κατακρύψας, ἐξ ἀμείνονος ἴσως γραφῆς τῆς, Κατατρίψας, ὅπερ οὐδὲν ἐστιν ἄλλο ἢ ἐπεξήγησις τοῦ Καταψήσας. — Στ. 12, Σοφίᾳ.] Τοῦτο ἀβλεψίᾳ τῶν τυπογραφούντων παραλειφθὲν ἐν τῇ Κ, παρέλιπον καὶ οἱ μετ' αὐτὸν πλὴν τοῦ Μ. — Στ. 17, Καὶ Χαρικλείας.] Λείπει ὁ σύνδεσμος ἐκ τῶν ΑΑ. — Στ. 18, Θεοκλυτεῖν.] Τοῦτο κυρίως τὸν θεὸν ἐπικαλεῖσθαι σημαίνει· οἱ δ' ὕστερον καὶ ἐπὶ τοῦ, Μαντεύεσθαι κατεχρήσαντο· οἷόν ἐστι καὶ τὸ παρὰ Πλουτάρχῳ (περὶ τοῦ δαιμον. Σωκρατ.), « Τὸ μαντικὸν καὶ θεοκλυτούμενον γένος ». τὸ δ' ἐχόμενον, Μικροῦ με, ἀνθυπέβαλον τῷ, Μικρού μέν. — Στ. 21, Ὁμολογεῖν χάριν οὐκ ἐσφαλμένον.] Ἐκ τῶν ΚΑ. ἐν δὲ ταῖς ΑΑ, Ὡμολογεῖν (γρ. Ὁμολογεῖν) χάριν οὐκ ἐσφαλμένος· αἷς συνᾴδουσι πως καὶ αἱ ΔΑ 688, Ὁμολογεῖν χάριν οὐκ ἐσφαλμένως (γρ. ἐσφαλμένος). — Στ. 25, Πόθου.] Μεταμέλει μοι νῦν μὴ γράψαντι τὸ ἐν τῇ Β, Πάθους, ὅπερ ἡρμήνευσαν καὶ οἱ μεταφράσαντες Λ καὶ Α. πλὴν εἰ μή τις φαίη κἀνταῦθα τὸν Ἡλιόδωρον τοῖς συνωνύμοις, Πόθου, καὶ, Ἔρωτος, παραλλήλως χρήσασθαι, καθὰ καὶ ἀνωτέρω (σελ. 6) τῷ, Πόθος, καὶ, Ἔρως.

Σελ. 131, στ. 10, Ἐφ' ἡμᾶς.] Ἡ Β, Πρὸς ἡμᾶς. — Στ. 15, Εὔθυμος εἶναι.] Οὕτω κατ' ὀνομαστικὴν αἱ ΚΑ καὶ ΔΑ 52 καὶ 452, καὶ αὐτὸς αὖθις Ἡλιόδωρος ἐν τοῖς ἑξῆς (σελ. 222), ὡς εἰώθασι συντάττειν οἱ χαριέστεροι· ᾧ καὶ δῆλον ὅτι ἐλλειπτικὴ ἡ φράσις, ἀντὶ τοῦ, Θέλε (ἢ Βούλου, ἢ τοιούτου τινὸς ἄλλου ῥήματος) εὔθυμος εἶναι. — Στ. 23, Ἐπιθύει.] Ἐν πολλοῖς μὲν καὶ ἄλλοις ἡμαρτημένως ἡ Ἀπὸ τῇ Ἐπὶ ἀνθυπεβλήθη, ἐν δὲ δὴ καὶ τῇ συνθέσει τοῦ Θύω. Ἀποθύειν γὰρ κυρίως ἐστὶ τὸ ἀπό τινος ἀπολαβόντα καὶ χωρίσαντα θύειν, ὡς ὅτε περὶ τοῦ Σύλλα φησὶ Πλούταρχος (Σύλλ. § 35) « Ἀπο-

» θύων δὲ τῆς οὐσίας ἁπάσης ὁ Σύλλας τῷ Ἡρακλεῖ δεκά-
» την ». ὡσαύτως φαμὲν καὶ « Τὴν δεκάτην τῶν λαφύρων » ἀποθύειν ». καὶ ταῦτα μὲν περὶ τῆς διορθώσεως τῆς γραφῆς. τῷ δὲ Ἀποθύειν ἢ Ἐπιθύειν ὕμνον, μεταφορικῶς λεχθέντι, ἐχρήσατό που καὶ Συνέσιος, κατὰ τοὺς αὐτοὺς σχεδὸν χρόνους ἀκμάσας Ἡλιοδώρῳ.

Σελ. 132, στ. 7, Διαγαγούσης.] Ἐνταῦθα οὐκ ἐνεστῶτος, ἀλλὰ παρῳχημένου χρείαν εἶναι, πᾶς τις ἂν φαίη ὁ καὶ κατὰ μικρὸν λογικῆς ἐπιστήμης μετειληχώς. — Στ. 12, Ἀπολιμπανομένην.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Ἀπολειπομένην. — Στ. 18, Βουλομένῳ σοι.] Αἱ ΑΑ, Βουλομένῳ σοι ᾖ. — Στ. 19, Προφήταις καὶ τά.] Οὕτω καὶ ἡ Β. ἀλλὰ τοῦ Βουρδελότου ἐκδόντος, Προφήταις μὲν τά, οἱ μετ' αὐτόν, Προφήταις μὲν καὶ τά, ἀμφοτέρους τοὺς συνδέσμους παραλαβόντες ἐξέδωκαν. Στ. 22, Ἔχειν.] Ἔτρεψα τὸ Ὁριστικὸν εἰς τὸ Ἀπαρέμφατον, οὕτως ὑπαγορεύοντος τοῦ Ἑλληνισμοῦ. τοῦτο γὰρ παράλληλον ὅλως ἐστὶ τῷ πρόσθεν (σελ. 130) ῥηθέντι, « Παρ-
» εκάλει· μὴ γὰρ ἂν περισωθῆναι », καὶ δὴ καὶ τῷ μετ' ὀλίγα (σελ. 136) ῥηθησομένῳ, « Ἀπέπεμπον οὖν αὐτόν . . . οὐ γὰρ ἐπι
» τρέπειν τὸν νόμον ». ἐν δὲ τοῖς τοιούτοις Ἀπαρεμφάτοις ῥῆμά τι συνυπακουστέον ἔξωθεν ἀνάλογον, πρὸς ὃ ἔχοιεν ἀναφέρεσθαι, οἷον, Παρεκάλουν· ἔλεγον γὰρ ἔχειν τι κ. τ. λ. Παρεκάλει, ἔλεγε γὰρ μὴ ἂν περισωθῆναι, καὶ Ἀπέπεμπον . . . ἔλεγον γὰρ οὐκ ἐπιτρέπειν κ. τ. λ.

Σελ. 133, στ. 1, Βούλομαί σε καὶ λόγους.] Ἐκ τῶν ΑΑ. Στ. 5, Ἀπίωμεν.] Τοῦτο παρέλιπεν ὁ Λ. ἄλλως δὲ καὶ περιττὸν ἔοικε, προηγησαμένου ἤδη τοῦ Ἴωμεν. ὅθεν ὑπονοῶ τὸν Ἡλιόδωρον γεγραφέναι, Ἀπῄειμεν, τουτέστιν, ἐπορεύθημεν. Στ. 14, Φιλήσας.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Καταφιλήσας. — Στ. 18, Καὶ οὐκ ἠδικημένη παρὰ κ. τ. λ.] Οὕτως ὀρθῶς, ἄνευ τοῦ, Ἀδικουμένη, αἱ ΚΑ. — Στ. 20, Ὅδε ὁ σοφός.] Οὐκ ὤκνησα παρενεῖραι τὸ ἄρθρον, αὐτοῦ τοῦ Ἡλιοδώρου κελεύοντος (σελ. 210), « Ὅδε δὲ ὁ πρεσβύτης . . . πάρεστω ». — Στ. 21, Τὴν θείαν τέχνην.] Τὴν Ἰατρικὴν μὲν λέγει, ὡς ἐξ Ἀσκληπιοῦ τοῦ Ἀπόλλωνος· παρῃνίξατο δ' ἐν ταὐτῷ καὶ τὴν Χημείαν, ἤτοι τὴν τοῦ χρυσοῦ καὶ ἀργύρου ποίησιν, ἣν Αἰγυ-

πλίοις ἀναλιθέντες, Θείαν τέχνην οἱ μάταιοι ταύτης δημιουργοί τε καὶ συγγραφεῖς ἐκθειάζοντες ὠνόμαζον. ταύτῃ δὲ καὶ τὸν Ἡλιόδωρον ἀνθρώπινόν τι παθόντα, προσχεῖν ἀμωσγέπως οὐκ ἀπίθανον, καίπερ ψευδῶς εἰς αὐτὸν ἀναφερομένου τοῦ περὶ Χημείας ποιηματίου, περὶ οὗ εἰρήκαμεν ἐν τῇ πρὸς Ἀλέξανδρον ἐπιστολῇ. — Στ. 24, Ποιοίης.] Οὕτω χρῆναι γράφειν, δῆλον καὶ ἐκ τῶν μικρῷ πρόσθεν (σελ. 132) εἰρημένων, « Δικαίως μὲν ἂν . . . ποιοίης ».

Σελ. 134, στ. 4, Ἐπένευε.] Ἐκ τῶν ΚΑ. — Στ. 8, Τῇ Χαρικλείᾳ.] Διώρθωκα οὐδὲν μελλήσας τὸν σολοικισμὸν, τοῦ Ἐμποιεῖν δοτικὴν προσώπου πάντως ἀπαιτοῦντος, ὡς ἔστιν ἰδεῖν καὶ ἐν τοῖς ἑξῆς (σελ. 169). — Στ. 11, Βούλησιν.] Ἐν ταῖς ΑΑ, Βουλήν. καὶ ἴσως τῇ κοινῇ κατακολουθήσας συνηθείᾳ οὕτως ἔγραψεν ὁ Ἡλιόδωρος· Βουλὴν γὰρ φαμὲν ἣν οἱ Ἀρχαῖοι Βούλησιν ἔλεγον. Ἴσως δὲ καὶ αὐτοῖς τοῖς ἀρχαίοις οὐκ ἦν ἄγνωστον τὸ Βουλὴ ἐπὶ τῆς σημασίας ταύτης· τὸ γοῦν τοῦ Ὁμήρου (Ἰλιάδ. Α, 5),

. . . . . . . . . . . . . . Διὸς δ' ἐτελείετο βουλὴ,

οὐκ ἂν ἄτοπος δόξειε ὁ μεταφράσας εἰς τὴν καθωμιλημένην γλῶσσαν, « Ἐγίνετο δὲ τὸ θέλημα τοῦ Διός ». ὅθεν καὶ Ἡσύχιος, Βουλὴ (φησὶ), γνώμη, θέλημα. ἃ γάρ τις βουλεύεται ποιεῖν ταῦτα καὶ βούλεται, καὶ ἀνάπαλιν.

Βιβλίῳ Δ, Σελ. 135, στ. 5, Τὸν ἴδιον.] Ἀρσενικῶς ἐξενεκτέον τὸ ἄρθρον διὰ τὸ, Ἀγώνων. ἐνδέχεται μέντοι καὶ τὸν Ἡλιόδωρον γράψαντα πρῶτον, Ἀγωνισμάτων, εἶτα τρέψαντα τὴν γραφὴν, ἐπιλαθέσθαι τῆς τοῦ ἄρθρου τροπῆς. τὸ δ' ἐχόμενον, Γάρ τοι, καὶ τυφλῷ δῆλον γραπτέον εἶναι, Γάρ τι, ὡς καὶ ἐν τοῖς ἑξῆς (σελ. 427). μυρία δὲ τοιαῦτα τῶν ἀντιγραψάντων παροράματα διωρθώκαμεν ἐν ὅλῳ τούτῳ τῷ δράματι, ὡς δῆλον γενήσεται προϊοῦσι. — Στ. 8, Δρόμων ἅμιλλαι.] Καταλέγει ἐνταῦθα τὰ κατὰ μέρος ἀγωνίσματα, ἀλλ' οὐ πάντα. ἠκολούθησε δὲ τῇ ἐν Ὀδυσσείᾳ, (Θ. 120) τάξει, παραλιπὼν τὰ ἐν μέσῳ, τό τε Ἅλμα φημὶ, καὶ τὸν Δίσκον. ἡ δὲ τάξις αὕτη μάχεται τοῖς ἀλλαχοῦ (Ὀδυσσ. Θ, 206, 246, καὶ Ἰλιάδ. Ψ, 621 – 637) τῷ Ποιητῇ εἰρημένοις· περὶ ὧν καὶ Πλούταρχος (Συμποσιακ. Βιβλ. Β, Προβλ. 5) διελέξατο.

Στ. 10, Οἱ ὁπλῖται παριόντων.] Τουτέστιν οἱ Ὁπλιτοδρόμοι, οἳ τῶν ἄλλως δρομέων ἢ σταδιοδρόμων καλουμένων τούτῳ μόνῳ διέφερον ὅτι ἐν ὅπλοις ἔτρεχον, ἐκείνων ἀνόπλων θεόντων. εἰκὸς δὲ ἐνταῦθα τὴν γραφὴν ἡμαρτῆσθαι. ὁ μὲν γὰρ Κ ἀναγινώσκει, Ἄνδρες ὁπλῖται παριόντων, ᾧ κατηκολούθησαν οἱ μετ' αὐτὸν ἅπαντες, συνομολογουσῶν καὶ τῶν ΚΑ καὶ ΑΑ· ἐν δὲ τῇ Β, Ὁπλῖται παριόντων, ἐμφέρεται, ἄνευ τοῦ, Ἄνδρες, ἣν ἐγὼ τῆς ἑτέρας γραφῆς προειλόμην τὸ ἄρθρον μόνον προσθεὶς, οὐδὲν ἧττον δοκοῦν ἀναγκαῖον ἢ ἐν τοῖς ἑξῆς (σελ. 383) « Ἡκόντων δὲ καὶ οἱ λοιποί ». καὶ ὁ παρὰ τῷ Κωμικῷ (Ὄρν. 448) δὲ κήρυξ ἐνάρθρως καλεῖ λέγων,

Ἀκούετε λεῴ· ΤΟΥ̓Σ ὉΠΛΊΤΑΣ νυνμενὶ,
Ἀνελομένους θὤπλ', ἈΠΙΈΝΑΙ πάλιν οἴκαδε.

τῷ γὰρ ἐν πολλοῖς κηρύττοντι, καί τινας ἐξ αὐτῶν καλοῦντι, διορισμοῦ χρεία, τίνας ἀνίστασθαι ἢ παριέναι βούλεται πρὸς ἀντιδιαστολὴν τῶν κατὰ χώραν μενούντων. — Στ. 17, Ἐπέστρεψεν.] Ὡς ἐν τῇ Β, ᾗ οὐκ ἀντιλέγουσιν αἱ ΑΑ. τὸ δὲ Ἐπέτρεψεν, τοῦ Κ, τυπογραφικῶς ἡμαρτημένον παρέλαβον ἀσκέπτως οἱ μετ' αὐτόν.

Σελ. 136, στ. 6, Τῷ μέν.] Οὕτω γραπτέον εἴκασα ἐκ τῆς ἡμαρτημένης γραφῆς, Τὸ μὲν, τῶν ΑΑ. ἀντὶ δὲ τοῦ προσεχοῦς Ἐπέταττον γράφεται ἐν ταῖς ΑΑ καὶ ΚΑ, Προσεπέταττον. — Στ. 8, Παρῄει.] Ἐκ τῶν ΚΑ. — Στ. 10, Ἐπίδοξος ὡς ἐδόκει, καὶ πολλοὺς ἤδη κ. τ. λ.] Τὸ Ἐπίδοξος δύναται μέν ποτε ταὐτὸν τῷ Ἔνδοξος ἢ Ἐπίσημος, ὡς ἐν τοῖς ἑξῆς (σελ. 442)· ἀλλὰ τοῦτο τῆς Ἀττικῆς ἀπελήλαται κομψείας, καθὰ φησὶ Φρύνιχος, « Ἐπίδοξον τὸν προσδοκώμενον καὶ ἐλ-» πιζόμενον ἐρεῖς, οὐχ, ὡς οἱ ἀμαθεῖς, τὸν ἐπίσημον »· ᾧ συνᾴδει καὶ Ἀμμώνιος, καὶ πρὸ πάντων ἡ χρῆσις, οὐ μόνον τῶν Ἀττικιζόντων, ἀλλὰ καὶ τῶν ὁπωσοῦν ἑλληνίζειν εἰδότων. διά τε οὖν ταῦτα, καὶ διὰ τὸ παρεμβεβλημένον, Ὡς ἐδόκει, ὅπερ οὐδὲν ἀλλ' ἢ ἐπεξήγησις τοῦ Ἐπίδοξος εἶναι φαίνεται, ἡμαρτῆσθαι τὴν γραφὴν ὑπονενόηκα. καί μοι δοκεῖ τὸν Ἡλιόδωρον ἀντὶ τοῦ, Ἐπίδοξος ὩΣ ἘΔΟΚΕΙ, ΚΑ'Ι πολλοὺς, γεγραφέναι, Ἐπίδοξος ὮΝ ΝΙΚΗ͂ΣΑΙ, πολλοὺς κ. τ. λ. ὁ δὲ νοῦς πρόδηλος, ὅτι μόνος αὐτὸς ἐπροσδοκᾶτο

παρὰ πάντων, ἢ ἐδόκει πᾶσι νικῆσαι, διὰ τὸ πολλοὺς πρότερον ἀγῶνας ἀναδήσασθαι. οὐκ ἄκαιρον δ' ἴσως παραθέσθαι καὶ Πλουτάρχου μαρτύριον, ἐξ ὧν περὶ τοῦ ἐν Κρήτῃ ταύρου φησὶ (Θησ. § 19), « Τὸν ἀγῶνα τοῦ Μίνω συντελοῦντος, » ἐπίδοξος ὢν ἅπαντας πάλιν νικήσειν ὁ Ταῦρος ἐφθονεῖτο ». Στ. 11, Τότε δὲ.] Καταλληλότερον ἀνταποδίδοται τοῦτο τῷ προηγησαμένῳ, Πρότερον, ἢ τὸ, Τότε δή.—Στ. 15, Ὁ δὲ.] Ἐν ταῖς ΑΑ γράφεται, Ὃς δέ· ὅθεν ὑπονοῶ τὸ πάλαι γεγράφθαι, Ὡς δὲ, ὅπερ ἄριστα συνάψεις τοῖς ἑξῆς, εἰ πρὸ τοῦ Ἐπέταττον (ὃ δὴ, Ἔταττον γράφεται ἐν ταῖς ΑΑ) ἀντὶ τελείας ὑποστιγμὴν θείης. — Στ. 17, Ἥκειν τὸν ἐπελευσόμενον.] Ἤγουν τὸν βουλόμενον ἐπελθεῖν καὶ ἀνταγωνίσασθαι· τοῦτο γὰρ πολλάκις οἱ Μέλλοντες δύνανται. κρεῖττον δὲ ἐξαλείφειν τὰς τρεῖς ταύτας λέξεις, Ἥκειν τὸν ἐπελευσόμενον, αἳ οὐδὲ ἐν ταῖς ΑΑ ἐμφέρονται· τὸ γὰρ ἑξῆς λεγόμενον ὑπὸ Θεαγένους, Οὗτος ἐμὲ καλεῖ, ἄμεινον ἂν ἀναφέροιτο πρὸς τὸν ὡπλισμένον καὶ μέγα φρονοῦντα. — Στ. 20, Οὐ γάρ τις . . . χειρῶν τὸ νικητήριον ἀποίσεται.] Παρῴδηται ἐκ τῶν εἰρημένων τῷ Ἀχιλλεῖ (Ἰλιάδ. Α, 88),

> Οὔ τις, ἐμεῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο,
> Σοὶ κοίλῃς παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει.

καὶ ὅρα ὅπως τῷ Ζῶντος, τὸ Παρόντος, τῷ Δερκομένοιο, τὸ Ὁρῶντος, τῷ Χεῖρας ἐποίσει, τὸ Ἐκ τῶν χειρῶν ἀποίσεται, οὐκ ἀηδῶς ἀντιπαρέθηκε.

Σελ. 137, στ. 4, Τῶν ὑπ' αὐτοῦ κεκρατημένων.] Διορθούσθω ἐντεῦθεν πάρεργον ὁ Πλούταρχος (Γαμ. Παραγγελμ.) « Τοὺς μὲν αὐστηροὺς καὶ σώφρονας βαρυνομένας, τοῖς » δ' ἐξ ἀκρασίας καὶ φιληδονίας ΚΕΚΡΑΜΕ´ΝΟΙΣ, ὥσ» περ κυσὶν, ἢ τράγοις, συνούσας »· ὅπου γραπτέον ΚΕΚΡΑΤΗΜΕ´ΝΟΙΣ. — Στ. 5, Κόμπου προσεῖναι.] Τὸ μὲν, Κόμπου ἐκ τῶν ΚΑ, τὸ δὲ, Προσεῖναι ἐκ τῶν ΔΑ 337. — Στ. 15, Τὴν ἐπὶ Σκαμάνδρῳ μάχην.] Ἣν Ὅμηρος ἱστορεῖ (Ἰλιάδ. 233). ἀντὶ δὲ τοῦ ἐχομένου, Παρίστησιν. ἐκεκίνητο, Ἡ Β, Παρίστησι. κεκίνητο. — Στ. 19, Ἐκεκίνητο δὲ ἡ.] Γραπτέον, Ἐκεκίνητο δὲ καὶ ἡ· ἐν γὰρ ταῖς ἐπαναλήψεσι τῶν

αὐτῶν ῥημάτων ἀντιδιαιρουμένων τῷ Μὲν καὶ τῷ Δὲ, προστίθεται κομψῶς ὁ Καὶ σύνδεσμος, ὃν καὶ ὁ Λ ἐξέφρασε.

Σελ. 138, σ7. 1, Τὴν τῶν Ὀφθαλμῶν.] Ἔκ τε τῆς γραφῆς τῶν ΑΑ, Τῶν ὀφθαλμῶν, ἄνευ τοῦ πρώτου ἄρθρου, καὶ τῆς τῶν λοιπῶν, Τὴν ὀφθαλμῶν, ἄνευ τοῦ δευτέρου, τρίτην ταύτην ἀμφότερα παραλαβὼν γέγραφα. — Στ. 3, Ἡ κόρη.] Ἐν ταῖς ΑΑ, Ἡ Χαρίκλεια. — Στ. 4, Ἐσκίρτων.] Ἐν ταῖς ΚΑ, Ἔσκαιρον, ἧ γραφῇ παρατέθεικεν ὁ Κ τὸ Ὁμηρικὸν (Ἰλιάδ. Σ. 572),

Μολπῇ τ' ἰϋγμῷ τε, ποσὶ σκαίροντες ἕποντο.

τούτῳ δὲ τῷ Σκαίρειν, χρήσεται ἐν τοῖς ἑξῆς (σελ. 431) Ἡλιόδωρος.—Στ. 6, Οἱ μὲν δὴ θεαταὶ κ. τ. λ.] Κατ' ἀντίπτωσιν, περὶ ἧς εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 2). — Στ. 14, Ἐπιστρέψας.] Ἐν ταῖς ΑΑ καὶ ΚΑ, Ὑποστρέψας. Στ. 17, Καθάπερ βέλος.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. οἱ δὲ λοιποὶ Βέλος (ἡ Β, Τέλος) ἄνευ τοῦ, Καθάπερ. τὸ, Καθάπερ παραλειπτέον εἶναι διατείνεται ὁ Κ, ὡς κομψῶς συνυπακούεσθαι δυνάμενον· ὅπερ οὐδ' ἐμὲ λέληθε. ἀλλ' ἔστιν οἶμαι πρὸς ἐκδότου λελογισμένου, μὴ μόνον τὶ τὸ κομψόν τε καὶ μὴ, θεωρεῖν ἑκάστοτε, ἀλλὰ καὶ τὰς ἐμφερομένας γραφὰς περισώζειν, ὅταν μηδὲν ἔχωσιν ἄκομψον, ἢ τοῦ Ἑλληνισμοῦ ἀπᾷδον. φέρε δὲ καὶ παραδείγμασιν ἐξ αὐτοῦ τοῦ Ἡλιοδώρου πιστωσόμεθα τὰ λεγόμενα. τοιαῦτα δὲ ἐστὶ, (σελ. 55) Καθάπερ ἀπὸ ὕσπληγγος, (σελ. 230) Οἷον ἐπὶ σκοπὸν, (σελ. 265) Ὥσπερ βέλει, (σελ. 374) Καθάπερ αὐλοὺς, (σελ. 412) Οἱονεὶ κέρας, (σελ. 432) Καθάπερ σάλπιγγι. — Στ. 18, Τοσοῦτον ... ὃ διαλεῖπον εἰς ὕστερον ἐμετρήθη.] Ἡμάρτηται πάντως ἡ γραφή. ἐν μὲν γὰρ ταῖς ΑΑ, ἀντὶ τοῦ, Τοσοῦτον, ἐμφέρεται, Τοσούτων, ὅπερ οὐκ ἀπεικότως συντάξειεν ἄν τις τῷ Ὀργυιῶν· ἐν δὲ ταῖς ΑΑ, λείπει τὸ Ὃ, ὥστε τὸ Διαλεῖπον ἀναφέρεσθαι ἀμέσως εἰς τὸ Πλῆθος. ὑπονοῶ τοίνυν γεγραφέναι τὸν Ἡλιόδωρον, « Τοσούτων (ἢ Τοσοῦτον) παρέφθη τὸν Ἀρ-» κάδα ὀργυιῶν πλῆθος διαλιπὼν, ὡς ὕστερον ἐμετρήθη » καθάπερ ἐξέφρασε κατὰ λέξιν καὶ ὁ Α, *Laissant derriere lui l'Arcadien de plusieurs brasses, comme l'on le mesura puis apres.* — Στ. 20, Πολὺς ... ἐμπίπτει.] Χαίρει τῷ Πολὺς

Εὐριπίδης ἐπὶ τῆς σημασίας τοῦ Σφοδρὸς· τοῦτο δὲ ἀντ᾽ ἐπιῤῥήματος τοῦ Σφοδρῶς.—Στ. 22, Τὸν φοίνικα κομιζόμενος.] Οὐ μάχεται τοῦτο τοῖς ἱστορουμένοις περὶ τῶν κατὰ τὴν Ἑλλάδα τεσσάρων ἀγώνων, ὧν τὰ μὲν Ὀλύμπια Κότινον εἶχεν ἔπαθλον, τὰ δὲ Πύθια, Μῆλα (ἢ κατ᾽ ἄλλους Μηλέαν), τὰ δὲ Νέμεα, Σέλινον, τὰ δὲ Ἴσθμια, Πίτυν. καὶ γὰρ, ὥς φησι Πλούταρχος (Συμποσιακ. Η, δ᾽), τῶν τεσσάρων τούτων ἀγώνων ἄλλου ἄλλον ἔχοντος στέφανον ἴδιον, ὁ φοίνιξ κοινὸς ἦν ἁπάντων. εἰκὸς δὲ καὶ τὰ περὶ τῶν ἐπάθλων ἄλλοτε ἄλλως διαιτηθῆναι· καὶ τῶν Ἰσθμίων γὰρ ἦν ὅτε οὐ πίτυς, ἀλλὰ σέλινον ἦν τὸ ἔπαθλον, ὡς αὐτὸς αὖθις εἴρηκε Πλούταρχος (Αὐτ. Ε, γ᾽ καὶ Τιμολέοντ. § 26). ἄλλως τε, τῷ στεφανουμένῳ ἑνὶ ὁτῳοῦν τῶν καταλεχθέντων στεφάνων νικητῇ οὐδὲν ἐκώλυε καὶ φοίνικος σπάδικα προσεπιδιδόναι· ὃ δὴ καὶ ῥητῶς φέρεται παρὰ Παυσανίᾳ (Η, σελ. 697) « Οἱ δὲ ἀγῶνες φοίνικος » ἔχουσιν οἱ πολλοὶ στέφανον· ἐς δὲ τὴν δεξιὰν ἐστι καὶ πανταχοῦ τῷ νικῶντι ἐστιθέμενος φοίνιξ ».

Σελ. 139, στ. 3, Μοίρας τῆς νυκτὸς παρῳχηκυίας.] Καὶ τοῦτο ἐξ Ὁμήρου (Ἰλιάδ. Κ, 252),

. . . . . . . . . . . . . . . . . . . . παρῴχηκεν δὲ πλέων νὺξ
Τῶν δύο μοιράων, τριτάτη δ᾽ ἔτι μοῖρα λέλειπται.

Στ. 5, Οὐκ ἀποκναίεις.] Οὐκ ἔῤῥωται ἡ λέξις· ὀρθῶς μὲν γὰρ ἂν λέγοιτο, Ἡ διήγησις μηκυνομένη οὐκ ἀποκναίει σε· ὁ δὲ ἀνάπαλιν λέγων, Οὐκ ἀποκναίεις τὴν διήγησιν, ἀκυρολογεῖ· χωρὶς εἰμὴ ἐπὶ τοῦ, Ἀποκόπτεις, ἤγουν παύεις τὴν διήγησιν, ἐχρήσατο τῇ λέξει, χρῆσιν οὐδὲ ταύτην ἀνεπίληπτον, καίπερ τὸ Ἀποκόπτω κυρίως σημαίνοντος τοῦ, Ἀποκναίω, ὅθεν καὶ Κνήσματα (παρὰ τὸ Κναίω) τὰ εἰς μικρὸν συγκεκομμένα. ἴσως οὖν γραπτέον μετὰ τῆς προθέσεως, Καὶ πρὸς τὴν διήγησιν μηκυνομένην οὐκ ἀποκναίῃ. — Στ. 6, Φιλότητος, κόρον.] Φιλότητα λέγει τὴν μετὰ γυναικὸς μίξιν, ἐξ Ὁμήρου (Ἰλιάδ. Ν, 636) λαβὼν,

Πάντων μὲν κόρος ἐστὶ, καὶ ὕπνου καὶ φιλότητος.

τριχῶς δὲ ἡμάρτηκεν ἐνταῦθα Ἡλιόδωρος, τοῦ Ὁμήρου καθαπτόμενον πλάττων τὸν Κνήμωνα, διότι τε ψεῦδός ἐστι τὸ μὴ εἶναι κόρον φιλότητος, καὶ ὅτι ἀκόλαστον τὸ τοιοῦτον δόγ-

μα, καὶ τῷ τὰ Μιλησιακὰ συγγράψαντι μᾶλλον, ἢ Ἡλιοδώρῳ πρέπον, καὶ ἄλλως οὐκ ἀναγκαῖον τῇ διαθέσει τοῦ δράματος. φέρε γὰρ, εἰ οὕτως ἔλεγε, « Ἐγὼ καὶ Ὁμήρῳ μέμ-
» φομαι, πάτερ, πάντων κόρον εἶναι φήσαντι· τὰ γὰρ τοιαῦτα
» διηγήματα, κατ' ἐμὲ κριτὴν οὐδεμίαν φέρει πλησμονήν·
» εἰδέ τις καὶ τῆς Θεαγένους νίκης, μνημονεύοι. κ. τ. λ. », μὴ ἂν παρὰ τοῦτο κεκολοβῶσθαι φαῖμεν τὸν λόγον; μακρῷ ἄρα ἄμεινον Πίνδαρος ἐμιμήσατό τε καὶ ἐξηγήσατο τὸν Ὅμηρον εἰπὼν (Νεμ. Ζ, 77),

........................ Κόρον δ' ἔχει
Καὶ μέλι, καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια.

Στ. 8, Οὔτε καθ' ἡδονήν.] Ἐξετόπισα τὸ ἄρθρον, παρεισερπύσαν ἀβλεψίᾳ τῶν γραψάντων· πλὴν εἰ μή τις εἰς τὸ ἐγκλινόμενον, Τῳ (ἤγουν, Τινὶ) τρέπειν αὐτὸ βούλοιτο, Οὔτε τῳ καθ' ἡδονὴν ἀνυόμενον — Στ. 11, Ἀδαμάντινος ἢ σιδηροῦς τὴν καρδίαν.] Πλούταρχος ἐν τῷ, Πῶς ἄντις ὑπ' ἐχθρῶν ὠφελοῖτο, φησὶ, « Κεῖνος ἐξ ἀδάμαντος ἢ σιδάρου κεχάλκευται μέλαι-
» ναν καρδίαν », παραλαβὼν ἐξ οὐκ οἶδα τίνος ποιητοῦ, ὃν παρῳδεῖ ἐνταῦθα καὶ Ἡλιόδωρος. — Στ. 19, Πυρὶ γιγνομένη.] Οὐκ ὀρθῶς ὁ Μ οἴεται διορθωτέον εἶναι, Πυρὶ ἐγγιγνομένη, ἢ Πυρὶ πλησίον γιγνομένη. — Στ. 23, Λάθοιμεν ἂν, ἐπισκοπῶν.] Διέστησα τὸ προθετικῶς συναφθὲν τῷ Ἐπισκοπῶν, τρέψας εἰς τὸν δυνητικὸν σύνδεσμον. — Στ. 24, Παραπέμποι.] Αἱ ΚΑ καὶ ΑΑ, Ἄρα πέμποι.

Σελ. 140, σ. 2, Αὐτούς.] Ἐν ταῖς ΑΑ, Αὐτὸς· ἐν δὲ ταῖς ΚΑ, Ἀκτάς. — Στ. 3, Ἴξεσθ'.] Οὕτως ἐνταῦθα διὰ τοῦ ι, ἡ Β.

Σελ. 141, σ. 4, Σεσηρός.] Ἐξηγεῖται Ἡσύχιος τὸ Σεσηρυῖαι διὰ τοῦ « Γελῶσαι κατὰ (γρ. μετὰ) θυμοῦ, ἢ ἐν ὑποκρίσει, ἢ
» προσποιητῶς ». ἔστι δὲ ἀπὸ τοῦ Σαίρω, τοῦ δηλοῦντος τό τε ὑποφαίνειν τοὺς ὀδόντας χαίνοντα, καὶ τὸ ἄλλως λεγόμενον Σαρόω, ἤγουν φιλοκαλῶ. ἐπεὶ δὲ τῶν χαινόντων οὕτως, εἰς τὰ πλάγια ἑκατέρωθεν τοῦ στόματος παρέλκεται καὶ οἷον ῥυτιδοῦται τὸ πρόσωπον, ἐντεῦθεν ἡ τῶν πολλῶν συνήθεια, παραφθείρασα τὸν δεύτερον σχηματισμὸν, ἐποίησε τὸ Ζαρόνω, τροπῇ τοῦ Σ εἰς Ζ (ὡς καὶ ἐν τῷ Ζόχος ἀπὸ τοῦ Σόγχος, καὶ

ἄλλοις) ἐπὶ τῆς σημασίας τοῦ τε Ῥυτιδῶ καὶ τοῦ Ῥυτιδοῦμαι. — Στ. 5, Τηνάλλως.] Οὕτως αἱ ΚΑ. ἡμαρτημένως ἅπαντες οἱ πρὸ ἐμοῦ (οὐδ' αὐτοῦ τοῦ Κ ἐξῃρημένου) Τινάλως ἔγραψαν δι' ἑνὸς λ· σύγκειται γὰρ ἡ λέξις ἐκ τοῦ Τὴν ἄρθρου καὶ τοῦ ἄλλως ἐπιῤῥήματος, συνυπακουομένου ὀνόματος τοῦ, Ὁδὸν, ἢ ἄλλου του τοιούτου. τοῦτο δὲ δῆλον ἔκ τε τοῦ παρακειμένου Πλανᾶσθαι (οἱ γὰρ πλανώμενοι οὐ τὴν ἐπὶ τὸ προκείμενον ἀλλὰ τὴν ἄλλως, ἤγουν τὴν ἐπ' ἄλλα φέρουσαν ἴενται), καὶ μάλιστα ἐκ τῆς Πλατωνικῆς (Θεαιτ. σελ. 172) ῥήσεως ταυτησὶ, «Οἱ δὲ λόγοι ἀεὶ περὶ ὁμοδούλου, » πρὸς δεσπότην καθήμενον· καὶ οἱ ἀγῶνες οὐδέποτε ΤΗ-» ΝΑΛΛΩΣ, ἀλλ' ἀεὶ ΤΗΝ περὶ αὐτοῦ». ταύτῃ προσθεῖναι οὐκ ἄκαιρον καὶ τὸ τοῦ Ἀριστοφάνους (Ὀρν. 4) διαλελυμένως τε καὶ ἐντελῶς ἐξενεγκόντος αὐτὸ δὴ τοῦτο τὸ Τηνάλλως,

Τί, ὦ πόνηρ', ἄνω κάτω πλανύττομεν;
Ἀπολούμεθ', ἌΛΛΩΣ ΤῊΝ ὉΔῸΝ προφορουμένω·

ἐρεῖ δὲ προϊὼν (σελ. 221) καὶ Ἡλιόδωρος «Ἐγὼ δὲ τηνάλλως » πόῤῥωθεν εἱπόμην». — Στ. 16, Ἔφην.] Προσέθηκα τοῦτο ἐκ τῶν ΑΑ. — Στ. 17, Δ' ἑαυτόν.] Πρόδηλος ἡ αἰτία τῆς διορθώσεως.

Σελ. 142, στ. 20, Τὸ αἰδούμενον.] Ἤγουν τὴν αἰδῶ. Μετοχαῖς ἀντ' ὀνομάτων χρῆσθαι φιλεῖ Ἡλιόδωρος, οἷον, Τὸ λογιζόμενον (σελ. 71) ἀντὶ τοῦ, Τὸν λόγον, Τὸ ἡδόμενον (σελ. 178) ἀντὶ τοῦ, Τὴν ἡδονὴν, Τὸ θυμούμενον (σελ. 365) ἀντὶ τοῦ, Τὸν θυμὸν, καὶ ἀλλαχοῦ. ἦν δὲ καὶ τοῖς Ἀρχαίοις ἐν χρήσει τὸ σχῆμα τοῦτο, οἷον τὸ παρ' Εὐριπίδῃ (Ἰφιγ. Αὐλ. 1270),

Οὐδ' ἐπὶ τὸ κείνου βουλόμενον ἐλήλυθα.

τῶν δὲ μεταγενεστέρων μάλιστα πάντων καὶ κατακόρως ἐχρήσατο Πλούταρχος, οἷον (Μαρκέλλ. §. 2) «Μεμιγμένον » ἀπαύστῳ θυμουμένῳ τὸ αἰδούμενον» ἀντὶ τοῦ Μεμιγμένην ἀπαύστῳ θυμῷ τὴν αἰδῶ. — Στ. 24, Ἰατρῶν.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ.

Σελ. 143, στ. 14, Ὁρᾶν ἐμὲ Χαρίκλεια.] Ἀπὸ κοινοῦ παραλαμβανομένου τοῦ Εὔχεται. ἐν τῇ Β γράφεται, Ὁρᾶν ἐμὲ

Χαρίκλειαν· ἐν δὲ ταῖς ΔΑ 707, Ἐρᾷ μου Χαρίκλεια. — Στ. 16, Ἐπιλαβόμενος.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ.

Σελ. 144, σῖ. 1, Πρὸς γάμον.] Ἐν ταῖς ΑΑ, Καὶ πρὸς γάμον, μετὰ τοῦ συνδέσμου. — Στ. 9, Ξίφος τοὐμὸν ἀργήσει.] Ἐξ Εὐριπίδου τοῦτο παρῳδῆσθαι ἐσημειωσάμεθα ἐν τοῖς πρόσθεν (σελ. 5). — Στ. 10, Πείθεσθαι.] Ἀπαρεμφατικῶς γραπτέον, ὡς γράφεται ἐν ταῖς ΑΑ, ὑπαγορεύει καὶ τὸ προσεχῶς εἰρημένον Πράττειν. περὶ δὲ τῶν τοιούτων ἐλλειπτικῶν φράσεων, φθὰς ὁ λόγος διείληφε (σελ. 133). — Στ. 23, Μηδενὸς τῶν μειζόνων ὀχλήσαντος.] Οὕτως ἐν ταῖς ΚΑ καὶ ΑΑ, ἀντὶ τοῦ Μηδενὶ τ. μ. ὀ. τῶν λοιπῶν· ἐν δὲ ταῖς ΔΑ 568 γράφεται, Μηδενὶ τῶν νομιζομένων ὀχλήσαντος. ἔστι δὲ τῶν γραφῶν τούτων οὐδεμία σαφής· εἰ μὲν γὰρ τὸ, Ὀχλήσαντος, συνάψοις τῷ, Ἐμοῦ, ἀναγνωστέον, Μηδενὶ τῶν μειζόνων ὀχλήσαντος, ἵνα ᾖ τὸ λεγόμενον, Εὔδηλον ἦν ὅτι εἴξει τὸ πάθος καὶ τῇ πρώτῃ ἐμοῦ προσβολῇ, καίπερ οὐδενὶ τῶν μειζόνων πράγματα παρασχόντος, τουτέστι μηδένα τῶν μειζόνων θεῶν ἢ δαιμόνων ἐπικαλεσαμένου εἰς θεραπείαν τῆς κόρης. ταύτην δοκοῦσι τὴν γραφὴν προελέσθαι ὅ τε Λ καὶ Α, καίπερ ἀτελῶς πάνυ ἐκφράσαντες ἀμφότεροι τῶν λεγομένων τὸν νοῦν. ταύτην δὲ καὶ τῇδε τοῦ Πλουτάρχου (Ἑπτ. Σοφ. συμποσ. § 3) τῇ ῥήσει πιστώσασθαί πως ἐστὶν, « Ἠπου τὸν καθαρμὸν, ὦ » Διόκλεις, ἔφη, κινεῖν διανοῇ, καὶ παρέχειν πράγματα τοῖς » Τροπαίοις, ὡς τινος δεινοῦ καὶ μεγάλου συμβάντος ». εἰ δὲ τὸ Ὀχλήσαντος εἰς ἄλλο τι παρὰ τὸν Καλάσιριν ἀναφέροις, τηνικαῦτα γραπτέον Μηδενός· καὶ ἔσται ὁ νοῦς, Εὔδηλον ἦν ὡς εἴξει τὸ πάθος καὶ τῇ πρώτῃ ἐμοῦ προσβολῇ, καίπερ μηδενὸς τῶν μειζόνων θεῶν ἢ δαιμόνων ὀχλήσαντος τῇ Χαρικλείᾳ, καὶ προτρεψαμένου εἰς ἔρωτα. τοῦτο δὲ συνᾴδει μᾶλλον τοῖς μικρὸν ὕστερον ῥηθησομένοις (σελ. 147), « Οὐ διήμαρτες εἰπὼν » δαιμονᾶν τὴν κόρην· ὈΧΛΕΙ͂ΤΑΙ γὰρ ὙΠῸ ΔΥΝΆ- » ΜΕΩΝ, ἃς αὐτὸς κατέπεμψα, καὶ τούτων ὈΥΚ » ἘΛΑΧΊΣΤΩΝ κ. τ. λ. », ἃ δοκεῖ μὲν, οὐκ ἔστι δὲ ἐναντία τοῖς πρώτοις· τούτῳ γὰρ ἀκριβῶς ἐπιστατέον ὅτι διπλῆ ἦν ἡ πεπλασμένη θεραπεία τοῦ Καλασίριδος· ἡ μὲν γὰρ πρώτη τοῦτο μόνον ἐπηγγέλλετο, τὸ μαλάξαι τὸ ἦθος τῆς Χαρικλείας,

καὶ εἰς ἔρωτα τρέψαι τὴν τέως δοκοῦσαν ἀνέραστον· ὃ δὴ καὶ κατωρθωκέναι κομπάζει, μηδεμιᾶς τῶν μειζόνων δυνάμεων ὀχλησάσης τῇ κόρῃ. τῆς δὲ τελευταίας σκοπὸς ἦν τὸ τρέψαι τὸν ἔρωτα Χαρικλείας ἐπ' Ἀλκαμένην, ἣν δὴ θεραπείαν, προσποιεῖται μήπω κατωρθωκέναι Καλάσιρις, καίπερ οὐκ ἐλαχίστας καταπέμψας ἐπὶ τὴν κόρην δυνάμεις.

Σελ. 145, στ. 2, Τὴν προσοῦσαν οὐσίαν.] Τίνι τίς ταῦτ' ἂν ποτε πιστεύσειε; μακρῷ πιθανωτέρως ἂν εἶπε, Τῆς οὐσίας τὸ πλεῖστον μέρος· πλὴν εἰ μὴ οἱ κατὰ τὸν Ἡλιόδωρον ἰατροὶ ἐκ λῃστείας τὸν βίον εἶχον. ἀλλὰ παρὰ λῃστῶν τίς αἰτεῖ θεραπείαν, ἢ προσαγομένην προσίεται; — Στ. 7, Ὦ Ἀχιλεῦ κ. τ. λ.] Ἐξ Ὁμήρου (Ἰλιάδ. Π, 21 καὶ ἀλλαχοῦ). οἱ πρὸ ἐμοῦ, Πηλέως, ἀντὶ τοῦ, Πηλέος. — Στ. 8, Ὁ λόγιος Ἀκεστῖνος.] Λόγιοι ἄρα προσηγορεύοντο ἐπὶ Ἡλιοδώρου οἱ Ἰατροί· καθ' ἡμᾶς δὲ τοὺς νέους Ἕλληνας Ἐξοχώτατοι καλούμενοι χαίρουσιν οὐ μόνον οἱ ἀληθεῖς Ἰατροὶ, οὓς Ἰσοθέους ὠνόμαζεν ὁ τῶν Ἰατρῶν ἐξοχώτατος Ἱπποκράτης, ἀλλὰ καὶ οἱ παρὰ τῷ Γαληνῷ Ἰάλεμοι Ἰατροὶ, οὓς ἄν τις κατὰ τὸν Κωμικὸν Ἐριννύων ἀπορρῶγας καλέσειε δικαιότερον· τὸ δὲ κύριον Ἀκεστῖνος πέπλασται ἀδείᾳ μυθιστορικῇ παρὰ τὸ Ἀκέεσθαι ῥῆμα, ὃ πρώτως καὶ πάλαι σημαῖνον τὸ Ῥάπτειν, ὡς ἐν τοῖς ἑξῆς (σελ. 197), μετηνέχθη ἐπὶ τὸ Χειρουργικὸν τῆς Ἰατρικῆς μέρος, ὡς τῶν Χειρουργῶν συρραπτόντων τὰ ἕλκη, εἶτα δὲ καὶ ἐπὶ πᾶσαν ἁπλῶς θεραπείαν. ὅθεν Ἀκεστὴς, οὐ μόνον ὃν ἡ συνήθεια Ῥάπτην καλεῖ, ἀλλὰ καὶ ὁ Ἰατρός. ἐνδέχεται δὲ καὶ κύριον ὄνομα γεγονέναι τὸ Ἀκεστῖνος, ὡς καὶ ὁ Ἀκουμενὸς, ἰατρὸς καὶ αὐτὸς οὕτω καλούμενος, οὗ μέμνηται Πλάτων ἐν Φαίδρῳ, καὶ τρίτος ἄλλος Ἀκεσίας, ἰατρὸς ἀφυὴς, ἐξ οὗ καὶ ἡ παροιμία, Ἀκεσίας ἰάσατο, ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον ἰωμένων, ἥ φησιν ὁ τὰς παροιμίας συλλέξας Ζηνόβιος (Α, νβ'). αἰνίττεται δέ πως διὰ τούτων τὰ κατ' Ἀντίοχον, ὃς ἐρασθεὶς τῆς ἰδίας μητρυιᾶς Στρατονίκης, γυναικὸς δὲ Σελεύκου τοῦ πατρὸς αὐτοῦ, καὶ χαλεπῶς διὰ ταῦτα νοσήσας, τοῦ Ἰατροῦ ἐπινοίᾳ, τὴν νόσον ἐξανευρόντος, καὶ τὸν γάμον αὐτῷ καταπράξαντος, ἰάθη, ὥς φησι Πλούταρχος (Δημητρ. § 38) καὶ Λουκιανὸς (περὶ τῆς Συρ. Θεοῦ § 17.). ἦν δ' ἄρα ὁ ἰατρὸς

Ἀντιόχου Ἐρασίστρατος, ὃν Ἀκεσῖνον μὲν πλασάμενος Ἡλιόδωρος ἐνταῦθα καλεῖ, Πανάκιον δὲ Ἀρισταίνετος (Ἐπιστολ. Α, ιγ΄) ὀνομάζει, ψυχρῶς πάνυ καὶ ταύτην τὴν ἱστορίαν, ὡς καὶ τἄλλα, μιμήσασθαι βουληθείς. — Στ. 9, Τῷ καρπῷ ... ἀπὸ τῆς ἀρτηρίας.] Ὁ μὲν Πλούταρχος τὴν ἀταξίαν καὶ θόρυβον τῶν σφυγμῶν καταμηνῦσαί φησι τὸ πάθος τῷ ἰατρῷ· Λουκιανὸς δὲ οὐ τῷ καρπῷ ἀλλὰ τῇ καρδίᾳ τὴν χεῖρα ἐπιβαλεῖν αὐτὸν λέγει. προσσημειούσθων δὲ οἱ φιλόμουσοι νέοι, γυμνασίας ἕνεκα τοῦ κριτικοῦ τῆς ψυχῆς καὶ τοῦθ᾽, ὅτι ὁ μὲν Ἡλιόδωρος, καλῶς ποιῶν, τὰ μέτρια διαλέγεται περὶ τούτου· ὁ δὲ Ἀρισταίνετος τῇ γελοιοτάτῃ τῶν νόσων λογοδιαῤῥοίᾳ συνεχόμενος, ἀπειροκάλως τὸν ἅπαντα λόγον ἐξυφαίνει, καὶ πιθηκίζει γελοίως, μιμεῖσθαι καλῶς μὴ δυνάμενος. — Στ. 14, Ἰατρική.] Ἐν τῇ Β, Ἰατρικός· ἴσως ἐξ ἀμείνονος γραφῆς τῆς, Ἰατρός. — Στ. 15, Οὐδὲν ἂν οὐδαμῶς.] Χαίρει τῇ παρηχητικῇ ἐπαναλήψει τοῦ, Οὐδείς, καὶ τῶν συστοίχων, ἐν μὲν ποιηταῖς Εὐριπίδης (Κύκλωπ. 120),

............ἀκούει δ᾽ οὐδὲν οὐδεὶς οὐδενός·

ἐν λογογράφοις δὲ Πλάτων (Φιλήϐ. σελ. 19), «Οὐδεὶς εἰς » οὐδὲν οὐδενὸς ἂν ἡμῶν οὐδέποτε γένοιτο ἄξιος». τοῦ αὐτοῦ δὲ ἐστὶν (Μενεξέν. σελ. 249) ἐκ τοῦ ἐναντίου καὶ τὸ «Πᾶσαν » πάντων παρὰ πάντα χρόνον ἐπιμέλειαν ποιουμένη». — Στ. 18, Δεῖ.] Ἐκ τῶν ΚΑ. — Στ. 22, Ὅταν συμπάσχῃ ... συνωφελεῖται θεραπευομένῳ.] Οὕτω διώρθωκα, ἐξελὼν τὸν ἀνανταπόδοτον Μὲν, καὶ τρέψας τὸ ὑποτακτικὸν εἰς τὸ ὁριστικὸν, ἵν᾽ ᾖ ὁ νοῦς, Ἡ ψυχὴ οὐ προηγουμένως θεραπεύεται ὑπὸ τοῦ ἰατροῦ καὶ ὠφελεῖται· ἀλλὰ συνωφελεῖται τῷ σώματι θεραπευομένῳ, ἡνίκα συμπάσχει κακουμένῳ. οὕτω δὲ ἐξέφρασε τὸ χωρίον καὶ ὁ Α. εἰ γὰρ φυλάξεις τὸν Μὲν, παρεμϐλητέος καὶ ὁ Δὲ μεταξὺ τοῦ, Συνωφελῆται, καὶ, Θεραπευομένῳ· καὶ ὁ νοῦς ἔσται, Ἡ ψυχὴ οὐ προηγουμένως, ἀλλὰ τότε μόνον θεραπεύεται ὑπὸ τοῦ ἰατροῦ καὶ ὠφελεῖται, ὅταν συμπάσχῃ μὲν κακουμένῳ, συνωφελῆται δὲ θεραπευομένῳ τῷ σώματι. τοῦτο δὲ ἀσυλλόγιστόν πως ἐστί· καί τοι οὐδὲ τὸ πρῶτον πάνυ τι ἠκρίϐωται. οὐ γὰρ μόνη ἡ ψυχὴ διὰ τὰς

κακώσεις

κακώσεις τοῦ σώματος νοσεῖ, ἀλλὰ καὶ τὸ σῶμα πολλάκις δι' ἐπιθυμίας, ἐλπίδας, φόβους, λύπας, ἡδονὰς ἀμέτρους, καὶ ὅλως διὰ πάθη ψυχῆς σφοδρὰ, ἀῤῥωστεῖ· καὶ οὐδὲν ἀνύσεις θεραπεύων αὐτὸ, ἂν μὴ πρῶτον ἐκεῖνα ὥσπερ κῆρας τῆς ψυχῆς ἀποβάλῃς. διὸ καὶ Ἱπποκράτης (περὶ Παθῶν § 44) σοφῶς παραινεῖ λέγων «Ὅ, τι ἂν σοι δοκέῃ τοῖσιν ἀσθενέουσιν, ἐσ- » ορῶν τὸ σῶμα καὶ τὴν ψυχὴν προσφέρειν . . . μάλιστα γὰρ ἂν οὕτως ὠφελέῃς (γρ. ὠφελέοις) ».

Σελ. 146, στ. 7, Κυλοιδιᾷ.] Οὐκ ὀρθῶς οἱ πρὸ ἡμῶν (πλὴν τοῦ Μ) διὰ διπλοῦ τοῦ λ. σημαίνει δὲ τὸ Κυλοιδιᾶν, ὥς φησι Τίμαιος (Πλατων. Λεξ.), « τὰ κῦλα οἰδαίνειν· κῦλα » δὲ τὰ ὑπὸ τοὺς ταρσοὺς τῶν ὀφθαλμῶν μυώδη σαρ- » κία ». ἔστι δὲ πολλὴ ἡ λέξις παρ' Ἱπποκράτει, σχεδόν τι πανταχοῦ διφθογγογραφουμένη (Κοῖλα) κακῶς, ὡς καὶ παρὰ τῷ Τιμαίῳ· γίνεται δὲ τὸ Κυλοιδιᾷν οὐ μόνον ὑπὸ νόσου ἢ ἀγρυπνίας, ἀλλὰ καὶ ὑπὸ πληγῶν· ὃ καὶ Ἀριστοφάνης (Λυσιστρ. 472) ἐδήλωσεν εἰπὼν,

........ἐὰν δὲ τοῦτο δρᾷς, κυλοιδιᾶν ἀνάγκη.

καὶ τὸ ἐχόμενον δὲ, Τὸ βλέμμα διέῤῥιπται, ἰατρικῶς ἐκπέφρασται, οὐχ ὡς ὁ Λ ἐξεδέξατο, *Distortus est*, ἑρμηνεύσας, (ὅπερ ἐστὶ, Διέστραπται μᾶλλον ἢ, Διέῤῥιπται), ἀλλ' ὡς ὁ Α, *Le regard vague et essoré*. τοῦτο γὰρ καὶ Ἱπποκράτης (Κωακ. Προγν. 218) βούλεται διὰ τοῦ, «Τὰς ὄψιας πυκνὰ διαῤῥίπτειν», ὃ μικρῷ πρόσθεν (σελ. 122) ἀκυρωτέρως διὰ τοῦ, Ὄμμα ἠνεμωμένος, ἐξέφρασεν Ἡλιόδωρος.—Στ. 8, Ὠχριᾷ, σπλάγχνον οὐκ αἰτιωμένη.] Σοφῶς καὶ τοῦτο, καὶ τῇ ἰατρικῇ παρατηρήσει κατάλληλον· ἡ γὰρ ὠχρίασις ἐπὶ σπλάγχνοις, ἥπατι καὶ σπληνὶ μάλιστα, κακουμένοις ὡς ἐπὶ τὸ πολὺ γίνεται· «Ὁκόσοι δὲ πουλὺν χρόνον ΩΧΡΟΙ φαίνονται.. εἰ » δέναι χρὴ τούτους τὴν κεφαλὴν ὀδυνωμένους, ἢ περὶ τὰ » ΣΠΛΑΓΧΝΑ ἀλγήματα ἔχοντας (Ἱπποκράτ. Β. Προῤῥητ. § 39) ». — Στ. 9, Τὴν διάνοιαν ἀλύει.] Ταὐτὸ τοῦτο φησὶν Ἱπποκράτης (περὶ Παρθεν. § 2) πάσχειν τὰς ὡραίας γάμου παρθένους, κωλυομένας συνοικεῖν ἀνδράσιν, «Ὑπὸ » δὲ τῆς κακίης τοῦ αἵματος ἀλύων καὶ ἀδημονέων ὁ θυμὸς » κακὸν ἐφέλκεται », κακίην αἵματος λέγων τὴν μὴ κατὰ

φύσιν ἕξιν αὐτοῦ. Ἀλύειν δὲ ἐστὶ τὸ δυσφορεῖν, ὃ καὶ διὰ τῆς παρακειμένης λέξεως, Ἀδημονεῖν ἱκανῶς ἐδήλωσε. — Στ. 11, Τὸν ὄγκον. . . καθῄρηται.] Οὐδὲ τοῦτο τῆς ἰατρικῆς ἀπεξένωται διδασκαλίας· ὄγκου γὰρ καθαίρεσιν καλοῦσιν ἰατρῶν παῖδες τὴν ἔνδοσιν, ἴσχνωσιν καὶ σύντηξιν τοῦ σώματος. τὸ δὲ ἐχόμενον, Ζητητέος σοι κ. τ. λ. τοιοῦτόν ἐστι, Ζητεῖν χρὴ τὸν ἰασόμενον, ἤγουν τὸν δυνάμενον ἰάσασθαι (τοῦτο γὰρ ὁ μέλλων ἐνταῦθα βούλεται)· εἴη δ' ἂν ὁ τοῦτο δυνησόμενος μόνος ὃν ποθεῖ Χαρίκλεια. ἑρμηνεύειν τὰ πᾶσι δῆλα, ἦν ἂν οὐ μόνον περιττὸν ἀλλὰ καὶ πρὸς ἑαυτοῦ τε καὶ τῶν ἄλλων ἀφειδοῦντος ἐκδότου, εἰ μὴ τοῖς πρὸ ἡμῶν ἐκδόταις τε καὶ μεταφρασταῖς κακῶς ἦν ἡρμηνευμένον τὸ χωρίον. — Στ. 15, Ὃν μόνον.] Ἐξήλειψα τὴν ἀντωνυμίαν. σόλοικον γὰρ τὸ λέγειν, Ἐγὼ κἀκείνη γιγνώσκει· ἄλλωςτε τοῦ Ἐγὼ προηγησαμένου ἤδη, ἄκαιρος ἡ ἐπανάληψις. — Στ. 25, Ἢ πάντα χρήματα.] Ἔλλειψις τοῦ Μᾶλλον· ἔχει δὲ χώραν ἐν πολλοῖς μὲν καὶ ἄλλοις ῥήμασι, μάλιστα δὲ ἐν τοῖς προαιρετικοῖς λεγομένοις, οἷόν ἐστι τὸ Βούλομαι, Εὔχομαι, καὶ τὰ τοιουτότροπα.

Σελ. 147, σ7. 2, Ἥκειν.] Ἐν ταῖς ΑΑ, Ἥκει· ὅπερ οὐ χεῖρον. — Στ. 6, Δαιμονᾶν.] Ἐν ταῖς ΑΑ, Δαιμονιᾶν. Ἑλληνικώτερον δὲ τὸ πρῶτον (καὶ γὰρ καὶ τὸ συνώνυμον οὐ Κακοδαιμονιᾶν, ἀλλὰ Κακοδαιμονᾶν). τοῦτο δὲ ταὐτὸ βούλεται τῷ, Δαιμονίζεσθαι, ὅπερ ἡ κοινὴ συνήθεια παρὰ τῶν Εὐαγγελιστῶν ἔλαβε. — Στ. 7, Ἀλλόκοτον.] Ὁ Ἐτυμολόγος, καθ' ὑπερβιβασμὸν φησὶ γεγονέναι τὸ Ἀλλόκοτον ἀπὸ τοῦ Ἀλλότοκον. ἐπεὶ δὲ τοῦτο παίζειν, οὐκ ἐτυμολογεῖν ἐστὶ, φέρε, μακρὰ χαίρειν φράσαντες ταῖς ἀλλοκότοις ἐτυμολογίαις ταύταις, πειρασώμεθα ἀνερευνῆσαι τῆς μέχρι δεῦρο ἀγνώστου λέξεως τὴν γένεσιν. προπαραθετέον δέ ἐστι τὰς τῶν Γραμματικῶν ἑρμηνείας τοῦ σαφεστέρου χάριν. Ἡσύχιος μὲν οὖν φησὶν, «Ἀλλόκοτα· ἀκατάλληλα, ἐναντία, ἀκατάστατα, ἀλλοφυῆ, » ἐξηλλαγμένα, ἰδιόκοτα ἐξ ἄλλων (γρ. καὶ σ7. Ἰδιόκοτα, » ἔξαλλα)»· ὁ δὲ Ἐτυμολόγος ἐξηγεῖται τὸ Ἀλλόκοτον, «Ἀν» όμοιον ἢ ἐξ ἀνομοίων συνεστὼς, ἐξηλλαγμένον καὶ ἰδιότροπον»· ὁ δὲ Σουΐδας, «Ἐναντίον, ξένον, ἀλλοφυὲς, ἐξ ἄλλου (ἴσ.

» κἀνταῦθ. γρ. Ἔξαλλον) ἀσυνάρτητον, ἀλλότριον ». δῆλον τοίνυν ἐκ τούτων ὅτι σύγκειται τὸ Ἀλλόκοτος ἔκ τε τοῦ Ἄλλος καὶ τοῦ Κότος. ὁ δὲ Κότος τῆς Ὀργῆς τούτῳ μόνον διαφέρει τῷ ἔμμονος ὀργὴ εἶναι, εἰ χρὴ πιστεύειν τοῖς Γραμματικοῖς. τὴν Ὀργὴν δὲ ὅτι λαμβάνεται καὶ ἀντὶ τοῦ Τρόπου, Ἤθους, ἢ Γνώμης, οὐδεὶς ἠγνόηκεν· οὐκ ἀπεικὸς ἄρα καὶ τὸν συνώνυμον αὐτῆς Κότον ταὐτὸ σημῆναι παρὰ τοῖς Ἀρχαίοις· καὶ ἔσται ἄρα τὸ Ἀλλόκοτος ταὐτὸν τῷ Ἰδιόκοτος, Ἰδιότροπος, Ἰδιογνώμων. ἐντεῦθεν ἡ κοινὴ συνήθεια (ἥτις οὐδὲ τὸ Ἀλλόκοτον ἀγνοεῖ), παραλλάξασα τὴν σύνθεσιν (κατὰ τὸ Ἀλλοδημία καὶ Ἀποδημία τῶν Ἀρχαίων), Ἀπόκοτον εἶπε, τὸν Τολμηρὸν οὕτω λέγουσα, καὶ ῥῆμα ἐκ τούτου ἐσχημάτισε τὸ Ἀποκοτῶ, ταυτόσημον ὂν τῷ Ἀποτολμῶ· τὰ γὰρ Τολμηρὰ ὡς ἐπὶ τὸ πολὺ Ἀλλόκοτα, ξένα, ἐξηλλαγμένα, καὶ ἐναντία τοῖς ὑπὸ τῶν ἄλλων πραττομένοις ἐστὶ, καὶ οἱ Τολμηροὶ, Ἰδιότροποί τινες καὶ Ἰδιογνώμονες εἰκότως ἂν λέγοιντο. ὅτι δὲ τὸ Ἀπόκοτον συγγενές ἐστι τῷ Ἀλλοκότῳ, δηλοῖ καὶ τὸ παρ' Ἱπποκράτει Ἀποργέστερον, ἐκ τῆς συνωνύμου τῷ Κότῳ Ὀργῆς συγκείμενον, ὅπερ ὁ Ἐρωτιανὸς Ἀπηνέστερον ἐξηγήσατο, ἀπηνῶν τινων ὄντων ἔργοις τε καὶ λόγοις καὶ αὐτῶν τῶν Ἀποκότων καὶ τολμηρῶν, ὡς ἴσασιν οἱ καὶ κατὰ μικρὸν αὐτοῖς ὁμιλήσαντες. παρατεθείσθω δὲ τοῦ σαφοῦς ἕνεκα καὶ παράδειγμα ἐκ τοῦ Πλουτάρχου· ἐκεῖνος γὰρ, περὶ Γαΐου Γράκχου τὸν λόγον ποιούμενος, τοῦ καταλιπόντος τὸν ἐν Σαρδόνι ὕπατον Ὀρέστην, ᾧ ἐταμίευε, καὶ τολμήσαντος εἰς Ῥώμην παραγενέσθαι ἄνευ δόγματος τῆς Βουλῆς, ταῦτά φησιν (Γρακχ. § 2,), « Εὐθὺς ἐξέπλευσε πρὸς ὀργὴν, καὶ » φανεὶς ἐν Ῥώμῃ παρ' ἐλπίδας, οὐ μόνον ὑπὸ τῶν ἐχθρῶν » αἰτίαν εἶχεν, ἀλλὰ καὶ τοῖς πολλοῖς ἈΛΛΟΚΟΤΟΝ » ἐδόκει τὸ ταμίαν ὄντα προαποστῆναι τοῦ ἄρχοντος ». εἴ τις οὖν ἑρμηνεύων τῇ καθωμιλημένῃ γλώσσῃ τὸ χωρίον τουτὶ τοῦ Πλουτάρχου, ἀνθυποβάλοι τῷ Ἀλλοκότῳ τὸ τῆς συνηθείας ἈΠΟΚΟΤΟΝ, οὐδὲν ὅλως λυμανεῖται τῶν λεγομένων τὸν νοῦν. — Στ. 20, Δυνάμεων.] Σημείωσαι καὶ πάλιν τὴν λέξιν ἐκ τῆς Χριστιανικῆς παιδείας οὖσαν. πολὺ γὰρ ἐν ταύτῃ τὸ, Δυνάμεις τῶν οὐρανῶν, Δυνάμεις νοεραὶ καὶ ἀσώματοι κ. τ. λ.

ἐπὶ Ἀγγέλων λεγόμενον, πρὸς ἀντιδιαστολὴν τῶν Δαιμόνων. οἶδε δὲ καὶ ἡ μυθολογία Δυναμηροὺς θεοὺς οὕτω λεγομένους τοὺς μείζονας τῶν Θεῶν καὶ πρεσβυτέρους, ὡς πρὸς τοὺς Ἥρωας ἢ ἡμιθέους, περὶ ὧν ἴδε Σαλμασίου τὰς εἰς τὸν Αἴλιον Σπαρτιανὸν σημειώσεις (σελ. 40). — Στ. 21, Ἃς εἰκὸς ἦν ἐκείνην.] Τὸ μὲν Ἃς ἐκ τῶν ΚΑ, τὸ δὲ Ἐκείνην ἔκ τε τούτων καὶ ἐκ τῶν ΑΑ, λαβὼν διώρθωκα τὸ χωρίον. — Στ. 23, Ἀντίθεός τις.] Ἀπορήσειεν ἄν τις εἰκότως ἐνταῦθα, τί παθὼν ὁ Α ἡρμήνευσε, *Quelque jeune homme*, ὥσπερ ἂν εἰ ἀνέγνω, ἢ ἀναγνωστέον ὑπέλαβεν, Ἤϊθεός τις, καίπερ μηδεμιᾶς τοιαύτης μήτε ἐν ταῖς ΑΑ, μήτε ἐν ταῖς ΚΑ ἐμφερομένης γραφῆς.

Σελ. 148, σϳ. 4, Μαγγανείαις κ. τ. λ.] Ἔτρεψα τὴν γενικὴν εἰς δοτικὴν, Μαγγανείαις τραχυνούσαις, ἵν' ἔχῃ συντάττεσθαι τῷ Ἀνάγραπτος, ὃ δὴ καὶ προϊὼν (σελ. 151) δοτικῇ συνάπτει « Βασιλείῳ μὲν συμβόλῳ τὸν κύκλον ἀνάγρα-» πτον »· καὶ (σελ. 335) « Γράμμασι δὲ ἱεροῖς τισιν ἀνάγρα-» πτος ». ἐνδέχεται μέντοι καὶ ἀντὶ τοῦ Ἀνάγραπτος (ὃ λείπει ἐκ τῶν ΑΑ) γεγραφέναι πάλαι τὸν Ἡλιόδωρον, Ἀνάμεστος, ὡς καὶ ἐν τοῖς ἑξῆς (σελ. 355) « Τελετῆς θειοτέρας ἀνά-» μεστος ». — Στ. 9, Ἐλθών τε οὗ κατηγόμην.] Λείπει τὰ τέσσαρα ταῦτα ῥήματα ἐκ τῶν ΑΑ. Εἴασα μέν τοι κατὰ χώραν ὡς ἀναγκαῖα, τὸν Τε μόνον σύνδεσμον ἐξελών· εἰκὸς γὰρ τὸν Καλάσιριν τὸ οὕτω μακρὸν διήγημα τῆς ταινίας, οὐχ ὅπου ἐνέτυχεν αὐτῷ Χαρικλῆς, ἀλλ' ἐπανιόντα οὗ κατήγετο κατὰ σχολὴν ἐπιλέξασθαι. — Στ. 11, Οὐ δημοτικοῖς, ἀλλὰ βασιλικοῖς.] Διττὰ παρ' Αἰθίοψι γράμματα, ὡς καὶ παρ' Αἰγυπτίοις, βούλεται Ἡλιόδωρος, τὰ μὲν, Δημοτικὰ, παρ' ἀμφοτέροις καλούμενα (Ἴδ. καὶ Ἡρόδοτ. Β, λϛ.), ἃ δὲ παρ' Αἰγυπτίοις Ἱερὰ, ἢ Ἱερατικὰ, ἢ Ἱερογλυφικὰ καλεῖται, ταῦτα ὑπὸ Αἰθιόπων Βασιλικὰ προσαγορευόμενα· καίπερ Διοδώρου τοῦ Σικελιώτου (Γ, γ' καὶ δ') οὐκ ἀσαφῶς παρεμφαίνοντος, ἑνὶ μόνῳ κεχρημένων εἴδει γραμμάτων τῶν Αἰθιόπων, τοὺς Αἰγυπτίους παραλαβόντας Ἱερογλυφικὰ προσαγορεῦσαι ταῦτα· « Ἰδίων γὰρ Αἰγυπτίοις ὄντων γραμμάτων, τὰ μὲν δημώδη » προσαγορευόμενα πάντας μανθάνειν, τὰ δ' ἱερὰ καλούμενα, » παρὰ μὲν τοῖς Αἰγυπτίοις μόνους γινώσκειν τοὺς Ἱερεῖς

» παρὰ τῶν πατέρων ἐν ἀπορρήτοις μανθάνοντας, παρὰ δὲ » τοῖς Αἰθίοψιν ἅπαντας τούτοις χρῆσθαι τοῖς τύποις». φέρεται δὲ καὶ ἐν τοῖς εἰς Δημόκριτον ἀναφερομένοις βιβλίοις (παρὰ Διογέν. Λαερτ.) ὑπομνήματα δύο, τὸ μὲν, Περὶ τῶν ἐν Βαβυλῶνι ἱερῶν γραμμάτων, τὸ δὲ, Περὶ τῶν ἐν Μερόῃ ἱερῶν γραμμάτων, τὴν ἐπιγραφὴν ἔχοντα. ἀλλ' οὐκ εὐχερὲς ἐν τοῖς τοιούτοις ἀνευρεῖν τὴν ἀλήθειαν, εἴγε, καὶ αὐτοῖς Αἰγυπτίοις τοῦ τε Ἡροδότου καὶ τοῦ Διοδώρου δισσὰ γράμματα προσμαρτυρούντων, Κλήμης ὁ Ἀλεξανδρεὺς (Στρωμ. Ε, σελ. 657) καὶ Πορφύριος (ἐν Βίῳ Πυθαγόρ. σελ. 15) τρισσά φησιν αὐτοὺς ἐσχηκέναι, οἷς τῶν καθ' ἡμᾶς τις Ἄγγλων καὶ τέταρτον εἶδος γραμμάτων ἐπεδαψιλεύσατο. — Στ. 13, Ὡμοίωται.] Ἑνικῶς, ἐκ τῶν ΚΑ, ἐξ ὧν λείπει καὶ τὸ προσεχῶς ἐπιφερόμενον Καί. — Στ. 15, Περσίνα.] Ἐν ταῖς ΚΑ, διὰ τῶν δύο νν, Περσίννα, δι' ὅλου τοῦ δράματος· εἰκὸς δὲ μᾶλλον τὸ δι' ἑνός· ἐπλάσατο γὰρ τοῦτο κατὰ τὸν τύπον τῶν διὰ τοῦ ινη θηλυκῶν πατρωνυμικῶν, ὡς ἀπὸ τοῦ προγόνου Περσέως δῆθεν. — Στ. 21, Οὔτε σε... οὔτε.] Τρέψαντι τὸ ἡμαρτημένον, Ὅτε, τῶν πρὸ ἐμοῦ πάντων, εἰς τὸ Οὔτε, ἐξ ἀνάγκης καὶ τὸ ἐπιφερόμενον, Οὐδὲ, εἰς ταυτὸ τοῦτο μετακοσμητέον ἔδοξε· καίπερ ἔστιν ὧν οὐδὲν κωλύειν καὶ τὸ Οὐδὲ τῷ Οὔτε ἐπακολουθεῖν διατεινομένων. — Στ. 22, Ὑδάσπην.] Πέπλασται πρὸς τὸ Ὑστάσπης κύριον ὄνομα Περσικόν. ἴσως δὲ καὶ ὁ Ὑδάσπης, ποταμὸς οὕτω καλούμενος τῆς Ἰνδικῆς, ὑπηγόρευσεν αὐτῷ τοὔνομα. — Στ. 23, Γενάρχης.] Ἐν ταῖς ΑΑ, ἐνταῦθά τε καὶ δι' ὅλου σχεδὸν τοῦ δράματος τούτου, Γενεάρχης· ἐν δὲ ταῖς ΚΑ ὁτὲ μὲν τετρασυλλάβως, ὡς ἐνταῦθα, ὁτὲ δὲ τρισυλλάβως. ἡ δὲ τοῦ Ἡλίου λατρεία καὶ εἰς ἐκεῖνον ἀναφορὰ τοῦ γένους κοινὴ καὶ τοῖς Περσῶν βασιλεῦσιν, οἳ καὶ Μίθραν ἐκάλουν αὐτὸν (Στράβ. ΙΕ, σελ. 732). καὶ Μασσαγέται δὲ μόνον θεῶν ἐσέβοντο τὸν Ἥλιον (Ἡρόδοτ. Α, σις')· καὶ πάντες Λίβυες Ἡλίῳ θύουσιν ὡς θεῷ (Αὐτ. Δ, ρπη'). εἰκὸς μέντοι τοὺς Αἰθίοπας ἀντιποιήσασθαι τοῦ Ἡλίου τοσούτῳ μᾶλλον, ὅσῳ καὶ παρ' αὐτοῖς ἐμυθεύοντο εἶναι αἱ τοῦ Ἡλίου ἱπποστάσεις (Στράβ. Α, σελ. 33). ὅτι δὲ καὶ τὸ τοῦ Μίθρα ὄνομα οὐκ ἦν ἄγνωστον αὐτοῖς, μαρτυροῦσι καὶ οἱ μυθευόμενοι Μίθρας τε καὶ Φλεγύας, οἱ νόμους καταδείξαντες

καὶ θεοσέβειαν τοῖς Αἰθίοψι (Στεφ. περὶ Πόλ. λεξ. Αἰθίοψ). καὶ οὐκ ἀπεικὸς, τῶν πρώτως μυθολογησάντων ἐξελληνίσαι βουληθέντων τὸν παρ' Αἰθίοψι Μίθραν διὰ τοῦ Φλεγύας ὀνόματος, τοὺς ὕστερον ἀνθ' ἑνὸς δύο ὑπολαβεῖν τοὺς τῶν Αἰθιόπων νομοθέτας.

Σελ. 149, στ. 5, Ἥλιος τε κ. τ. λ.] Περὶ μὲν τοῦ Ἡλίου εἴρηται μικρῷ πρόσθεν· Διόνυσος δὲ ὁ ἀρχαιότατος (τρεῖς γὰρ Διονύσους παραδέδωκεν ἡ μυθολογία), Ἰνδὸς ἦν· ἀντιποιοῦνται δ' αὐτοῦ πολλοὶ καὶ τῶν τὴν Λιβύην οἰκούντων παρὰ τὸν ὠκεανὸν, καὶ τῶν Ἑλλήνων, ὥς φησι Διόδωρος (Γ, ξά — ογ'). Περσεὺς δὲ ὁ Διὸς καὶ Δανάης, γαμεῖ Ἀνδρομέδαν τὴν Κηφέως θυγατέρα ἐξ ἧς ἔσχε Πέρσην υἱὸν, ἀφ' οὗ κατάγεσθαι Πέρσαι ἔλεγον (Ἡρόδοτ. Ζ, ρλ')· οὐδὲν δ' ἧττον Αἰθίοψιν ἢ Πέρσαις προσήκει Περσεὺς, οὐ μόνον ὅτι εἰς Αἰθιοπίαν παρεγένετο, ἀλλ' ὅτι καὶ Ἀνδρομέδαν, τὴν τοῦ Αἰθιόπων βασιλέως θυγατέρα, ἀπαλλάξας τοῦ Κήτους ἑαυτῷ γυναῖκα ἀγαγέσθαι μυθεύεται. Μέμνων δὲ, Ἠοῦς ὢν υἱὸς τῆς ἀδελφῆς Ἡλίου, Αἰθιόπων ἐβασίλευσεν, ὥς φησιν Ἡσίοδος (Θεογον. 983). τοῦτον δέ φασιν ἐξ Αἰθιοπίας ὁρμηθῆναι εἰς Αἴγυπτον· ὅπου καὶ ὁ πολυθρύλλητος αὐτοῦ κολοσσὸς, τὸ λεγόμενον Μεμνόνειον, ἵδρυτο ἐν Θήβαις διαβᾶσι τὸν Νεῖλον, πρὸς τὰς Σύριγγας καλουμένας, περὶ ὧν εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 98). — Στ. 7, Οἱ δὴ τὰς βασιλείους κ. τ. λ.] Τὸ ὑποτακτικὸν, Οἳ δὴ, ἡμαρτημένως οὕτω παρὰ πᾶσιν ἐμφερόμενον τοῖς πρὸ ἐμοῦ, ἔτρεψα εἰς τὸ προτακτικὸν, Οἱ δή. — Στ. 10, Περιδρόμοις.] Οὐ ταὐτὸ βούλονται οἱ Περίδρομοι ταῖς Περιδρομίσι λεγομέναις ὑπὸ τοῦ Βιτρουβίου (Ε, ιά.), ἤγουν τοῖς ὑπαίθροις τόποις, εἰς οὓς χειμῶνος ἐξερχόμενοι τοῦ Ξυστοῦ ἐγυμνάζοντο, ἢ περιεπάτουν. μέμνηται δὲ καὶ Ξενοφῶν Περιδρόμων καὶ ἐπάλξεων (Κύρ. παιδ. ϛ'). πρὸ πάντων δ' Ὅμηρος ἐχρήσατο τῇ λέξει (Ὀδυσσ. Ξ, 7), Αὐλὴν (ἤγουν ἔπαυλιν) περίδρομον εἰπὼν, ἐπιθετικῶς. ὁ δὲ Ἡλιόδωρος ἐνταῦθά τε καὶ ἐν τοῖς πρόσθεν (σελ. 32), Περιδρόμους, οὐσιαστικῶς, τὰς στοὰς δοκεῖ μοι λέγειν τὰς περὶ τοὺς ἀνδρῶνας τῶν οἴκων, ἢ τοὺς ναοὺς, περὶ ὧν εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 95). ἐν ταύταις δὲ ταῖς στοαῖς ἦσαν αἱ εἰκόνες τε καὶ γραφαί· ὅθεν καὶ

ἡ παρ' Ἀθηναίοις Ποικίλη στοὰ λεγομένη οὕτως, διὰ τὰς ἐν αὐτῇ γραφάς. — Στ. 23, Ἀπρόσφυλον.] Ταὐτὸν τῷ Ἔκφυλον, ὅπερ Ἡσύχιος ἑρμηνεύει «Τὸ μὴ συγγενὲς, ἀλλόφυλον». ἐντεῦθεν ἡ κοινὴ συνήθεια καὶ ῥῆμα ἐσχημάτισε τὸ Ἐκφυλίζειν, ἢ Ἐκφυλεῖν, ὅ ἐστιν Ἐξίστασθαι τοῦ οἰκείου φύλου καὶ τῆς ἰδίας φύσεως, νοθεύεσθαι, ὡς ὅταν περί τινος φαμὲν, «Οἱ Γονεῖς του ἦσαν χρή» σιμοι ἄνθρωποι· ἀλλ' αὐτὸς ἐξεφύλησε». οὐ δεόντως ἄρα γραφικῶς ἡμαρτῆσθαι τὴν λέξιν, Ἀπρόσφυλον, παρ' Ἡλιοδώρῳ τινὲς ὑπέλαβον. — Στ. 25, Ὅτι μοι παρὰ τὴν ὁμιλίαν κ. τ. λ.] Ὅτι τὰ περὶ τῆς Ἀνδρομέδας εἰκόνος, καὶ τὰ περὶ τοῦ τοκετοῦ τῆς λευκῆς θυγατρὸς ἐκ τοῦ Ἡλιοδώρου μετήνεγκεν εἰς τὴν αὐτοῦ ποίησιν ὁ Ἰταλὸς Τάσσος εἰρήκαμεν ἤδη ἐν τῇ πρὸς Ἀλέξανδρον ἐπιστολῇ.

Σελ. 150, στ. 3, Ἀπὸ τῶν πετρῶν.] Ὁ γὰρ Κηφεὺς, ἀναγκασθεὶς ὑπὸ Αἰθιόπων, τῷ κήτει βορὰν προὔθηκεν Ἀνδρομέδαν τὴν θυγατέρα, πέτρᾳ προσδήσας, ὡς φησιν Ἀπολλόδωρος (Β, δ'.). — Στ. 4, Ὁμοιοειδές.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. Στ. 10, Ἢ πάντως.] Ἐν τῇ Β, Ἢ παντός· ἐν δὲ ταῖς ΚΑ καὶ ΑΑ, ὁ παντός. — Στ. 11. Προτιμότερον.] Τοῦτο οἱ πρὸ ἡμῶν συνάψαντες τῷ προσεχεῖ Γενομένη (ὅπερ ὀρθῶς Γενομένην γράφεται ἐν ταῖς ΑΑ) ἀσαφὲς τὸ ὅλον χωρίον ἀπειργάσαντο. ὁ γὰρ νοῦς ἐστιν, Ἔγνων χαρίσασθαί σοι τὸ ἐκ τῆς τύχης ἀμφίβολον, ὅπερ ἐστὶ προτιμότερον θανάτου προδήλου, ἢ πάντως ὀνόματος νόθου, τουτέστι, Προειλόμην ἀμφιβόλῳ τύχῃ ἐπιτρέψαι τὰ κατὰ σὲ διὰ τῆς ἐκθέσεως, ἤ, μὴ ἐκθεμένη, θανάτῳ σε προδήλῳ τῷ παρὰ τοῦ πατρὸς ἐπαχθησομένῳ προδοῦναι, ἢ τοῦτον ἐκφυγούσῃ ὄνομα γοῦν σοι νόθον περιποιῆσαι· εἶτα ἀπ' ἄλλης ἀρχῆς, Γενομένην σέ τε λάθρα ἐξεθέμην, πλασαμένη τεθνᾶναί σε πρὸς τὸν ἄνδρα. — Στ. 16, Ἐλεεινῷ ... τῶν σῶν τε.] Ὁ μὲν Τε σύνδεσμος ἐκ τῶν ΑΑ προσείληπται. ἀφεῖλον δὲ καὶ τὸν πλεονάζοντα, Καὶ, τρέψας καὶ τὴν δοτικὴν, Τῷ σῷ εἰς τὴν γενικὴν, Τῶν σῶν, ἢ συνυπακουστέον ἔξωθεν τὸ, Παθῶν, ἢ Τυχῶν, ἢ Συμφορῶν, ἢ ἄλλο τι τοιοῦτον, ὡς δῆλον ἐκ τῶν ἑξῆς σελ. 175, παραβαλλομένων τοῖς ἐν τῇ σελ. 173 καὶ 407. — Στ. 17, Δακρύων ... καὶ αἵματος.] Παροιμιακὸν, ὅπερ εὕρηται παρὰ

τῷ Σουΐδᾳ (λεξ. Αἵματι κλαίειν). — Στ. 18, Πρωτοτόκος.] Προπαροξυτόνως οἱ πρὸ ἐμοῦ· παρὰ δὲ τῷ Κ, ἀτόνως, ἀβλεψίᾳ τυπογράφων. — Στ. 19, Θύγατερ.] Ἐκ τῶν ΑΑ. Στ. 23, Ἀσκοῦσα.] Ὡς αἱ ΚΑ.

Σελ. 151, σῖ. 4, Παντάρβῃ.] Περὶ τῆς Παντάρβης λίθου πολλὰ τερατώδη καὶ ἄπιστα διηγεῖται ὅ, τε Κτησίας ἐν Ἰνδικοῖς, ὃς καὶ Παντάρβαν αὐτὴν ὀνομάζει, ὡς ἔστιν ἰδεῖν παρὰ Φωτίῳ (Κώδ. οβʹ), καὶ ὁ Φιλόστρατος ἐν Ἀπολλωνίου βίῳ, (Γ, μςʹ). — Στ. 5, Τὴν σφενδόνην.] Αἱ ΑΑ, Εἰς σφενδόνην. ἀντὶ δὲ τοῦ Καθιερωμένων, αὐταί τε καὶ αἱ ΚΑ, Καθιερευμένον. ἔστι δὲ ἡ Σφενδόνη, ἣν καὶ Πυελίδα ἐκάλουν, τὸ ἄνω κοῖλον τοῦ δακτυλίου ἐν ᾧ ἡ λίθος καθείργνυται· ὅθεν διορθωτέον καὶ τὸν Ἡσύχιον, ἐν οἷς φησι « Σφενδόνην· τοῦ δακτυλίου τὸ » ΠΕΡΙΦΕΡΕΣ. Ἢ σφραγίς », μικρὸν μεταποιήσαντας τὴν γραφήν τε καὶ στίξιν, . . . τὸ ΠΕΡΙΦΕΡΕΣ, ΕΝ ΗΙ ἡ σφραγὶς, ἢ γοῦν, Τὸ περιφερὲς, ἡ σφραγίς. — Στ. 7, Εὑρομένη.] Ἐκ τῶν ΚΑ, ὡς ἀναλογώτερον, καίπερ ἀλλαχοῦ (σελ. 415) Ἀνευραμένη, διὰ τοῦ α φήσαντος Ἡλιοδώρου. — Στ. 8, Κωφά.] Ἐκ Σοφοκλέους (Οἰδιπ. Τυρ. 290),

Καὶ μὴν τά γ' ἄλλα κωφὰ καὶ παλαί' ἔπη.

ὅπου ἄριστα ὁ Τρικλίνιος ἐξηγεῖται τὸ κωφὰ, διὰ τοῦ Μάταια καὶ ἀσύστατα. καὶ γὰρ καὶ ἐν τῇ συνηθείᾳ Κουφὰ (καὶ χυδαιέστερον Κούφια) λόγια φαμὲν, αὐτὸ τοῦτο δηλῶσαι βουλόμενοι τὸ τοῦ Σοφοκλέους· ὅθεν καὶ Κουφολογία παρ' Ἡσυχίῳ ἡ φλυαρία. ὅτι δὲ τὸ Κωφὸς καὶ Κοῦφος συγγενῆ καὶ σύστοιχά πως εἰσὶν ὀνόματα, συνιδεῖν ἔξεστι ἀπό τε τῶν ἀρχαίων γραμμάτων, καὶ ἀπὸ τῆς νῦν συνηθείας. δῆλον γὰρ ἐξ ὧν φησιν Εὐστάθιός τε καὶ ἄλλοι, ὅτι μήπω τοῦ ω στοιχείου συγκαταλεγέντος τοῖς λοιποῖς γράμμασι, τῷ ο ἐχρῶντο· ὅθεν καὶ τὸ νῦν Κωφὸς, εἰκὸς τότε γράφεσθαι Κοφὸς, ἢ Κόφος. ἐπεὶ δὲ καὶ αὐτὸ τὸ μικρὸν ο, ου ἐγράφετο παρὰ τοῖς παλαιοῖς, ἢ ἅπασιν, ἢ γοῦν αὐτῶν τισιν, ἐγράφετο ἄρα καὶ Κουφὸς τὸ Κοφός. τοῦτο δ' εἰκὸς πρώτην ἐσχηκέναι σημασίαν τὴν τοῦ Κοῖλος, εἶτα τὴν τοῦ Κενὸς, ἔπειτα τὴν τοῦ Ἐλαφρός· τὰ γὰρ κοῖλά τε καὶ κενὰ, ἐλαφρά εἰσιν. ἐντεῦθεν οὖν ὁ Κόφινος, ὃν ἡ κοινὴ συνήθεια οὐ μόνον Κοφίνιον οὐδετέρως, ἀλλὰ καὶ θηλυκῶς Κόφαν καὶ

Κούφαν

Κούφαν ὀνομάζει· καὶ τὰ Κουφὰ ἀμύγδαλα ἢ καρύδια, τὰ κενὰ τοῦ καρποῦ· καὶ Κουφάριον τὸ περιεχόμενον ταῖς πλευραῖς κοῖλον τοῦ σώματος. προϊοῦσα δὲ ἡ χρῆσις μετήνεγκε τοὔνομα ἐπὶ πάντα τὰ τῆς οἰκείας ἐνεργείας ἀπολειπόμενα καὶ οἱονεὶ κενὰ ὄντα· ὅθεν οὐ μόνον ὁ βεβλαμμένος τὴν ἀκοὴν, ὃν ἡ συνήθεια Κουφὸν λέγει, ἀλλὰ καὶ ὁ παρεμποδιζόμενος τοὺς ὀφθαλμοὺς Κώφωσιν ὀφθαλμῶν πάσχειν λέγεται παρ' Ἱπποκράτει, ὥς φησιν Ἐρωτιανός. Κωφὸς δὲ ἄλλως καὶ ὁ κενὸς νοῦ καὶ φρενῶν, ὃν εἴποις ἂν, κατὰ Σοφοκλέα, οὐ μόνον Κωφὸν (Αἴαντ. 911),

Ἐγὼ δ' ὁ πάντα κωφὸς, ὁ πάντ' ἄϊδρις,

ἀλλὰ καὶ Κουφόνουν (Ἀντιγόν. 617),

Πολλοῖς δ' ἀπάτα κουφονόων ἐρώτων·

δήλης οὔσης κἀντεῦθεν τῆς συστοιχίας τῶν λέξεων. καὶ ἐπεὶ τὰ τῆς οἰκείας ἐνεργείας στερόμενα εἰς οὐδέν ἐστι χρήσιμα, ἀποτυγχάνοντα τοῦ δι' ὃ γέγονε τέλος, εἰκότως τὸ Κωφὸς μετέπεσεν εἰς τὴν σημασίαν τοῦ Μάταιος, οἷον τὰ Κωφὰ ἢ Κοῦφα ἔπη, ἃ φθὰς ὁ λόγος ἐδήλωσε, καὶ τὸ παρ' Ὁμήρῳ Κωφὸν βέλος (Ἰλιάδ. Λ, 390) ὅ ἐστι μάταιον, καὶ ἀποτυγχάνον τοῦ σκοποῦ, ἢ μὴ συντόνως βαλλόμενον, καὶ τὸ τοῦ Εὐριπίδου (Ὀρέστ. 1287) Ἐκκεκωφωμένον ξίφος. — Στ. 16, Τὴν ἐκ θεῶν οἰκονομίαν.] Τὴν πρόνοιαν δηλαδὴ τῶν θεῶν. καὶ μὴ παραδράμῃς τὴν Ἀποστολικὴν καὶ Πατερικὴν λέξιν, ἐμφαίνουσαν τὸν Χριστιανὸν Ἡλιόδωρον. — Στ. 22, Ἄστατόν τι.] Ἐν ταῖς ΑΑ, Ἄστατόν τε. δείκνυται δὲ τὸ ὀρθὸν τῆς γραφῆς, Ἄστατόν τι, καὶ ἐκ παραλλήλου ἄλλου χωρίου (σελ. 179). εὐεπίφορος δὲ ὁ Ἡλιόδωρος εἰς τὴν περὶ τοῦ ἀβεβαίου τῆς ἀνθρωπείας τύχης γνώμην· ἣν ἐνταῦθα μὲν διὰ τοῦ Ἄστατον ἐδήλωσεν, ἀλλαχοῦ δὲ διὰ τοῦ Ἀστάθμητον, ἔκ τε Δημοσθένους λαβὼν, ὃς (περὶ Παραπρεσβ.) τὸν δῆμον εἶναι φησὶν, «Ἀσταθμητότατον πρᾶγμα τῶν ἁπάντων καὶ ἀ- »συνετώτατον, ὥσπερ ἐν θαλάττῃ κῦμα ἀκατάστατον, ὡς »ἂν τύχοι κινούμενον», καὶ ἐξ αὐτοῦ Ὁμήρου (Ὀδυσσ. Δ, 236),

.............Ἀτὰρ θεὸς ἄλλοτ' ἐπ' ἄλλῳ
Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ...........

Στ. 24, Ταῖς Χαρικλείας.] Ἐν ταῖς ΑΑ, Ἐν ταῖς Χαρικλείας.

Σελ. 152, σ7. 25, Ἃ καὶ πάσχειν αἰσχρὸν κ. τ. λ.] Ἐκ Σοφοκλέους (Οἰδ. Τυρ. 1409),

...Οὐ γὰρ αὐδᾶν ἔσθ', ἃ μηδὲ δρᾶν καλόν.

Σελ. 153, σ7. 8, Σύ τε εἰκότα.] Ἔτρεψα τὸν Δὲ εἰς τὸν ἐγκλιτικὸν Τε, τοῦτο βουλομένου τοῦ Ἑλληνισμοῦ διὰ τὸ προηγησάμενον, Ἐγώ τε. — Στ. 9, Ἃ γυναιξὶ κρύπτειν κ. τ. λ.] Ἐξ Εὐριπίδου (Ἑκάβ. 570),

Κρύπτειν θ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.

Στ. 12, Σὺ μὲν ... σὺν πολλαῖς δὲ παρθένοις.] Καὶ τοῦτ' ἐξ Εὐριπίδου (Ἱππολ. 437),

Οὐ γάρ περισσὸν οὐδὲν, οὐδ' ἔξω λόγου
Πέπονθας· ὀργαὶ δ' εἴς σ' ἐπέσκηψαν θεᾶς.
Ἐρᾷς; τί τοῦτο θαῦμα; σὺν πολλοῖς βροτῶν.

Στ. 16, Καὶ θεῶν αὐτῶν.] Ἐξ Εὐριπίδου (παρὰ Στοβ. ξα'),

Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν,
Καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,
Ἢ σκαιός ἐστιν κ. τ. λ.

Στ. 20, Περιποιῆσαι.] Ἄμεινον ἂν εἶπε, Περιστῆσαι· καὶ ἴσως τοιαύτη ἦν ἡ ἀρχαία γραφή. ἀπροσδιόνυσον γὰρ ὅλως ἐνταῦθα τὸ Περιποιῆσαι, ὡς δηλοῖ καὶ τὸ ἐπαγόμενον, Τρέψαι. καὶ τὸ τοῦ Α δὲ *Reduire* τὸ Περιστῆσαι, οὐ τὸ Περιποιῆσαι, εἰκότως ἂν ἑρμηνεύοι. — Στ. 23, Εἰς γάμον τρέψαι τὴν νόσον.] Παρὰ τὸ τοῦ Εὐριπίδου (Ἱππολ. 476) καὶ τοῦτο,

Τόλμα δ' ἐρῶσα· θεὸς ἐβουλήθη τάδε.
Νοσοῦσα δ', εὖ πως τὴν νόσον καταστρέφου.

Σελ. 154, σ7. 3, Οὐκ ὀλίγον.] Ἐν ταῖς ΑΑ, Καὶ οὐκ ὀλίγον· περιττὸς μέντοι ὁ Καὶ, καὶ διὰ τὸ ἑπόμενον Οὖν, καὶ ὅτι εἰκὸς αὐτὸν ἐκ τῆς τελευταίας τοῦ Ἑάλωκεν εἰσερρῆσαι εἰς τὸ χωρίον. — Στ. 6, Τὸν ἐμοὶ πολέμιον.] Αἱ ΚΑ καὶ ΑΑ, Τὸν ἐμὸν πολέμιον. — Στ. 9, Ἀπὸ τῶν ὁμοίων.] Συνυπακουστέον τὸ Παθῶν, ἢ δῆλον ἐκ τῶν ἑξῆς (σελ. 413), Ἀπὸ τῶν ἴσων παθῶν κεκινημένον. — Στ. 24, Κιστίδι.] Ἔγραψα διὰ τοῦ ῑ, οὕτω διορθώσαντος τοῦ Κ, ᾧ κατηκολούθησε καὶ ὁ Μ. ἴσως δ' ἄν τις προέλοιτο Κοιτίδι γράφειν· ἡ μὲν γὰρ Κιστὶς, ἢ Κίστις (διφορεῖται γὰρ τὰ τοῦ τόνου), ὀψοθήκην σημαίνει,

ὥς φησιν ὁ Σχολιαστὴς τοῦ Ἀριστοφάνους (Ἀχαρν. 1085 καὶ 1157)· καὶ γὰρ τὸ ἀφ' οὗ παρῆκται, Κίστη, τοῦτο σημαίνει παρ' Ὁμήρῳ (Ὀδυσσ. Ζ, 76),

Μήτηρ δ' ἐν κίστῃ ἐτίθει μενοεικέ' ἐδωδήν.

Κοιτὶς δὲ (ἢ, ὡς γράφουσιν ὅ, τε Ἐτυμολόγος καὶ ὁ Σουΐδας, Κοῖτις), καθ' Ἡσύχιον ἐστὶν « ἡ μικροτέρα κίστη, ἐν ᾗ » ὁ γυναικεῖος κόσμος ἀπετέθετο (γρ. Ἀπετίθετο) ». καὶ δοκεῖ ἀπὸ τοῦ Κεῖμαι ῥήματος τὴν ἀρχὴν λαβεῖν τοὔνομα, ἀφ' οὗ καὶ τὰ Κειμήλια, τὰ ἐναποκείμενα ταῖς Κοιτίσι· πλὴν εἰ μή τις παρά τε τοῖς προειρημένοις Λεξικογράφοις, καὶ παρὰ τῷ Πολυδεύκει, ἔτι δὲ καὶ παρὰ τῷ Λουκιανῷ (ἐν τοῖς πρὸς Κρόν. §21), ἡμαρτῆσθαι τὴν γραφὴν ὑπολάβοι τοῦ Κοιτὶς, ἀντὶ τοῦ Κυτίς· εὕρηται γὰρ καὶ τὸ ὑψιλογραφούμενον παρὰ τῷ Σχολιαστῇ τοῦ Ἀριστοφάνους, ἢ μᾶλλον εἰπεῖν παρὰ τῷ Ἀριστοφάνει (Εἰρήν. 665), ὅπου, φήσαντος τοῦ Κωμικοῦ,

Σπονδῶν φέρουσα τῇ πόλει ΚΙΣΤΗΝ πλέαν,

ὁ Σχολιαστὴς λέγει, « Πλήρη κυτίδια (γρ. κυτίδα)· Κυτίδας » δὲ ἐκάλουν τὰς κίστας κ. τ. λ. »· ὅθεν δῆλον γεγραφέναι τὸν Κωμικὸν,

Σπονδῶν φέρουσα τῇ πόλει ΚΥΤΙΝ πλέαν·

οὐ γὰρ εἰκὸς τὸν Σχολιαστὴν τὸ σαφὲς Κίστην διὰ τοῦ ἧττον σαφοῦς Κυτίδα ἐξηγήσασθαι. Κυτίδα δὲ φήσας, παρεμφαίνει τὴν αἰτιατικὴν διφορεῖσθαι κατὰ τὸ Θέμιν καὶ Θέμιδα· οὕτω γὰρ καὶ τὴν Κισλίδα, Κίστιν ἐξήνεγκεν ὁ αὐτὸς Κωμικός (Ἀχαρν. 1085). ἔστι δὲ ἡ Κύτις ἢ Κυτὶς ὑποκοριστικὸν τοῦ Κύτος, ᾧ δὴ καὶ αὐτῷ ἐπὶ τῆς αὐτῆς σημασίας ἐχρήσατο Εὐριπίδης (Ἴων. 37),

...............Πλεκτὸν ἐξάρας κύτος

Ἤνεγκα ...........................

καί τοι τοῦ Κύτους γενικώτερον πᾶν τὸ κοιλότητα καὶ βάθος ἔχον σημαίνοντος. τούτου δὲ ἕτερον ὑποκοριστικὸν τὸ Κυτίον παραλαβοῦσα ἡ συνήθεια μετεποίησεν εἰς τὸ Κουτίον, ὡς καὶ τὸ Σκύζω εἰς τὸ Σκούζω, καὶ τὸ Κυλλὸς εἰς τὸ Κουλλὸς, καὶ ἄλλα πλεῖστα, περὶ ὧν ἐν ἄλλοις ἐροῦμεν πλατύτερον.

Σελ. 155, στ. 2, Οὐκ εἰδέναι πόθεν, ὁμολογούσης.] Τὸ Πόθεν παρέλιπεν ὁ Α μὴ νοήσας. καὶ ἔσται ἀληθῶς ἀσαφὲς, εἰ

μὴ, προσθεὶς τὸν Καὶ ἢ τὸν Γὰρ σύνδεσμον, γράφοις καθ᾽ ὑπερβατὸν οὕτως, « Οὐκ εἰδέναι (καὶ πόθεν;) ὁμολογούσης », ἢ, « Οὐκ εἰδέναι (πόθεν γάρ;) ὁμολογούσης ». ὁ δὲ νοῦς, Ὁμολογούσης οὐκ εἰδέναι, καὶ, πόθεν ἂν τοῦτο εἰδείην, λεγούσης. ὡς ἀνωτέρω (σελ. 146). καὶ προϊὼν δὲ (σελ. 221) ἐρεῖ « Οὐ » μὴν ἐπήρκεσά γε· πόθεν; » — Στ. 8, Καὶ, τὸ φρόνημα κ. τ. λ.] Τοῦτο κακῶς ἐστιγμένον καὶ γεγραμμένον, χειρόνως μετέφρασαν ὅ, τε Λ καὶ ὁ Α. ἀντὶ τῆς ἑνικῆς μετοχῆς Διαναστᾶσα, ἐν τῇ Β γράφεται Διαναστᾶσαι, πληθυντικῶς, ἐν δὲ ταῖς ΑΑ, Διανάστασα, κακοτόνως, ἐν δὲ ταῖς ΚΑ, Διαναστάσασα, βαρβάρως. γραπτέον οὖν, Διανιστᾶσα, ὡς διώρθωκα, ἢ γοῦν Διαναστήσασα, καὶ συναπτέον ἀδιαστίκτως τῷ προσεχεῖ Πλέον, ἵνα ᾖ ὁ νοῦς, Καὶ διεγείρουσα (ἢ διεγείρασα) πλέον τὸ φρόνημα διὰ τὸ γένος, τουτέστιν, ὡς ἔμαθε βασιλέων θυγάτηρ οὖσα, προσέδραμεν, ἤγουν ἐγγυτέρῳ μου ἦλθε, καὶ ἠρώτα κ. τ. λ. οὐ γὰρ τῷ Γένει συντακτέον τὸ Προσέδραμε, ἀλλὰ τῇ συνυπακουομένῃ ἀντωνυμίᾳ Ἐμοί. τοῦτο δὲ μᾶλλον δῆλον γενήσεται παραθεῖσι τὸ ἐν τοῖς πρόσθεν (σελ. 35) εἰρημένον, « Τὸ φρόνημα πρὸς τὴν ἐξ ἀρ» χῆς ἀναφέρει τύχην ». — Στ. 13, Παρ᾽ ἐκείνοις.] Οὕτω καὶ αἱ ΑΑ. ἴσως δ᾽ ἄμεινον τὸ ἐμφερόμενον ἐν τῇ Β, Παρ᾽ ἐκείνων. — Στ. 21, Θαρσήσειν.] Ὡσαύτως καὶ ἐν ταῖς ΑΑ· ἐν δὲ τῇ Β, Θαῤῥήσειν.

Σελ. 156, στ. 4, Εἴποτε φανείης.] Ἐν τῇ Β, Εἴποτε διαφανείης, ἐξ ἀρχαιοτέρας ἴσως, καὶ ταύτης οὐκ ἀκόμψου, γραφῆς, Εἴ ποτε δὴ φανείης. — Στ. 13, Οὐ διὰ τοῦτο μέν.] Πῶς, Οὐ διὰ τοῦτο, ὁ μαθὼν ἐκ θεῶν τὴν Χαρίκλειαν ἐν Δελφοῖς εἶναι, καὶ εἰς Δελφοὺς ἥκων ἵνα τὴν ἐνώμοτον τῆς Περσίνης ἱκεσίαν τελέσῃ; ἴσως οὖν περιγραπτέα ἡ ἄρνησις· χωρὶς εἰ μὴ τοῦτο βούλεται λέγειν, ὅτι Ἀποδημήσας Αἰγύπτου ἦλθον εἰς Δελφοὺς, οὐ διὰ σὲ, ἀλλ᾽, ἐπειδὴ πρὶν εἰς Δελφοὺς ἀφικέσθαι, παρεγενόμην εἰς τοὺς Αἰθίοπας, ἐκέρδησα θεῶν ὑποθήκῃ ἐκ τῆς πλάνης καὶ τὸ ἐλθεῖν ἐνταῦθα. — Στ. 25, Θεαγένει δέ.] Οὕτως αἱ ΑΑ, ἀνταποδοτικῶς πρὸς τὸν Μέν.

Σελ. 157, στ. 4, Βασιλεύουσαν.] Ὁ μὲν Κ ἐν ταῖς ΚΑ

τὸ Βασιλεύουσα (παρὰ πᾶσιν οὕτω γραφόμενον) χρῆναι φησὶ γράφεσθαι κατὰ δοτικὴν, Βασιλευούσῃ, διὰ τὸ προηγησάμενον, Ἔνεστί σοι· ὑπολαμβάνει μέντοι τὴν ἀκατάλληλον ταύτην σύνταξιν οὐ τῶν ἀντιγραψάντων ἁμάρτημα εἶναι, ἀλλ' αὐτοῦ Ἡλιοδώρου ἰδίωμα. ἀλλ' ἡμεῖς προειλόμεθα εἰς αἰτιατικὴν τρέψαι, ὡς συνήθους οὔσης τοῖς Ἀττικίζουσι τῆς τοιαύτης συντάξεως, λέγω δὴ τῆς ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν μεταβάσεως, ἄλλως τε καὶ προηγουμένου τοῦ Ἔστιν, Ἔνεστιν, ἢ Ἔξεστιν. ἔστω παράδειγμα τὸ τοῦ Λουκιανοῦ (Περὶ τοῦ Ἠλέκτρ. § 3) « Οἴει ἡμᾶς δυοῖν ὀβολοῖν ἕνεκα ἐρέττειν ἂν » .... ΟΙ῀Σ Ε'ΞΗ῀Ν πλουτεῖν, Α'ΝΑΛΕ'ΓΟΝΤΑΣ » τῶν αἰγείρων τὰ δάκρυα; ». — Στ. 4, Θεοῖς τε τοῖς ἄλλοις.] Ἐκ τῶν ΚΑ. — Στ. 24, Πράξοντος.] Διώρθωκα τὸ σόλοικον Πράξαντος.

Σελ. 158, στ. 2, Πρὸς ὑπερβολὴν ... ἀνάπλεων.] Ἐν μὲν ταῖς ΑΑ γράφεται, Πρὸς ὑπερβολὴν ὅλος περίλυπον, καὶ ὅλης κατηφείας ἀνάπλεων· ἐν δὲ ταῖς ΚΑ, Πρὸς ὑπερβολὴν περίλυπον, καὶ ὅλης κατηφείας ἀνάπλεων· ἢ .... καὶ ὅλον κατηφείας ἀνάπλεων. — Στ. 4, Ἐχρῆν τέρπεσθαι.] Ἀντὶ τοῦ Ἐχρῆν, ἐν ταῖς ΚΑ, Χρή· τὸ δὲ Ἕπεσθαι, κοινῶς ἅπασιν ἡμαρτημένον, ἔτρεψα εἰς τὸ Τέρπεσθαι, ὡς καὶ τὸ Ἀποθύειν εἰς τὸ Ἐπιθύειν. καὶ περὶ μὲν τῆς διαφορᾶς τῶν δύο τούτων συνθέτων εἴρηται καὶ ἐν τοῖς πρόσθεν· ὅτι δὲ καὶ τοῦ Ἕπεσθαι ἡ τροπὴ εἰς τὸ Τέρπεσθαι ἀναγκαία, τί χρὴ καὶ λέγειν;

Ὡς ἥδομαι καὶ τέρπομαι καὶ χαίρομαι,

φησὶν Ἀριστοφάνης (Εἰρήν. 291), Δάτιδα τὸν Περσικὸν σατράπην σκώπτων ἀστείως, οὐχ ὅτι τῷ Τέρπεσθαι συνῆψε τὸ Χαίρειν, ἀλλ' ὅτι, ἀντὶ τοῦ Χαίρω, Χαίρομαι εἶπεν· ὅθεν καὶ Δατισμὸς ἐκλήθη ὁ παθητικὸς τοῦ Χαίρω σχηματισμὸς, οὐ τοῦ Πέρσου τοῦτον πλάσαντος πρώτου, ἀλλ' οὕτω λέγοντας μιμησαμένου τοὺς πολλοὺς τῶν ἄλλων Ἑλλήνων, ἐξ ὧν εἰκὸς καὶ τὴν κοινὴν παραλαβοῦσαν συνήθειαν κατακόρως τανῦν τῷ Χαίρομαι χρῆσθαι. τί δὲ σημαίνει τὸ Τέρπεσθαι, καὶ τί διαφέρει τοῦ Ἥδεσθαι, καὶ ἄμφω πάλιν τοῦ Χαίρειν, ἔστι μαθεῖν παρὰ Πλάτωνος (Πρωταγόρ. σελ. 337, καὶ Κρατύλ. σελ. 419), καὶ Πλουτάρχου (περὶ Ἠθ. ἀρετ. § 9), καὶ

Ἀμμωνίου (λεξ. Χαρά). — Στ. 11, Τοῦ βίου... μεταστησομένης.] Διώρθωκα τὸ σόλοικον, Τὸν βίον μεταστησομένης· ὅτι δὲ γενικῇ συντακτέον, δηλώσει προϊὼν καὶ αὐτὸς Ἡλιόδωρος (σελ. 316) « Αὐλῆς τῆς ἡμετέρας ... μεθίστασο ». — Στ. 15, Ἀετὸν ᾤμην ... φέροντα.] Παρὰ τὸ τοῦ Κωμικοῦ (Σφ. 15),

> ......................... Ἐδόκουν ἀετὸν
> Καταπτόμενον ἐς τὴν ἀγορὰν μέγαν πάνυ,
> Ἀναρπάσαντα τοῖς ὄνυξιν ἀσπίδα
> Φέρειν ἐπίχαλκον ἀνεκὰς ἐς τὸν ουρανόν.

καὶ σημείωσαι ὅτι σοφῶς τὸν Ἀετὸν Ἡλιόδωρος προείλετο τῶν ἄλλων ὀρνέων ἐν τῇ τοῦ ὀνείρου πλάσει, δηλῶσαι βουλόμενος οὐ μόνον ὅτι ἁρπαχθήσεσθαι ἔμελλε Χαρίκλεια, ἀλλὰ καὶ ὅτι οὐκ εἰς μακράν. κατὰ γὰρ τοὺς περὶ ταῦτα δεινοὺς (Ἀρτεμιδώρ. Ὀνειροκριτ. Β, κ΄), « Σημαίνει ὁ ΑΕΤΟΣ καὶ » τὸν ἐνεστῶτα ἐνιαυτόν· ἔστι γὰρ τὸ ὄνομα αὐτοῦ γραφὲν οὐ- » δὲν ἄλλο, ἢ πρῶτον ἔτος ». — Στ. 23, Τείνοι.] Εὐκτικῶς γράφειν δεῖν ἔγνωκα, χαιρούσης μάλιστα τῆς τοιαύτης διαθέσεως τοῖς ἀοριστολογουμένοις τῶν μορίων. — Στ. 24, Συνέβαλλον.] Ἴσως γραπτέον, Συνέβαλον, κατὰ τὸν ἀόριστον.

Σελ. 159, στ. 1, Τοῦ μαντικωτάτου τῶν θεῶν.] Τοῦ Ἀπόλλωνος δηλονότι. ἴσως δὲ μετὰ τὸ Θεῶν, ἐξεῤῥύη ἀβλεψίᾳ τῶν γραψάντων ἡ μετοχὴ Ὤν· δοκεῖ γὰρ μετενηνέχθαι ἐκ τῶν τοῦ Σοφοκλέους (Ἠλέκτρ. 1481),

> Καὶ μάντις ὢν ἄριστος, ἐσφάλλου πάλαι·

ἢ μᾶλλον ἐξ αὐτοῦ τοῦ Κωμικοῦ (Πλοῦτ. 1175),

> Καὶ ταῦτα τοῦ Σωτῆρος ἱερεὺς ὢν Διός.

ἐνδέχεται δὲ καὶ τὸν Ἡλιόδωρον παραλιπεῖν τὴν μετοχὴν, διὰ τὸ ἐκ τῆς συνδρομῆς τριῶν τῶν αὐτῶν φθόγγων κακόφωνον. Στ. 3, Ὃς, τῶν ἐνυπνίων κ. τ. λ.] Καὶ στίξει, καὶ τροπῇ τοῦ Ὡς (ἐν τῇ Β, Ὡς) εἰς Ὃς, διωρθωσάμεθα τὸ χωρίον· ἀνενεκτέον δὲ τὸ Ὃς πρὸς τὸ ἑπόμενον Ἀγανακτεῖς. — Στ. 6, Καὶ ὡς ἐκ χειρὸς τὸν συνοικήσοντα προσάγοντος.] Ἀστείως πάνυ, παρὰ τὸν Ὁμηρικὸν ὄνειρον· κἀκεῖνος γὰρ (Ὀδυσσ. Τ, 548) τὸν Ὀδυσσέα ἐν ἀετοῦ εἴδει καθ᾽ ὕπνους φανῆναι τῇ γυναικὶ Πηνελόπῃ ἐπλάσατο,

................. Ἐγὼ δέ τοι αἰετὸς ὄρνις
Ἦα πάρος, νῦν αὖ τε τεὸς πόσις εἰλήλουθα.

Στ. 17, Γυναῖκας.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 19, Συνέχειν.] Ἐπείγειν, ἐπισπεύδειν, ὡς δῆλον ἐξ ὧν ἐρεῖ προϊὼν (σελ. 436) « Ἐν συνέχοντι τῷ καιρῷ », ἤγουν Ἐν κατεπείγοντι τῷ καιρῷ. ἡ δὲ τοιαύτη ἐκδοχὴ τοῦ ῥήματος τῶν Μακεδονικῶν ἐστὶ χρόνων. — Στ. 25, Οὐδέν.] Ἐν μόνῃ τῇ Κ καὶ τῇ τοῦ Βουρδελότου τὸ Οὐθέν· ὅπερ ἀλλότριον Ἡλιοδώρου, ἀείποτε τῷ διὰ τοῦ δ σχηματισμῷ χρωμένου. καθάπτεται δὲ καὶ Φρύνιχος τῶν Οὐθεὶς, ἀντὶ τοῦ Οὐδεὶς, λεγόντων.

Σελ. 160, σ7. 17, Χρηστηρίῳ.] Χρηστήριον ἐνταῦθα ὁ χρησμὸς, ὡς καὶ παρὰ τῷ Σοφοκλεῖ (Οἰδ. Κολ. 604 καὶ 1331). — Στ. 25, Σύσπευδε.] Οὕτω διώρθωκα συνάψας τὸ κακῶς διακριθὲν εἰς τὸ Σὺ σπεῦδε, τοῖς πρὸ ἡμῶν· χρῆται δὲ τῇ λέξει καὶ ἐν τοῖς ἑξῆς οὐ μόνον ἀμεταβάτως (σελ. 391), ὡς ἐνταῦθα, ἀλλὰ καὶ μεταβατικῶς (σελ. 338) « Καὶ τὴν εἰς δύναμιν ἐπικουρίαν σύσπευδε ».

Σελ. 161, σ7. 5, Ἐπέθυσα.] Ἐν ταῖς ΑΑ καὶ ΔΑ 706, Ἀπέθυσα, ὃ σημειωτέον πρὸς τὴν σύγχυσιν τῆς Ἐπὶ καὶ τῆς Ἀπὸ τῶν προθέσεων, περὶ ἧς καὶ πρότερον εἰρήκαμεν. ἀντὶ δὲ τοῦ ἐχομένου, Ἔσπεισα, αἱ ΔΑ 706, Ἀπέσπεισα, ἐξ ὀρθοτέρας οἶμαι γραφῆς τῆς, Ἐπέσπεισα. — Στ. 6, Τὸ πολυτελὲς.] Εἰρωνικῶς τοῦτο. — Στ. 11, Δαιτὸς μὲν κ. τ. λ.] Παρῴδηται οὐκ ἀφυῶς ἐκ τοῦ Ὁμηρικοῦ (Ἰλιάδ. Ι, 225),

Χαῖρ' Ἀχιλλεῦ, δαιτὸς μὲν ἐΐσης οὐκ ἐπιδευεῖς.

Στ. 12, Ἀκοῆς δὲ ἔτι.] Ἀντὶ τοῦ Ἔτι, ἐν ταῖς ΑΑ ἐμφέρεται, Ἄρα. — Στ. 13, Καὶ ὁπόθεν.] Τὸν Ἢ ἔτρεψα εἰς τὸν Καὶ, ἐπειδὴ Καλάσιρις ἤρα μαθεῖν οὐ μόνον τίνες ἦσαν τὸ γένος οἱ εὐωχούμενοι, ἀλλὰ καὶ πόθεν γῆς, ὡς δῆλον καὶ ἐκ τῆς ἀποκρίσεως, Φοίνικες Τύριοι, τοῦ μὲν Φοίνικες πρὸς τὸ Οἵτινες, τοῦ δὲ Τύριοι πρὸς τὸ Ὁπόθεν τὴν ἀναφορὰν ἔχοντος. ἐκ δὲ τῶν ΑΑ λαβὼν τὸ Ὁπόθεν ἀντέβαλον τῷ Πόθεν· τοῦτο μὲν γὰρ συστοιχεῖ τῷ Τίνες, τὸ δ' Ὁπόθεν τῷ Οἵτινες. Στ. 15, Σπονδῶν καὶ τραπέζης .... ἱεροὺς ἅλας κ. τ. λ.] Ἐν ταῖς ΑΑ ἀντὶ τοῦ Ἱεροὺς γράφεται οὐκ ὀρθῶς, Ἱερᾶς, πρὸς τὸ Φιλίας δηλονότι συντασσόμενον. εἴληπται δὲ ἐκ τοῦ

Δημοσθένους (περὶ Παραπρεσβ.), οὕτω συνάψαντος τὰ τρία ταῦτα « Ποῦ δὲ ἅλες, ποῦ τράπεζαι; ποῦ σπονδαί; ταῦτα » γὰρ τραγῳδεῖ περιιών ». ἱεροὺς δὲ ὀνομάζει τοὺς ἅλας, ἐξ Ὁμήρου καὶ τοῦτο παραλαβὼν (Ἰλιάδ. Ι, 214),

Πάσσε δ' ἁλὸς θείοιο..................

θείους δὲ ὀνομάσαι τὸν Ποιητὴν τοὺς ἅλας φασὶν οἱ ἐξηγήσαντες τὰ Ὁμήρου, ἢ διὰ τὸ γόνιμον αὐτῶν, ἢ διότι ἄσηπτα διατηροῦσι καὶ μόνιμα πολὺν χρόνον τὰ νεκρὰ, ἢ ὅτι κινδυνεύουσιν οἱ ἅλες τῶν ἄλλων ὄψων ὄψον εἶναι καὶ ἥδυσμα· διὸ, φησὶ Πλούταρχος (Συμποσιακ. Ε, ι'), καὶ Χάριτας ἔνιοι προσαγορεύουσι τοὺς ἅλας, ὅτι τῆς τροφῆς τὸ ἀναγκαῖον ἡδὺ ποιοῦσιν. — Στ. 21, Ἡρακλεῖ Τυρίῳ.] Ἄλλος οὗτος παρὰ τὸν Ἑλληνικὸν Ἡρακλέα· μυθεύεται δὲ καὶ τρίτος Αἰγύπτιος· ὁ δὲ Κικέρων (περὶ φύσ. Θεῶν, Γ, ιϛ') τοῖς τρισὶ τούτοις τοσούτους ἑτέρους προστίθησιν. οὐκ ὀρθῶς ἄρα ἐπιτιμᾷ Πλούταρχος Ἡροδότῳ δύο φήσαντι Ἡρακλέας. Στ. 22, Ἐπιθύειν.] Οὕτω διώρθωκα διὰ τὰ πολλάκις ἐν τοῖς πρόσθεν σημειωθέντα.

Σελ. 162, στ. 1, Μαλέαν ὑπερβαλόντες.] Ἄδηλον εἰ θηλυκῶς ἢ ἀρσενικῶς ἐξήνεγκε τὴν αἰτιατικήν· καλεῖται γὰρ παρὰ μὲν Ὁμήρῳ αἱ Μάλειαι, πληθυντικῶς, καὶ, ἡ Μάλεια ἑνικῶς (Ὀδυσσ. Γ, 287 καὶ Ι, 80), ἣν Εὐριπίδης (Ὀρέστ. 362 καὶ Κύκλωπ 18) Μαλέαν λέγει. εἰσὶ δ' οἱ πληθυντικῶς καὶ ὀξυτόνως, Τὰς Μαλεὰς ἐξήνεγκαν, ὡς Στράβων πολλαχοῦ. ὁ δὲ Μαλέας ἀρσενικῶς, ᾧ καὶ Στράβων ἐνιαχοῦ χρῆται, τῶν μεταγενεστέρων ἔοικεν εἶναι. ἔστι δὲ τῆς Λακωνικῆς ἀκρωτήριον, τὰ νῦν ὑπὸ τῶν πλοϊζομένων Ἰταλῶν Ἀκρωτήριον τοῦ ἁγίου Ἀγγέλου καλούμενον. Σημείωσαι δὲ καὶ τὸ Ὑπερβάλλειν κυρίως λεγόμενον ἐπὶ τοῦ ὑπερβαίνειν πλοίῳ ἄκραν τινὰ, ὡς καὶ Θουκυδίδης εἴρηκέ που (Η, ρδ'). ἔστι δὲ τοῦτο τὸ παρὰ τοῖς Ἰταλοῖς λεγόμενον *Montare un capo*. Φιλόστρατος δὲ, ἐν Ἀπολλωνίου βίῳ (Γ, κγ' καὶ Δ, ιγ'), ἀντὶ τοῦ Ὑπερβάλλειν τῷ Περιβάλλειν ἐχρήσατο, ὅπερ ἀναλογεῖ μᾶλλον τῷ παρὰ τοῖς Γάλλοις *Doubler un cap*. — Στ. 2, Τῇ Κεφαλλήνων προσέσχομεν.] Ἐκ τῆς Β τὸ, Κεφαλλήνων, ἐν ᾗ παραλέλειπται θάτερον τῶν δύο λλ· γράφεται δὲ ἐν τῇ αὐτῇ καὶ,

Προσέχομεν

Προσέχομεν ἀντὶ τοῦ Προσέσχομεν. Κεφαλλῆνας αὐτοὺς ὀνομάζει πανταχοῦ Ὅμηρος· ᾗ γραφῇ κατηκολούθησε καὶ ὁ Γεωγράφος. — Στ. 4, Πυθιονίκην.] Τὴν ἐν Πυθοῖ νίκην· λέγεται δὲ καὶ ἀρσενικῶς, Ὁ Πυθιονίκης (σελ. 199), τουτέστιν ὁ Πυθοῖ νικήσας. εὕρηται δὲ καὶ κύριον ὄνομα ἡ Πυθιονίκη ἑταίρας ἐνδόξου οὕτω καλουμένης, ἐρωμένης Ἁρπάλου (Παρ' Ἀθηναίῳ ΙΓ, 595). — Στ. 7, Καλλίνικος ἡμῖν ὁ τέως ἔμπορος.] Εὖγε ποιῶν ὁ Τύριος νεανίας· δεξιοῦ γάρ ἐστι πρὸς ἀνδρὸς κἀν τοῖς παρέργοις, ὡς ἐν τοῖς ἔργοις κατορθοῦν· οἷα δὴ καὐτὸς, Ἀλέξανδρε φίλε, οὐ μόνον τὸν Ἐμπολαῖον Ἑρμῆν, ἀλλὰ καὶ τὰς Ἑλικωνιάδας Μούσας, ἀξίως σαυτοῦ τε καὶ τῶν θεῶν θεραπεύεις· — Στ. 10, Ἐμβατήριον.] Σεσημειώσθω ἡ λέξις, Ἐμβατήριος, ὡς οὔπω καταχωρισθεῖσα ἐν τοῖς Λεξικοῖς ἐπὶ τῆσδε τῆς σημασίας. λέγει δὲ τὴν πρὸ τῆς ἀναγωγῆς, εὐπλοίας ἕνεκα, προσαγομένην θυσίαν ὑπὸ τῶν ἐμβαίνειν εἰς πλοῖον μελλόντων. ὅθεν καὶ Ἐμβάσιος Ἀπόλλων, ᾧ θύουσιν ἀναγόμενοι οἱ Ἀργοναῦται· καὶ Ἐκβάσιος ὁ αὐτὸς, ὅτε, καταχθέντες εἰς Κύζικον, αὖθις θύουσι (Ἀπολλων. Ἀργον. Α, 404 καὶ 966). καὶ Διαβατηρίους δὲ θυσίας οὕτω λεγομένας προσάγειν εἰώθεσαν τοῖς ποταμοῖς οἱ περαιοῦσθαι μέλλοντες (Ἡροδότ. Η, ριγ', καὶ Πλουτάρχ. Λουκούλλ. § 24). Στ. 13, Βουλόμενοι.] Ἐν ταῖς ΔΑ 662, γέγραπται, Βουλόμενον, οὐκ ὀρθῶς. — Στ. 16, Εἰ γὰρ βουληθείης κ. τ. λ.] Ὁ Λ καὶ ὁ Α μετέφρασαν, μετακινήσαντες τὸν Γὰρ, ὥσπερ ἂν εἰ οὕτως εἶχε τὸ χωρίον, Εἰ βουληθείης, ἔλεγον· ἀγαθὸν γὰρ οὐδὲν κ. τ. λ. κρεῖττον δὲ τὸ, Εἰ γὰρ εὐκτικῶς ἐκδέχεσθαι, ἀντὶ τοῦ, Εἴθε γάρ. — Στ. 17, Ἀγαθὸν οὐδέν.] Ἡ αὐτὴ γραφὴ ἐν ἅπασιν, οὐ σόλοικος μὲν, ἄκομψος δέ. γράφε τοίνυν Ἀγαθῶν οὐδὲν, οὕτως ἀπαιτούσης τῆς τῶν ἀστειοτέρων χρήσεως· καὶ ἴσως τοῦτο ἐβούλοντο αἱ ΑΑ, ἐν αἷς ἀντὶ τοῦ προσεχοῦς Νομιοῦμεν, γράφεται Νομιοῦμεν ὧν, ῥεμβασμῷ τῆς διανοίας τὴν διόρθωσιν ΩΝ τῆς τελευταίας τοῦ Ἀγαθ ΟΝ, εἰς ὃν οὐκ ἐχρῆν ἐξωθήσαντος τόπον τοῦ γράψαντος. Στ. 18, Ἕλληνι.] Ἕλληνα ὑπέλαβον τὸν Καλάσιριν οἱ Τύριοι, ἐκ τῆς στολῆς (σελ. 81). — Στ. 22, Μόνον.] Τοῦτο ὁ Λ καὶ Α συνῆψαν τοῖς προλεχθεῖσιν, ὁ μὲν Τὴν αὔριον μόνον

*Crastinum tantum* ἐκφράσας· ὁ δὲ καὶ τρέψας τὸ Μόνον (ἢ Μόνην) εἰς τὸ Ὅλην, *Tout le jour de demain*. συνηγορεῖν δ' ἔοικέ πως τῇ συναφῇ τὸ ἐν ἀρχῇ τοῦ ἐχομένου βιβλίου (σελ. 172) λεγόμενον, « Ἡμέραν καὶ νύκτα ἀναμεῖναι μόνην ». κρεῖττον μέντοι συνδεσμικῶς τε καὶ ἐναντιωματικῶς ἐκδέχεσθαι τὸ Μόνον, οἷα δὴ καὶ τὸ παρὰ τοῖς Γερμανοῖς Allein, ὅπερ καὶ τὸ Μόνον καὶ τὸ Ἀλλὰ, ἢ Ὅμως, σημαίνει. — Στ. 23, Ἀνύουσι.] Ἐν τῇ Β, Ἀνύονται, κατὰ μέσην διάθεσιν, ἥπερ ἐνταῦθα οὐ πάνυ τι ἔῤῥωται.

Σελ. 163, στ. 1, Προαναχθήσονται.] Τούτου, οὐκ οἶδ' ὅθεν λαβόντες, ἅπαντες οἱ πρὸ ἐμοῦ τὴν τετάρτην ἀπὸ τέλους διὰ τοῦ η ἔγραψαν. — Στ. 4, Πηκτίδων.] Εἶδος ὀργάνου κιθαρῳδικοῦ ἡ Πηκτὶς, ἧς μέμνηται καὶ Ἀριστοφάνης (Θεσμοφ. 1231). ἔοικε δὲ ἀπὸ Λυδῶν τοὺς Ἕλληνας παραλαβεῖν τὴν Πηκτίδα (Πλάτων Γ. Πολιτ. σελ. 399). — Στ. 5, Ἀσσύριόν τινα νόμον.] Νόμος ἐν Μουσικῇ καλεῖται ὁ παρ' ἡμῖν Ἦχος, ὃν οἱ πάμπαν χυδαΐζοντες Χαβᾶν καλοῦσι. συνέχεε δὲ, καθὰ καὶ πολλοὶ τῶν παλαιῶν Ἑλλήνων τε καὶ Ῥωμαίων, τοὺς Σύρους τοῖς Ἀσσυρίοις. Σύροι μὲν γὰρ εἰσὶν εἰς οὓς οἱ Φοίνικες ἔμποροι (περὶ ὧν ὁ λόγος ἐνταῦθα) καὶ αὐτὸς ὁ λέγων Ἡλιόδωρος τὸ γένος ἀνέφερον· πλατύτερον δὲ καὶ τοὺς Καππαδόκας Σύρους ἢ Συρίους οἱ Ἕλληνες ἐκάλουν, ἔπειτα δὲ καὶ Λευκοσύρους τοὺς αὐτοὺς τούτους, πρὸς ἀντιδιαστολὴν τῶν προτέρων, ἐπικεκαυμένων ὄντων τὴν χρόαν. ἑκατέρους δ' αὖ πάλιν τῷ τῶν Ἀσσυρίων ὀνόματι προσηγόρευσαν, εἴτε διὰ τὴν ὁμοιότητα συγχυθεισῶν τῶν κλήσεων, εἴτε, ὃ καὶ μᾶλλον εἰκὸς, διὰ τὸ ὑπ' Ἀσσυρίοις (καὶ αὐτοῖς Σύροις ποτὲ κληθεῖσι) γεγονέναι πάλαι τούς τε ἐν τῇ Φοινίκῃ Σύρους, καὶ τοὺς Λευκοσύρους ἢ Καππαδόκας (Ἴδε Ἡρόδοτ. Α, ς', καὶ οβ', Ε, μθ', Στράβων. Γεωγρ. ΙΒ, 544, Ις', 736, Κελλάρ. Γεωγρ. Γ, ιζ', 653). — Στ. 6, Ἅλμασιν.] Οὕτως ἐν τῇ Β. τὸ δὲ Ἅρμασι, τυπογραφικῶς ἁμαρτηθὲν ἐν τῷ Κ, ἔλαβον οἱ μετ' αὐτὸν, πλὴν τοῦ Μ. ἡ δὲ τῆς ὀρχήσεως περιγραφὴ, τὴν ὄρχησιν ἐκείνην ἐμφαίνει, ἣν ὁ Πολυδεύκης Ὄκλασμα κυρίως καλεῖ, παρεμφερῆ οὖσαν τῇ Περσικῇ λεγομένῃ ὀρχήσει, ἧς μέμνηται Ξενοφῶν (Κύρ. Ἀναβ. βιβλ. ς') λέγων· « Τὸ Περ-

» σικὸν ὠρχεῖτο, κροτῶν τὰς πέλτας, καὶ ὤκλαζε καὶ ἀν-
» ίστατο· καὶ ταῦτα πάντα ἐν ῥυθμῷ πρὸς τὸν αὐλὸν ἐποίει ».
Στ. 7, Ὁλοσώματον.] Ταῖς ἀμφιβαλλομέναις τῶν λέξεων ἐγκατέλεξεν ὁ σοφώτατος Σχνεΐδερος τὸ, Ὁλοσώματος· ἔστι δὲ οὐ τῶν ἀμφιβαλλομένων, ἀλλ' ἀπὸ τῆς κοινῆς μᾶλλον συνηθείας παρὰ συνήθειάν πως ἐσχηματισμένη. τὰ γὰρ παρὰ τὸ Ὅλος σύνθετα, ἀρχὴν λαβόντα ἀπὸ τῆς τῶν ἀρχαίων γλώσσης, ἐπεπόλασε μάλιστα παρὰ τοῖς νεωτέροις Ἕλλησιν ὑπερθετικῶν χρείαν πολλάκις πληροῦντα. τοιαῦτα δέ εἰσι τὸ Ὁλόγυμνος, Ὁλόμοιος, Ὁλόνευρος, Ὁλούστερος Ὁλόχρυσος κ. τ. λ. καὶ ἐν ἐπιῤῥήμασιν, Ὁλημερὶς, Ὁλονυκτὶς, Ὁλοχρονὶς, Ὁλόγυρα κ. τ. λ. ἃ ταυτὸν βούλονται τοῖς, Ὅλως ἢ Δι' ὅλου γυμνὸς, Κατὰ πάντα ὅμοιος, Δι' ὅλου νευρώδης, ἢ Ὅλος νεῦρον, Πάντων ὕστατος, Δι' ὅλου χρυσοῦς, Δι' ὅλης τῆς ἡμέρας, Δι' ὅλης τῆς νυκτὸς, Δι' ὅλου τοῦ χρόνου, Δι' ὅλου τοῦ γύρου. σημειωτέον δὲ παρὰ ταῦτα δύο ἐπιῤῥήματα κομψότατα, ἀκόμψως πάνυ παραχαραχθέντα ὑπὸ τῆς συνηθείας, τὸ Ὁλόπασι, λέγω, καὶ Ὁλόκαιπα· ὧν τὸ μὲν ἐστὶν Ὁλάπασι, ταὐτὸν ὅλως τῷ Παντάπασι, τὸ δὲ ἐγράφετο οἶμαι τοῖς πρώτως παραποιήσασιν, Ὁλόγκαιπαν. τοῦτο δέ ἐστιν Ὅλον καὶ πᾶν, ᾧ δὴ συνεχῶς χρῆται Πλάτων, οὐ μόνον κατ' αἰτιατικὴν, ὡς ἐν τούτοις (Α. Ἀλκιβιάδ. σελ. 109), « Ἀλλὰ μὴν » τοῦτό γε διαφέρει ὅλον τε καὶ πᾶν », ἀλλὰ καὶ κατὰ δοτικὴν, οἷον (Κρατύλ. σελ. 434), « Ὅλῳ καὶ παντὶ διαφέρει . . . τὸ » ὁμοιώματι δηλοῦν κ. τ. λ. ». — Στ. 20, Τοὺς καὶ κατὰ μικρὸν.] Οὕτω πρὸ πολλοῦ διορθώσας, ἐνέτυχον ὕστερον ταῖς ΑΑ, ἐν αἷς γράφεται μετὰ τοῦ συνδέσμου. — Στ. 25, Εὐτρεπῆ.] Ἤγουν ἡτοιμασμένην, ὡς ἐξηγεῖται Ἡσύχιος. δεόντως τοίνυν εἰς τοῦτο μετεποίησα τὸ τῶν πρὸ ἐμοῦ, Εὐπρεπῆ, ὅπερ ἐστὶν Εὔμορφον, κατὰ τὸν αὐτὸν Ἡσύχιον.

Σελ. 164, στ. 4, Τὸν ἐνυάλιον.] Ἐν ταῖς ΚΑ οὐδετέρως, Τὸ ἐνυάλιον. τὸν Ἐνυάλιον οἱ μὲν τὸν αὐτὸν εἶναι βούλονται τῷ Ἄρει, οἱ δὲ ἕτερον. ἐνταῦθα δὲ ἐπιθετικῶς ἐκληπτέον τὸν πολεμικὸν, συνυπακουομένου τοῦ Κέλαδον, ἢ Ὕμνον, ἤ τινος τοιούτου, ὡς δῆλον ἐκ τῶν πρόσθεν εἰρημένων (σελ. 50) « Οὐδὲ τὸν » ἐνυάλιον ἔνιοι κέλαδον ἀνασχόμενοι ». — Στ. 5, Ἐπιδου-

ποῦντες.] Ἐκ τῆς Β, μόνης σωσάσης τὴν ὀρθὴν ἀνάγνωσιν· τὸ γὰρ Ἐπικτυποῦντες τῶν λοιπῶν ἁπαξαπάντων οὐκ ἔστιν ἄλλ' ἢ ἐπεξήγησις τοῦ Ἐπιδουποῦντες. παρῳδεῖ δέ πως τὴν παρ' Ὁμήρῳ (Ἰλιάδ. Λ, 44) τῶν θεῶν ἐπιδούπησιν,

..............Τῆλε δὲ χαλκὸς ἀπ' αὐτόφιν οὐρανὸν εἴσω
Λάμπ'· ἘΠῚ δ' ἘΓΔΟΎΠΗΣΑΝ Ἀθηναίη τε καὶ Ἥρη.

ὅπου καὶ διορθούσθω ἡμῖν ἐν παρόδῳ τὰ Ἑνετίησιν ἐκδοθέντα σχόλια, οὕτως ἔχοντα, « Οὐ μόνον τῇ ὁπλίσει, ἀλλὰ καὶ ταῖς » ΔΗΜΟΣΊΑΙΣ προφαντάζει τὸν ἀκροατὴν », μεταγράφουσι, ΔΙΟΣΗΜΊΑΙΣ. — Στ. 8, Προσειληφότες.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 14, Ἀφιππεύσαντο.] Τουτέστιν Ἐφ' ἵππων ἔφυγον. ἄμεινον δ' ἐπὶ ταύτης τῆς σημασίας τὸ Ἀφιππάσαντο, ᾧ καὶ ἐν τοῖς ἑξῆς (σελ. 308) ἐχρήσατο.

Σελ. 165, στ. 3, Ἀλλ' εὐθύμους.] Ταύτην τὴν γραφὴν ἐξέφρασαν ὅ, τε Λ καὶ ὁ Α. ἐν μέν τοι ταῖς ΚΑ καὶ ΔΑ 568 γέγραπται, Ἀλλ' ἀνευθύνους· ἐν αὐταῖς δὲ ταύταις καὶ ταῖς ΑΑ ἐμφέρεται καὶ, Ἀλλ' ἀνευθύμους. — Στ. 5, Νῷ... ἐπιδακρύσας.] Παρακεκινδύνευται τὰ τῆς μεταφορᾶς. εἰ γὰρ καὶ Νοὸς ὀφθαλμοὺς φαμὲν, καὶ Τυφλὸς τὸν νοῦν εἴρηκε Σοφοκλῆς (Οἰδ. Τυρ. 371), καὶ, Μύσας τῷ λογισμῷ, εἶπέ που Πλούταρχος (Πομπ. § 60), οὐ διὰ τοῦτο καὶ πάντα τὰ τοῖς ὀφθαλμοῖς ὁπωσοῦν προσόντα μετενεκτέον ἐπὶ τὸν νοῦν. ὅρος γὰρ ἐν τοῖς τοιούτοις αὐτὸ τὸ καλὸν τῷ πιθανῷ συζευγνύμενον· οἷον, ἐπὶ τοῦ προκειμένου παραδείγματος, εἰ συγχωρήσαιμεν Ἐπιδακρύειν τὸν νοῦν, τί μὴ καὶ, Λημᾶν αὐτὸν φήσομεν, καὶ Σκαρδαμύττειν; καὶ τί γὰρ οὐ πάσχειν τῶν ὅσα πάσχουσιν ὀφθαλμοί; — Στ. 14, Ἐπεῖχε.] Ἤγουν Ἐκώλυεν, ὡς καὶ κατωτέρω (σελ. 169). οὕτω διώρθωκα τὸ προφανῶς ἡμαρτημένον Ὑπεῖχεν, ὅ ἐστι καθ' Ἡσύχιον « Ὑπέβαλεν (γρ. Ὑπέβαλλεν) ». — Στ. 17, Οὐδὲ ἐννοήσεις... προκείμενον.] Ὅλον τοῦτο πρὸς τῷ κακοζήλῳ καὶ τὸ ἀπίθανον ἔχει· οὐδὲ γὰρ εἰκὸς παρθένον εὖ τεθραμμένην, καὶ τῆς Ἀρτέμιδος Ζάκορον, γνωμολογεῖν ἐν καιρῷ τοιούτῳ περὶ τῶν ἐραστῶν, ἄλλως τε καὶ ἀποχρώσης τοῦ ὅρκου τῆς ἀπαιτήσεως. Στ. 25, Ὁμιλήσει.] Ἐκ τῶν ΚΑ.

Στ. 166, στ. 5, Τήν τε ἑστίαν ἐσχάραν.] Ὁ Οὐαλκηναί-

ρος, ἐν ταῖς εἰς τὸν Ἀμμώνιον σημειώσεσι (σελ. 48), οὐκ ἀπιθάνως γραπτέον εἶναι ἐνταῦθα διατείνεται, Τήν τε ἑστίας ἐσχάραν (ὤφειλεν ἐνάρθρως λέγειν, Τήν τε τῆς ἑστίας ἐχάραν). ἀλλ᾽ ἐνδέχεται τὸν Ἡλιόδωρον ἐπιθετικῶς καὶ κλητικῶς ἐνταῦθα χρήσασθαι τῷ Ἑστίαν. ὡς γὰρ φαμὲν Φιλίαν κεφαλὴν, παρὰ τὸ Φίλιος, καὶ Ἱκεσίαν χεῖρα παρὰ τὸ Ἱκέσιος, οὐδὲν κωλυόντων τῶν οὐσιαστικῶν Φιλία καὶ Ἱκεσία, οὕτω καὶ Ἑστίαν ἐσχάραν ἔστιν εἰπεῖν, παρὰ τὸ Ἕστιος, ᾧ φθὰς ἐχρήσατο (σελ. 48) ὡς ἐπιθέτῳ· χωρὶς εἰ μή τις ἡμαρτῆσθαι κἀκεῖ τὴν γραφὴν φήσειε. — Στ. 7, Ἐπιθύσαντος.] Οὕτω καὶ πάλιν διορθωτέον ἔγνων ἐξ αὐτοῦ τοῦ Ἡλιοδώρου, φήσαντος οὐ πολλῷ πρόσθεν (σελ. 161), « Τοῦ λιβανωτοῦ λαβὼν ἐπέθυσα ». ἔχω δ᾽ ἐνταῦθα ὁμολογοῦντά μοι καὶ τὸν Οὐαλκηναῖρον. — Στ. 22, Περιεστοιχισμένων ... συνεχομένων.] Οὕτως ὀρθῶς ἡ Β. ἡ αὐτὴ δὲ καὶ Γινομένων ἀντὶ τοῦ Γεγονότων. αἱ ΑΑ, Περιεστοιχισμένων, κατὰ γενικὴν, καὶ Συνεχόμενον, κατ᾽ αἰτιατικήν. ἀναφέρεται δὲ τὸ Περιεστοιχισμένων πρὸς τὸ Πολιτῶν καθ᾽ ἣν ἔφημεν καὶ ἐν τοῖς πρόσθεν (σελ. 120) μέσην διάθεσιν.

Σελ. 167, στ. 5, Περιττὸν μὲν ἴσως.] Ἐν τῇ Β, Περιττόν γε λοιπὸν ἴσως. — Στ. 8, Εἶδον ὀφθαλμοῖς.] Παρῳδεῖ τὴν πήρωσιν Τειρεσίου τοῦ μάντεως, ὃς γυμνὴν λουομένην ἰδὼν τὴν Ἄρτεμιν, πρόστιμον ἔλαβε τῆς οὐ θεμιτῆς ὁράσεως τὴν τῶν ὄψεων στέρησιν. — Στ. 11, Καὶ πρὸς Δαίμονα.] Ἐν τῇ Β, Καὶ πρὸς δαίμονας. ἄμεινον δὲ ἑνικῶς· πρόδηλον γὰρ ὅτι πεπαροιμίακε τὸ Ὁμηρικὸν (Ἰλιάδ. Ρ, 103),

Ἄμφω κ᾽ αὖτις ἰόντες ἐπιμνησαίμεθα χάρμης,
Καὶ πρὸς δαίμονά περ ..................

Στ. 12, Ἤ τίς.] Οὕτω διώρθωκα· καὶ οὕτως ἐξέφρασεν ὁ Α. ἐνδέχεται δὲ καὶ, Καὶ τίς, γεγραφέναι τὸν Ἡλιόδωρον, ᾗ γραφῇ κατηκολούθησεν ὁ Λ. — Στ. 13, Κίνδυνον.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Πόλεμον· ἔστι δὲ τοῦτο ἐπεξήγησις. ὁ γὰρ Κίνδυνος παρὰ τοῖς ἀρίστοις τῶν συγγραφέων, τὸν Πόλεμον σημαίνει κατ᾽ ἐξοχήν, ὡς καὶ τὸ Κινδυνεύειν, τὸ Πολεμεῖν, οἷόν ἐστι καὶ τὸ, ΜΑ ΤΟΥΣ ἘΝ ΜΑΡΑΘΩΝΙ ΚΙΝΔΥΝΕΥΣΑΝΤΑΣ, ὁ ἱερώτατος τῶν Ἑλλήνων καὶ τῶν Ἑλληνικῶς φρονούντων ὅρκος. Στ. 14, Κἀμοί.] Ἀντὶ τοῦ Καὶ ἐμοί. οὕτως ἔγραψα ἐκβαλὼν τὸ

Σόλοικον Καί μοι, ἐπειδὴ ἡ ἔγκλισις οὐκ ἔχει χώραν ἐν οἷς ἀντιδιαστολὴ θεωρεῖται προσώπων· ὁ γὰρ νοῦς, Οὐ μόνον αὐτὸς φίλον εἶχες αὐτὸν, ἀλλὰ καὶ ἐμοὶ εἰσποιεῖν ἔσπευδες. — Στ. 16, Οὔκουν.] Ἀνεβίβασα τὸν τόνον, ἕνεκα τῆς διαφόρου σημασίας. — Στ. 17, Ἑσπέρας.] Ἐν τῇ Β, Ἡμέρας.

Σελ. 168, στ. 3, Προσαγγεῖλαί με.] Μηνῦσαι ἐμαυτὸν ἄξιον θανάτου, ἥ φησι Σουΐδας. τοῦτο γὰρ βούλεται τὸ Προσαγγέλλειν καθ' αὑτό· ὃ μὴ νοήσας ὁ Κυστέρος, ἀσαφὲς τῇ κακῇ στίξει καὶ μεταφράσει ἀπειργάσατο. Γράφε τοίνυν τὸ τοῦ Σουΐδα, «Προσαγγέλλει. Ὁ δὲ ἑαυτὸν προσαγγέλει· ἀντὶ τοῦ »μηνύει ἑαυτὸν ἄξιον θανάτου». μετάφραζε δὲ, Προσαγγέλλει, *Defert. Ille vero se defert. Id est, Se ut morte dignum declarat.* Στ. 7, Ἔρημος καὶ θεήλατος.] Ἐκ τῆς Εὐριπίδου Ἀνδρομάχης (851 - 854). — Στ. 11, Εὕρεσιν.] Ἄμεινον ἂν εἶπεν Ἀνεύρεσιν. — Στ. 15, Ὑμῶν.] Οὕτω διώρθωκα. καὶ ὁ Α δὲ δευτεροπροσώπως ἐξήνεγκε. — Στ. 20, Πατήσαντες.] Σημείωσαι τὸ τῆς κοινῆς συνηθείας, ἀπ' αὐτῶν ἤδη τῶν Ἡλιοδώρου χρόνων ἀρξάμενον· φαμὲν γὰρ, Οἱ κλέπται ἐπάτησαν τὴν πόλιν, τὸ χωρίον, τὸν οἶκον κ. τ. λ.

Σελ. 169, στ. 5, Εὕρεσιν.] Ὀρθῶς ἐνταῦθα τὸ Εὕρεσιν, καὶ οὐχ ὡς ἐν τοῖς μικρῷ πρόσθεν. ἐκεῖ μὲν γὰρ Ἀνεύρεσιν ὤφειλεν εἰπεῖν, διὰ τὸ ἐζητῆσθαι τὴν ἁρπαγεῖσαν· ἐνταῦθα δὲ τὴν ἐν Αἰγύπτῳ φησὶν εὕρεσιν αὐτῆς ταύτης, ἣν οὐκ ἐζήτει. πῶς γὰρ ἣν οὐδέπω ἐγνώκει; — Στ. 17, Ὥσπερ ῥεύμασι κ. τ. λ.] Ψυχρὰ ἡ παραβολή. οὐ γὰρ, ἐπειδὴ παραβολικῶς Ὅμηρος κρήνῃ (Ἰλιάδ. Π, 3), καὶ ποταμῷ ῥέοντι (Ὀδυσσ. Τ, 207), προσείκασε τὰ πολλὰ δάκρυα, διὰ τοῦτο καὶ, Ὑποφέρεσθαι τοῖς δάκρυσιν, ὥσπερ ῥεύμασι, φήσομεν, ἐκεῖνο δηλαδὴ προϊσχόμενοι, ὅτι καὶ τὸ τοῦ ποταμοῦ ῥεῦμα ὑποφέρει καὶ κατασύρει τὰ προστυχόντα· λάθοιμεν γὰρ ἂν οὕτω ὥσπερ ῥεύμασι ταῖς μεταφοραῖς ὑποφερόμενοι καὶ τῆς ἀληθείας ἐκτοπιζόμενοι. — Στ. 18, Τὸν καιρὸν προϊέμενοι . . . ῥοπήν.] Ἐκ Δημοσθενικοῦ τοῦτο λόγου, οὐ μέμνημαι τίνος ἔν γε τῷ παρόντι.

Σελ. 170 στ. 1, Αὐτούς τε ὡς ὅτι τάχιστα.] Μικρᾷ διαστολῇ παρεμυθησάμην τὸ χωρίον, ἐκ μέσου ποιήσας τὸ Τέως

ἐπίῤῥημα.—Στ. 3, Διαβιβάσαντας.] Περιέγραψα τὸν σόλοικον μέλλοντα. — Στ. 15, Συμβάλλειν.] Ἐξώρισα κἀνταῦθα τὸ σόλοικον Συμβαλεῖν. — Στ. 19, Χειρί.] Ἤγουν Χειροτονίᾳ, ἣ ἐγίνετο οὕτως· ἔλεγεν ὁ Κήρυξ (οἷον ἐπὶ τοῦ προκειμένου), ὅτῳ δοκεῖ τὴν Ζάκορον ἀναφαίνειν κ. τ. λ. ἀνατεινάτω τὴν χεῖρα, καὶ ἀνέτεινον οἷς ἐδόκει, τὰς χεῖρας. καὶ ἐκαλεῖτο τοῦτο Καταχειροτονία. εἶτα πάλιν ἔλεγεν ὁ Κήρυξ ὅτῳ μὴ δοκεῖ τὴν Ζάκορον ἀναφαίνειν κ. τ. λ. ἀνατεινάτω τὴν χεῖρα, καὶ ἀνέτεινον οἷς μὴ ἐδόκει. καὶ ἐκαλεῖτο τοῦτο Ἀποχειροτονία. καὶ λοιπὸν ἠρίθμει πάσας τὰς χεῖρας ὁ Κήρυξ τῶν τε καταχειροτονησάντων καὶ τῶν ἀποχειροτονησάντων, καὶ ἐκράτει τῶν πλειόνων ἡ γνώμη.

Σελ. 171, σλ. 1, Εἰς ἀκμῆς προσθήκην.] Τουτέστιν, ὅσον ἔλειπε τῆς κατὰ τὴν ἡλικίαν ἀκμῆς τοῦτο προστιθείσης τῆς προθυμίας. σοφιστικῶς δὲ καὶ ἀπιθάνως ἐτραγῴδησε τὴν παίδων, γυναικῶν καὶ πρεσβυτῶν ἐκστρατείαν, μετενεγκὼν ἐκ τῶν τῷ Διοδώρῳ τῷ Σικελιώτῃ (ΙΓ, νε´) ἱστορηθέντων περὶ τῆς πολιορκίας τῶν Σελινουντίων. — Στ. 6, Ἐγνώριζον.] Ἐν τῇ Β, Ἐγνώρισαν. — Στ. 8, Ἕλκουσαν τὸ σῶμα τὴν διάνοιαν.] Ἐν τῇ Β, Ἕλκουσαν πρὸς τὸ σῶμα τὴν διάνοιαν, ἴσως ἐξ ἑτέρας γραφῆς, Ἕλκουσαν τὸ σῶμα πρὸς τὴν διάνοιαν, ἢ μᾶλλον, Ἕλκουσάν πως τὸ σῶμα τὴν διάνοιαν. — Στ. 11, Κεκινημένη.] Ἐν τῇ Β, Κεκινημένοι, ὅπερ οὐκ ἂν ἦν ἀπόβλητον, εἰ καὶ τὰ ἑξῆς πληθυντικῶς ἐξεφέρετο.

Βιβλίῳ Ε, Σελ. 172, σλ. 4, Ὑπέβαλεν.] Τουτέστιν, Ὑπηγόρευσεν, εἰς νοῦν ἔβαλεν, ὅπερ Suggerire φαίη ἂν Ἰταλὸς ἀνὴρ τῇ ἰδίᾳ γλώσσῃ. εἰς τοῦτο οὖν ἔτρεψα τὸ ἡμαρτημένον Ἐπέβαλεν. Στ. 12, Ὑπ' εἰρεσίᾳ τὸ πρῶτον κ. τ. λ.] Ἐξ Ὁμήρου (Ὀδυσσ. Λ, 638),

> Τὴν δὲ κατ' Ὠκεανὸν ποταμὸν φέρε κῦμα ῥόοιο,
> Πρῶτα μὲν εἰρεσίῃ, μετέπειτα δὲ κάλλιμος οὖρος.

Σελ. 173, σλ. 2, Νῆσοι δὲ Ὀξεῖαι.] Τῶν Ἐχινάδων αὗται. Ὅμηρος δὲ Θοὰς αὐτὰς καλεῖ (Ὀδυσσ. Ο, 298), ὃ καὶ αὐτὸ οὐδὲν ἄλλ' ἢ Ὀξείας σημαίνει. — Στ. 5, Λανθάνω τὴν διήγησιν κ. τ. λ.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. ἐξ ὧν δῆλον, ὅτι τὰ λοιπά, Ἐμαυτὸν καὶ ὑμᾶς, καὶ ἐκτείνω, παρεμβέβληνται ὑπό τινος ὡς ἐπ–

ἐξήγησις. καὶ αὐτὸ δὲ τὸ Ὑμᾶς, πληθυντικῶς πρὸς ἕνα τὸν Κνήμωνα ἀποτεινόμενον, ἐλέγχει τὴν παρεμβολήν. — Στ. 6, Ἐνταῦθα τὸν λοιπὸν λόγον. ] Τυπογραφικῶς ἡμάρτηται, βουληθέντος μου γράφειν τε καὶ διορθοῦν, Ἐνταῦθα λοιπὸν τὸν λόγον. ἐν τῇ Β, Ἐνταῦθα λοιπὸν λόγον ἄνευ ἄρθρου. αἰνίττεται δέ πως τὸ ἐν Ὀδυσσείᾳ (Λ, 378) εἰρημένον,

Ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ὕπνου.

Στ. 11, Τῆς νυκτός.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Τῶν νυκτῶν. — Στ. 16, Πολλὰς μὲν ... πλείους δέ.] Χαίρει καὶ ὁ Ποιητὴς (Ἰλιάδ. Λ, 494) τῷ Πολλάς,

Πολλὰς δὲ δρῦς ἀζαλέας, πολλὰς δέ τε πεύκας.

Σελ. 174, στ. 6, Ὦ 'γαθὲ Καλάσιρι.] Ἐν ταῖς ΚΑ, Ὦ καλὲ Καλάσιρι· καὶ ἴσως τοιαύτη ἦν ἡ ἀρχαία γραφὴ, τοῦ Ἡλιοδώρου τὴν παρονομασίαν προελομένου, καίπερ οὐ πάνυ τι σπουδάζοντος περὶ τὰ τοιαῦτα, ὡς καὶ ἐκ τῶν ἑξῆς δῆλον. Στ. 20, Αὖος ἐγεγόνει.] Τοῦτο ἡ συνήθεια, Ἔμεινε ξερὸς, λέγει, καθὰ καὶ ἐν τοῖς πρόσθεν (σελ. 23) εἰρήκαμεν.

Σελ. 175, στ. 1, Ἐκτόπως.] Ἐν ταῖς ΚΑ, Ἀτόπως, ὅπερ ἐστὶν ἐπεξήγησις τοῦ ἐκτόπως. — Στ. 5, Γνωρίζεις τε.] Ἔτρεψα τὸν σόλοικον Γε, εἰς τὸν Τε. αἱ ΑΑ Γνωρίζεις καὶ, οὐδὲ τοῦτο ὀρθῶς. — Στ. 10, Ταυταισί.] Λείπει ἐν τῇ Β. ἔτρεψα δὲ τὸ Ἰωνικὸν Ταύταισι, εἰς τὸ Ἀττικὸν Ταυταισὶ, ᾧ χρῶνται εἰς ἐναργεστέρας δείξεως ἔμφασιν, λέγοντες Οὑτοσὶ, Αὑτηῒ, Τουτὶ καὶ Τουτογὶ. — Στ. 21, Πάντα γε.] Ἐν ταῖς ΑΑ, Πάντα τε.

Σελ. 176, στ. 1, Αἴλινον ᾠδὴν ἐν νυκτὶ μυρομένης.] Ἐν ταῖς ΚΑ ἀντὶ τοῦ Αἴλινον ἐμφέρεται, Αἴλιον, ὅπερ ὁ Κ μεταποιητέον εἶναί φησιν εἰς τὸ Αἰλινὸν (γρ. Αἴλινον), μάρτυρα παρεχόμενος τὸν Ἐτυμολόγον λέγοντα, «Αἴλινον, τοῦτο ἐπὶ θρή-»νου ἐτίθετο κ.τ.λ.», πρὸς δὲ καὶ τὸν Σοφοκλέα (Αἴαντ. 627),

ΑΊΛΙΝΟΝ, ΑΊΛΙΝΟΝ<br>
Οὐδ' οἰκτρᾶς ΓΟΌΝ ὄρνιθος ἈΗΔΟΥΣ<br>
Ἥσει δύσμορος..........

ἐνδέχεται δὲ καὶ τὸ, Ὠδὴν παρεμβεβλῆσθαι ὑπό τινος ἐν τῷ προκειμένῳ χωρίῳ, τοῦ Ἡλιοδώρου γράψαντος ἐπιρρηματικῶς,

Αἴλινον

Αἴλινον ἐν νυκτὶ μυρομένης. τούτοις δὲ παρατεθείσθω καὶ τὸ τοῦ Μόσχου (Γ, α΄),

ΑΊΛΙΝΑ μοι στοναχεῖτε νάπαι, καὶ Δώριον ὕδωρ,
Καὶ ποταμοὶ κλαίοιτε τὸν ἱμερόεντα Βίωνα,
Νῦν φυτά μοι ΜΎΡΕΣΘΕ, καὶ ἄλσεα νῦν γοάοισθε.

τὴν ἡμαρτημένην δὲ γραφὴν Ἔλειον, εἴπερ εἰς ἕτερόν τι παρὰ τὸ Αἴλινον μεταβάλλειν ἐχρῆν, οὐκ Ἐλεεινὸν ἔδει γράφειν, ὡς ὑπείληφεν ὁ Μ, ἀλλὰ κατὰ συγκοπὴν, Ἐλεινὸν, ᾗ συγκοπῇ καὶ Σοφοκλῆς (Φιλοκτ. 870) κέχρηται, ἢ γοῦν Ἐλεὸν, ἵν' εἶχέ πως καὶ τοῦτο παρῳδῆσθαι ἐξ Ἡσιόδου (Ἔργ. καὶ Ἡμ. 205),

Ἡ δ' ΕΛΕΌΝ γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσι,
ΜΥΡΕΤΟ..........................

σημείωσαι δὲ καὶ τὸ Μύρεσθαι, παρ' ὃ ἡ συνήθεια ἐσχημάτισε σύνθετον τὸ Μυρολογῶ, τῷ ἰδίως ἐπὶ τῆς ἐπὶ τοῖς ἀποιχομένοις θρηνῳδίας τετάχθαι, διαφέρον τοῦ Οἰκτρολογῶ καὶ Ἐλεεινολογῶ. ἡ δὲ σύνθεσις ἀνάλογός ἐστι τῷ Μυρῳδῶ, ὅπερ ἀγνοήσας τῶν τις κριτικῶν, κακῶς τὸ παρ' Ἡσυχίῳ Μυρῳδεῖ, εἰς τὸ Μυράδει μεταβάλλειν ὥρμησεν. ἐκεῖνο δὲ ἴσως Ἡσυχίου τὸ χωρίον χρήζει διορθώσεως, ὅπου φησὶν, «ἈΝΕΙΝΩ͂Σ, οἰκτρῶς». ἐνδέχεται γὰρ ΑἸΛΊΝΩΣ γεγράφθαι τὸ πάλαι, καί τοι καὶ τοῦ Ἀδινῶς, ὡς ἕτεροι διορθοῦνται, πολὺ τὸ πιθανὸν ἔχοντος. — Στ. 2, Ἐπί τε τὸ δωμάτιον...καὶ μὴ βουλόμενος.] Ὅλην ταύτην τὴν τῆς Χαρικλείας ἐντέχνως ἐκφρασθεῖσαν θρηνῳδίαν ἀτέχνως ἐμιμήσατο Ἀχιλλεὺς ὁ Τάτιος (ς, ιε΄ καὶ ις΄) ἐπὶ τὴν Λευκίππην μετενεγκὼν, οὐδὲ τοῦ δωματίου ἐπιλαθόμενος. — Στ. 16, Καὶ πικρότερα.] Ἐν τῇ Β, Ὅτι καὶ πικρότερα. — Στ. 19, Καταγώγιον.] Ἄνευ τοῦ ἄρθρου, ὡς ἡ Β. — Στ. 22, Ἐκεῖ με καὶ ζῶσαν.] Ἔτρεψα τὸν ἀναντapόδοτον Μὲν εἰς τὴν ἀντωνυμίαν Μέ.

Σελ. 177, στ. 2, Βουλήμασι.] Οὕτως ἀναγνωστέον εἶναι, καὶ οὐ Βουκολήμασιν, ὡς ἐμφέρεται ἐν ταῖς ΚΔ, δηλοῖ καὶ τὸ παράλληλον χωρίον (σελ. 212) «Ἀθέσμοις βουλήμασι λη»στῶν ἐκκειμένους». — Στ. 3, Ἀνεχομένη.] Καὶ τυφλῷ δῆλον γραπτέον εἶναι, ὥσπερ διώρθωκα, Ἀνεχομένη, ἤγουν φέρουσα, ὑπομένουσα, καὶ οὐκ Ἀντεχομένη, ὅ ἐστιν ἀντιλαμβανομένη. οὕτως ἐν τοῖς πρόσθεν (σελ. 50) «Εἶναι μετὰ

X

» Χαρίκλειαν οὐκ ἀνεχόμενος » εἶπεν. — Στ, 14, Ἐκ δὲ τῶν ἐπὶ τέλους.] Προσέθηκα τὸν σύνδεσμον διὰ τὴν ὑπεναντίωσιν τοῦ Ἕτερα. — Στ. 15, Ὀλίγου μὲν ἐδέησε.] Ἔτρεψα τὴν αἰτιατικὴν εἰς γενικήν. τὸ γὰρ Ὀλίγος τε καὶ Μικρὸς ἐπὶ τῶν τοιούτων μετὰ μὲν τοῦ Δέω ῥήματος μόνου, κατὰ γενικὴν ἐκφέρειν εἰώθασιν οἱ χαριέστεροι τῶν καταλογάδην γραφόντων, οἷον Μικροῦ ἢ Ὀλίγου ἐδέησε κατενεχθῆναι. αἰτιατικῶς δὲ ἐκφέροντες προσλαμβάνουσι τὴν Παρὰ πρόθεσιν, μετὰ τῆς ἐπιπλοκῆς, τοῦ Δέω, ἢ ἄλλου του ῥήματος, οἷον, Παρὰ μικρὸν, ἢ παρ᾽ ὀλίγον ἐδέησεν, ἢ ἦλθε κατενεχθῆναι. οἱ δ᾽ Ἀντιγραφεῖς συνέχεαν ταῦτα πολλάκις οὐ μόνον παρ᾽ Ἡλιοδώρῳ, ἀλλὰ καὶ παρὰ πολλοῖς ἄλλοις τῶν συγγραφέων. αὐτίκα παρὰ Πλουτάρχῳ ἐν τῷ αὐτῷ Βιβλίῳ καὶ, Μικρὸν ἐδέησαν (Μαρ. § 32) καὶ, Μικροῦ ἐδέησε (Αυτ. § 44) γεγράφασι. καὶ παρήχθησαν ἴσως ὑπὸ τῆς κοινῆς συνηθείας, καθ᾽ ἣν φαμὲν, Ὀλίγον ἔλειψε νὰ πέσῃ, ἢ ὀνομαστικῶς συνάπτοντες τὸ Ὀλίγον πρὸς τὸ Ἔλειψεν, ἤγουν Ὀλίγον (πρᾶγμα) ἔλειψεν ἵνα πέσῃ, ἢ ἐλλειπτικῶς συνυπακούοντες ἔξωθεν τὴν πρόθεσιν, τουτέστι, Παρ᾽ ὀλίγον ἀπέλιπε τοῦ πεσεῖν. εἴρηκα δὲ τῶν Λογογράφων εἶναι τὴν χρῆσιν τῆς γενικῆς, διὰ τὸ παρ᾽ Ὁμήρῳ μοναδικὸν (Ὀδυσσ. Ι, 483 καὶ 540) Τυτθὸν ἐδεύησεν, ὅπερ ἐστὶ Μικρὸν ἐδέησε, καίπερ ἴσως καὶ παρ᾽ ἐκείνῳ τῆς γραφῆς ἁμαρτηθείσης. ἐκ δὲ τοῦ ἐχομένου, Καὶ καλενεχθῆναι, περιγραπτέος ὁ σύνδεσμος, εἰς οὐδὲν δέον πλεονάσας. — Στ. 25, Παλμὸς εἶχε, τῶν δὲ ὀδόντων ἄραβος.] Συνάπτει ταῦτα καὶ Πλούταρχος (Συμποσιακ. Γ, ς΄), « Τὸν ἐκ τῆς συνουσίας ἄραβον καὶ » παλμὸν » φήσας. ὁ δὲ Ἡλιόδωρος ἰδίως ἐνταῦθα ἐπὶ τῆς τῶν ὀδόντων συγκρούσεως ἐχρήσατο τῇ λέξει, λαβὼν ἐξ Ὁμήρου (Ἰλιάδ. Κ, 375),

..... Ἄραβος δὲ διὰ στόμα γίνετ᾽ ὀδόντων.

καὶ ὁ Ἄραδος δὲ διὰ τοῦ δ συγγενής πως ἐστὶ τῷ Ἀράβῳ· σημαίνει γὰρ παρ᾽ Ἱπποκράτει τὴν ταραχώδη κίνησιν καὶ σάλον τῆς γαστρός. καὶ Ἀραβέω δὲ ῥῆμα καὶ Ἀραδέω εὕρηται. καὶ ἔοικεν ἡ διὰ τοῦ β γραφὴ, ὅτε σημαίνει τὴν ταραχώδη κίνησιν ἢ σύῤῥηξιν, διαλέκτου εἶναι ἰδίωμα, ἢ Γραμματικῶν ἁμάρτημα· ἀναλογώτερον γὰρ ἐπὶ ταύτης τὸ Ἄραδος, οὐδὲν δια-

φέρον τοῦ Ἀραγμὸς, πλὴν εἰ μὴ τῇ παραγωγῇ· τὸ μὲν γὰρ ἀπὸ τοῦ παθητικοῦ, τὸ δὲ ἀπὸ τοῦ μέσου παρακειμένου τοῦ Ἀράσσω ῥήματος παρῆκται. Ἄραβος δὲ κυρίως, εἰ χρὴ πύθεσθαι τοῖς Ἐτυμολογισλαῖς, ἡ ἐν τῷ Ἄρει, τουτέσλι τῷ πολέμῳ, γινομένη βοή.

Σελ. 178, σλ. 5, Ἐξεμάνθανεν.] Σημείωσαι τὴν καινοφανῆ χρῆσιν, οὔπω καταχωρισθεῖσαν ἐν τοῖς Λεξικοῖς. τὸ γὰρ Ἐκμανθάνειν, τὸ ἀκριβῶς μανθάνειν, ἢ ἐξεπίσλασθαι σημαίνει· ἐνταῦθα δὲ ἀντὶ τοῦ Ἐζήτει μανθάνειν, ἤγουν Ἠρώτα, ἐχρήσατο τῷ Ἐξεμάνθανεν. — Στ. 7, Ἐξέθανε.] Ἤγουν ἐλειποθύμησεν· τοῦτο γὰρ σημαίνει παρὰ τοῖς ἀρίσλοις τῶν Συγγραφέων τὸ Ἐκθνήσκειν, ὅπερ ἀγνοήσαντες πολλοὶ πολλάκις ἀντὶ τοῦ Ἀποθνήσκειν ἐξεδέξαντο. εἰσηγητὴς δὲ τῆς χρήσεως Ὅμηρος (Ὀδυσσ. Σ, 99) « Γέλῳ ἔκθανον » εἰπὼν, ὅπερ ἡ κοινὴ συνήθεια Ὠλιγώθησαν, ἢ Ὠλιγοθύμησαν νὰ γελῶσι, φάσκει, καὶ τοῦ Ὀλιγοῦσθαι παρ' αὐτῇ τὸ Λειποθυμεῖν σημαίνοντος, ὡς καὶ τὸ παρὰ τοῖς Ἰταλοῖς *Venir meno*. ἐχρήσαλο δὲ τῇ λέξει καὶ ὁ τὰ καθ' Ὑσμινίαν καὶ Ὑσμίνην γράψας Εὐμάθιος (Θ, σελ. 341) « Καὶ ὅλος ὀλιγωθεὶς τὴν ψυχὴν » . . . κατὰ γῆν ἐλεεινῶς ἐπεπτώκειν ». — Στ. 15, Ὅτι.] Διεσλαλμένως, Ὅ, τι, ἐξεδέξατο ὁ Λ, ᾧ κατηκολούθησε καὶ ἡ πέμπτη ἔκδοσις. τὸ δὲ ἐχόμενον, Ἤδη τὸ ἀλγεινὸν, ὁ Α μετέφρασεν ὥσπερ ἂν εἰ ἐγέγραπτο, Ἤδη τι ἀλγεινόν. ἔοικε δὲ ταῦτα παρῳδῆσθαι ἐκ τῶν Μενάνδρου (παρὰ Στοβ. ρϛ'),

> Εὕροις δ' ἂν οὐδὲν τῶν ἁπάντων, Σιμύλε,
> Ἀγαθὸν, ὅπου τι μὴ πρόσεσλι καὶ κακόν.

Στ. 15, Αὐτῷ.] Τουτέσλι τῷ δαιμονίῳ, ὡς ἐξεδέξατο καὶ ὁ Α.

Σελ. 179, σλ. 6, Ὀχλήσοντος.] Κἀνταῦθα ἐξέβαλον τὸν κακῶς εἰσφρήσανλα ἀόρισλον, ὡς καὶ ἐν τῷ παραλλήλῳ χωρίῳ (σελ. 11) καὶ ἐν ἄλλοις πλείσλοις. — Στ. 8, Ἐνεπίμπλαντο.] Ἐν τῇ Β, Ἐμπίμπλανλο, ἀναυξήτως. — Στ. 11, Δάκρυσι δὲ ὑγροῖς.] Ποιητικώτερον εἴρηται τοῦτο, ὡς καὶ τὸ παρ' Ὁμήρῳ (Ὀδυσσ. Δ, 458) Ὑγρὸν ὕδωρ. — Στ. 14, Παρακινοῦντα.] Εἴρηκα μὲν καὶ ἐν τοῖς πρόσθεν (σελ. 96) περὶ τοῦ Παρακινεῖν ἢ Παρακινεῖσθαι· ζήτει δὲ καὶ τὰ Γαλλισλί μοι γεγραμμένα περὶ αὐ-

τοῦ ἐν ταῖς εἰς τὸ Ἱπποκράτους περὶ Ἀέρων, Ὑδάτων, Τόπων σημειώσεσι (Τ. Β. σελ. 366). — Στ. 25, Πρὸς ἄλλα.] Ἐν ταῖς ΑΑ, Εἰς ἄλλα. περὶ δὲ τῆς γνώμης ταύτης εἴρηται ἐν τοῖς πρόσθεν (σελ. 153).

Σελ. 180. στ. 7, Ἀπόῤῥητά τε γνωριοῦμεν παρόντες.] Ὁ νοῦς, Παρόντες φράσομεν ἀλλήλοις διὰ συμβόλων τὰ ἀπόῤῥητα, ἐὰν δηλονότι ἄλλων παρουσία κωλύῃ τὸ σαφῶς αὐτὰ ἐκλαλῆσαι· ὃν ὁ μὲν Λ οὐ πάνυ σαφῶς ἡρμήνευσεν, ὁ δὲ Α, οὐδὲ συνῆκεν ὅλως. — Στ. 13, Λίθοις ἐπὶ τριόδων.] Εἴρηταί μοι περὶ τούτων ἀρκούντως ἐν ταῖς εἰς τοὺς Θεοφράστου χαρακτῆρας σημειώσεσι (σελ. 254). περὶ δὲ τῶν καθ' ὁδοὺς ἀγαλμάτων ἢ βωμῶν τοῦ Ἑρμοῦ, οὓς Ἑρμᾶς τε καὶ Ἕρμακας ἐκάλουν, διείληφεν Εὐστάθιος (Ὀδυσσ. Π, 471), Στράβων (ΙΖ, 818), καὶ ἄλλοι. — Στ. 19, Ὃς ἀμαυρῶσαι.] Ἔτρεψα τὴν Ἀπαρέμφατον εἰς τὴν Εὐκτικὴν λεγομένην ἔγκλισιν, τοῦτο τῆς συντάξεως ἀπαιτούσης· ὡς καὶ ἐν τοῖς πρόσθεν (σελ. 112) «Ὃ τὸ Θεαγένους ὑπερβάλοιτο κάλλος». — Στ. 22, Οὐλὴν δὲ ἐπὶ τοῦ γόνατος κ. τ. λ.] Ἠνίξατο τὴν παρ' Ὁμήρῳ (Ὀδυσσ. Τ, 393) οὐλὴν τοῦ Ὀδυσσέως,

Οὐλὴν, τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι,

ἐξ ἧς ἡ Εὐρύκλεια ἀνεγνώρισε τὸν Ὀδυσσέα, ὥσπερ ἡ Χαρίκλεια ἀναγνωρίσειν ἐλπίζει τὸν Θεαγένην. καὶ παρὰ τῷ Εὐριπίδῃ δὲ (Ἠλέκτρ. 573) ἐξ οὐλῆς Ὀρέστης ἀναγνωρίζεται τῇ Ἠλέκτρᾳ. — Στ. 24, Λαμπάδα.] Ἡ Χαρίκλεια, ὡς Ζάκορος τῆς Ἀρτέμιδος· ὁ δὲ Θεαγένης, Φοίνικα, ὡς λαβὼν αὐτὸν ἔπαθλον ἐκ τῶν χειρῶν Χαρικλείας. — Στ. 25, Αὖθις περιέβαλλον.] Προσέθηκα τὸ Αὖθις ἐκ τῶν ΑΑ, ὡς ἐμφατικωτέρας οὔσης ἐνταῦθα τῆς ἐπαναλήψεως.

Σελ. 181, στ. 4, Θίγοντες.] Οὕτως ἐν ἅπασι κατ' ἐνεστῶτα τὸ, Θίγοντες, ὅπερ ὁρμηθεὶς εἰς τὸν ἀόριστον Θιγόντες τρέψαι, οὐκ οἶδ' ὅπως ἐπελαθόμην. τοῦτο δὲ καὶ ἐν ἄλλοις ὅτι πλείστοις ἡμάρτηται ἀβλεψίᾳ τῶν Ἀντιγραφέων· αὐτίκα παρὰ Πλουτάρχῳ (Καίσαρ. § 69.) «Ἀλλὰ καὶ τοὺς » καθ' ὅ, τι οὖν, ἢ χειρὶ τοῦ ἔργου θίγοντας, ἢ γνώμῃ με» τασχόντας ἐπεξελθεῖν», ὅπου γραπτέον ὡσαύτως παροξυτόνως, Θιγόντας. — Στ. 5, Σύλων.] Ἐν ταῖς ΚΑ, Σκύλων.

Στ. 18, Εἰσῄκεσαν.] Ἐξεῖλον τὸ ῑ τῆς παρατελευταίας. αὐτὸς γὰρ Ἡλιόδωρος ἐρεῖ προϊὼν (σελ. 229) Εἰσῄκεσαν, ὡς καὶ (σελ. 192) Ἐῴκεσαν· καὶ ὅλως κοινόν ἐστιν Ἰώνων τε καὶ Ἀττικῶν τὸ μὴ διὰ τοῦ εισαν ἀλλὰ διὰ τοῦ εσαν ἐκφέρειν τοὺς Ὑπερσυντελικοὺς κατὰ τὸ τρίτον τῶν πληθυντικῶν. σημείωσαι δὲ καὶ τὸ Ἀπαλγοῦντες, ἀντὶ τοῦ Ἀποκάμνοντες καὶ μηκέτι θέλοντες πονεῖν, ὡς Ἡσύχιος ἐξηγεῖται.

Σελ. 182, στ. 1, Ὁμόσε.] Λείπει τὸ Ὁμόσε ἐκ τῆς Β· καὶ ἐνδέχεται μόνῳ τῷ Χωρήσωμεν κεχρῆσθαι τὸν Ἡλιόδωρον συνωνύμως τῷ Εἴξωμεν, οἷον καὶ τὸ παρ' Ὁμήρῳ (Ἰλιάδ. Ν, 324),

Οὐδ' ἂν Ἀχιλλῆϊ ῥηξήνορι χωρήσειεν.

τὸ δὲ Ὁμόσε χωρεῖν ἀμφίβολον. κυρίως γὰρ τὸ Εἰς τὸν αὐτὸν τόπον χωρεῖν σημαίνει· ἡ δὲ πλείστη χρῆσις τροπικῶς ἐπὶ τοῦ ἐναντιοῦσθαι καὶ μάχεσθαι ἐξέλαβεν, οἷον καὶ ἐν τοῖς πρόσθεν (σελ. 68), διὰ τὸ καὶ τοὺς μαχομένους εἰς τὸν αὐτὸν τόπον συνιέναι.—Στ. 3, Πομπείαν.] Ὕβριν, παρὰ τὸ Πομπεύω. διαφέρειν φησὶν Ἀμμώνιος Πομπὴν καὶ Πομπείαν· Πομπὴν μὲν γὰρ εἶναι, ἣν τοῖς θεοῖς πέμπουσι, Πομπείαν δὲ, τὴν λοιδορίαν. ἡ δὲ συνήθεια καὶ τῇ Πομπῇ ἐπὶ κακοῦ χρῆται, τὴν ὕβριν ἢ τὴν καταισχύνην σημαίνουσα, ἰδιαίτερον δὲ τὴν δημόσιον ἐπὶ ὄνου διὰ τῆς ἀγορᾶς περιαγωγὴν τῶν ἁλόντων ἐπὶ μοιχείᾳ· καὶ Πομπειωμένον (ἀπὸ ῥήματος ἀχρήστου τοῦ Πομπειῶ) λέγει τὸν βδελυρὸν καὶ πομπείας ἄξια πράττοντα. Στ. 5, Ἐκ γῆς.] Οὕτως αἱ ΑΑ. ἐρεῖ δὲ καὶ προϊὼν (σελ. 221) ἀνάρθρως.—Στ. 11, Ὑπολέμνομεν.] Ὑφαιροῦμεν. εὐεπίφορος δὲ ὁ Ἡλιόδωρος εἰς τὸ ῥῆμα τοῦτο, ᾧ καὶ τοὺς ἀρίστους τῶν συγγραφέων χρησαμένους ἴσμεν. — Στ. 21, Ὡς ταχεῖαν . . . συγχωρῆσαι.] Ἀσυνάρτητον τοῦτο. ὤφειλε γὰρ, ἢ Ἐλπίσαι, ἀντὶ τοῦ Συγχωρῆσαι, εἰπεῖν, ἢ γοῦν ἄλλως πως διαθεῖναι τὴν περίοδον, οἷον, Οὐ γὰρ οὕτω χρηστὸς ᾧ προσπαλαίομεν δαίμονι, ὡς ταχεῖαν . . . συγχωρῆσαι.— Στ. 23, Ἑαυτοῖς.] Οὕτως ὀρθῶς ἐν ταῖς ΑΑ γέγραπται.—Στ. 25, Ὀλέθροις.] Ἐκ τῆς Β. πολλὴ καὶ κατάδηλος ἡ χρῆσις τοῦ Ὄλεθρος ἐπιθετικῶς ἀντὶ τοῦ Ὀλέθρου ἄξιος, οὐχ ὅπως παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ καὶ παρὰ τοῖς Ἀττικίζειν ἐσπουδακόσι· παρ' οἷς

καὶ τὸ Λῆρος καὶ τὸ Φλήναφος καὶ τὸ Φλύαρος ὅτὲ μὲν οὐσιαστικῶς ὅτὲ δὲ ἐπιθετικῶς ἐκλαμβάνονται. Δωριεῖς δὲ Φόνους καὶ Καταφόνους ἔλεγον τοὺς ἐπονειδίστους, ὡς οἱονεὶ ἄξια φόνου δεδρακότας (Εὐστάθ. Ὀδυσσ. Κ, 192). ὁ δὲ Ἀμμώνιος καὶ Βάραθρον ἀρσενικῶς εἰρῆσθαί φησι τὸν ἄξιον τοῦ Βαράθρου. καὶ ἡ συνήθεια δὲ Κρεμάλαν εἶπεν ἀρσενικῶς τὸν ἄξιον τῆς Κρεμάλας. διορθωτέον οὖν ἐν παρέργῳ καὶ τὸν Λουκιανὸν (Α, Νεκρ. διαλ.), ὅπου φησὶ, « Μισῶ γὰρ αὐτοὺς ἀγεννεῖς καὶ ὀλεθρίους ὄντας », μεταγράφοντας Ὀλέθρους, ᾧ καὶ ἀλλαχοῦ κέχρηται. Δημοσθένης (ἐν Γ τῶν κατὰ Φιλίππ.) « Ὄλεθρον Μακεδόνα » λέγει τὸν Φίλιππον. Πλούταρχος δὲ (Σερτωρ. § 6) καὶ « Βαρβάροις ὀλέθροις », ὥσπερ Ἡλιόδωρος, ἐπισυνάψας εἴρηκε. Ὄλεθρον δὲ οὐσιαστικῶς καὶ τὸ γυναικεῖον μόριον (Φωτ. Λέξ. Ὄλεθρον) ἔλεγον οἱ Ἀρχαῖοι, κοσμίως πάνυ τὴν τῶν ἀκόσμως τοῖς ὑπὸ γαστέρα δουλευόντων ἀπώλειαν ἐμφῆναι βουλόμενοι.

Σελ. 183, στ. 1, Ἐπίρρητον.] Ἐπονείδιστον, ἐπίψογον, αἰσχράν. — Στ. 14, Ὡς δέ.] Ἐν ταῖς ΑΑ, Ὡς δέ τι, οὐκ ὀρθῶς. — Στ. 22, Προσαγαγεῖν.] Οὕτως αἵ τε ΚΑ καὶ ΑΑ.

Σελ. 184, στ. 2, Πρὸς τοῦ προτέρου.] Ἀντὶ τῆς Πρὸς ἐν τῇ Β, Πρό· ἐν δὲ ταῖς ΚΑ καὶ ΑΑ, Ἀπὸ, ἴσως ἐξ ἀμείνονος ἑτέρας γραφῆς, Ὑπό. τὸ δὲ ἑπόμενον Κατανάλωτο, ἐκ τῆς Β ὡς Ἀττικώτερον εἴληφα. — Στ. 5, Μιτράνης.] Ἐντεῦθεν καὶ Θεόδωρος ὁ Πρόδρομος ἐν τοῖς κατὰ Ῥοδάνθην καὶ Δοσικλέα (Δ, σελ. 178) ἐπλάσατο τὸν ἑαυτοῦ Μιτράνην κατέχοντα τὴν πόλιν Ῥάμνον. — Στ. 14, Ὀλέθρων.] Οὕτω διορθῶσαι ἔγνων τὸ ἐν ἅπασιν Ὀλεθρίων, διὰ τὰ μικρῷ πρόσθεν εἰρημένα. — Στ. 19, Ὡς ἂν λανθάνοι.] Τοῦτο διορθώσας ἔλαβον ἐκ τῆς ἡμαρτημένης γραφῆς, Ὡς ἢν λανθάνοι τῶν ΚΑ καὶ ΑΑ. εἴρηκε δὲ καὶ ἐν τοῖς πρόσθεν (σελ. 174) Ὡς ἂν . . . ἔχοις. — Στ. 21, Γλώσσης τε.] Ἐκ τῶν ΑΑ.

Σελ. 185, στ. 18, Τῇ βασιλέως.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ.

Σελ. 186, στ. 5, Μεγίστῳ.] Αἱ ΚΑ, Μεγάλῳ. — Στ. 9, Αὐλὴ κόσμον.] Προσέλαβον τὸ Κόσμον ἐκ τῶν ΑΑ καὶ ΔΑ 677, αἷς κατηκολούθησε καὶ ὁ Μ. — Στ. 12, Ὑποφαινούσης.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ, ὃ παρέλαβε καὶ ὁ Μ. τοῦτο δὲ τὸ Ὑποφαίνειν κομψῶς ἡ συνήθεια διὰ τοῦ Χαράσσειν ἔφρασε,

τηρήσασα καὶ τὸ ἀμετάβατον τῆς ἐνεργείας. καὶ Χάραγμα δὲ φαμὲν τὸ παρὰ τοῖς Ἀρχαίοις Λυκαυγὲς ἢ Λυκόφως· ἐπεὶ γὰρ τῶν χαρασσομένων καὶ ῥηγνυμένων ὑποφαίνεταί τι ἔνδοθεν ὅ τέως ἦν ἀθέατον, ἐκ τοῦ προηγουμένου καὶ τὸ πρώτως φαινόμενον φῶς τῆς ἡμέρας Χάραγμα καλοῖτ' ἂν εἰκότως. οὐδ' αὐτὸ δὲ τὸ Λυκόφως ἠγνόηκεν ἡ συνήθεια· ἐπὶ μὲν γὰρ Εὐσταθίου Γλυκόφως αὐτὸ ἔλεγε (Δουκαγ. λέξ. Γλυκόφως), νῦν δὲ Γλυκοφέγγισμα καλεῖ· οὐ παρὰ τὸ Γλυκὺς, ὡς ἄν τις ἡγήσαιτο, ἀλλὰ προσθεῖσα τὸ γ̄, καθὰ καὶ τῷ Γλάρος παρὰ τὸ Λάρος, καὶ τῷ Γνέμα παρὰ τὸ Νεῦμα κ. τ. λ. ταύτης δὲ τῆς προσθήκης εὕρηται καὶ ἐν τῇ ἀρχαίᾳ φωνῇ παραδείγματα, οἷον Γλαμᾶν παρὰ τὸ Λημᾶν, Γλάμπτειν παρὰ τὸ Λάπτειν, Γνόφος παρὰ τὸ Νέφος, Γνόω παρὰ τὸ Νοῶ κ. τ. λ. — Στ. 21, Ὅσον ἄν τι.] Μετήλλαξα τὸ Τις εἰς τὸ Τι, ἵνα ἔχῃ ἀναφέρεσθαι πρὸς τὸ οὐδέτερον, Διάφορον.

Σελ. 187, στ. 14, Ἐδάκρυεν.] Ἔτρεψα τὸν ἀόριστον εἰς τὸν παρατατικὸν, διὰ τὸ Ἐφ' ὅσον, ὅπερ ἐμφαίνει παράτασιν. ἀντὶ δὲ τοῦ Ἀφορῶν, ὅπερ ἐμφέρεται καὶ ἐν τῇ Β καὶ ἐν ταῖς ΑΑ, ὁ πέμπτος ἐκδότης καὶ ὁ Μ, παρὰ τοῦ Βουρδελότου λαβόντες, Ἐφορῶν. — Στ. 15, Ἀναγνωρισμὸς, ἀγνοῶν καὶ διαπορῶν.] Αἱ ΑΑ, Ἀναγνωρισμὸς, διαπορῶν, δίχα τῆς πρώτης μετοχῆς καὶ τοῦ συνδέσμου. — Στ. 16, Ἅμα φιλήμασι.] Προσετέθη τὸ Ἅμα ἐκ τῶν ΑΑ. ἔστι δὲ ταὐτὸν τῷ Σὺν φιλήμασιν· ἕτερον γὰρ τὸ φιλεῖν τοῦ ἀσπάζεσθαι· τοῦτο γὰρ, ὡς καὶ ὁ σχηματισμὸς δηλοῖ, ταὐτόν ἐστι τῷ Σπάεσθαι μέσῳ ῥήματι, παρεμβληθέντος τοῦ ζ, καὶ προστεθέντος τοῦ κατ' ἀρχὰς ᾱ (ἀναλόγως τῷ Ἀράσσω ἀπὸ τοῦ Ῥάσσω)· οἱ γὰρ φιλεῖν μέλλοντες σπῶσιν, ἤγουν ἕλκουσι πρὸς ἑαυτοὺς τὸν φιληθησόμενον ταῖς χερσὶ περιβάλλοντες. δῆλον δὲ καὶ ἐκ τοῦ Πλουτάρχου (Περικλ. § 24), ἐν οἷς φησιν ὅτι Περικλῆς τὴν Ἀσπασίαν, «Ἐξιὼν, καὶ εἰσιὼν ἀπ' ἀγορᾶς, ἠσπάζετο καθ' ἡμέ»ραν μετὰ τοῦ καταφιλεῖν». — Στ. 19, Ὅσα κατὰ γνώμην ὄντα κ. τ. λ.] Συγκέχυται τὰ τῆς συντάξεως· πλὴν εἰ μή τι γραφικὸν ἁμάρτημα παρεισέδυ τοῖς λεγομένοις. ὤφειλε γὰρ εἰπεῖν Εἰσὶ ἀντὶ τοῦ Ὄντα, ἵνα ᾖ τὸ ἑξῆς, Σοὶ δ' οἱ θεοὶ τοσαῦτα δοῖεν εἰς κόρον τελεσθῆναι, ὅσα σοι κατὰ γνώμην εἰσὶ,

κατὰ τὸ Ὁμηρικὸν (Ὀδυσσ. Ζ, 180),

Σοὶ δὲ θεοὶ τόσα δοῖεν, ὅσα φρεσὶ σῇσι μενοινᾷς,

ὃ δὴ καὶ παρῳδεῖν ἔοικε· ἢ γοῦν ... τοσαῦτα δοῖεν, ὅσα σοι κατὰ γνώμην εἰσὶ τελεσθῆναι εἰς κόρον. — Στ. 20, Σωτήρ μοι.] Ἐκ τῶν ΑΑ, ἐξ ὧν λείπει καὶ τὸ ἐχόμενον, Ἔτι. — Στ. 21, Τὴν ἐμοί.] Ἐκ τῶν ΔΑ98, αἷς κατηκολούθησε καὶ ὁ Μ.

Σελ. 188, σl 3, Ὅποι.] Ἐν ταῖς ΚΑ, Ὅπῃ. — Στ. 8, Μηδὲν αὐτοῖς κ. τ. λ.] Τοιαύτη τῶν λέξεων ἡ τάξις ἐν ταῖς ΑΑ καὶ ΔΑ98. — Στ. 9, Θαυμαστὸν εἰ καὶ κ. τ. λ.] Συγκέχυται καὶ πάλιν τὰ τῆς συντάξεως· ἄμεινον γὰρ ἂν εἶπε, Τοῦ Μιτράνου οὐδ᾽ ἐπὶ πολλοῖς ἂν αἱρησομένου κ. τ. λ., ἢ γοῦν, Θαυμαστὸν (ἀπολελυμένως ἀντὶ τοῦ Θαυμαστὸν ὂν) εἰ καὶ ἐπὶ πολλοῖς ὁ Μιτράνης ἕλοιτο κ. τ. λ. — Στ. 12, Ἐπάγγειλαι.] Ἡ Β, Ἀπάγγελε, ὁ Μ, Ἐπάγγειλε, ἐκ τοῦ τυπογραφικοῦ ἁμαρτήματος τῶν ΚΑ. — Στ. 17, Ἐπεφέρετο ἡ Χαρίκλεια.] Τὸ μὲν Ἐπεφέρετο ἐκ τῆς Β· τὸ δὲ ἄρθρον ἐκ τῶν ΑΑ. Στ. 18, Οὐκ ἔστιν ὅτε κ. τ. λ.] Οὕτω τετάχαται ἐν ταῖς ΑΑ. Στ. 21, Φράζε μόνον.] Περιέγραψα τὸν σύνδεσμον, περιττὸν ὄντα.

Σελ. 189, σl. 2, Δώσεις ἐμέ.] Οὕτως αἱ ΔΑ630, καὶ ἐξ αὐτῶν ὁ Μ· ἐν δὲ ταῖς ΚΑ καὶ ΑΑ, Δώσεις με. τὸ δὲ Σε προσετέθη τῷ Δύνασθαι ἐκ τῶν ΔΑ630. Σημειωτέον τὸ Δώσεις καινῶς εἰρημένον ἀντὶ τοῦ Ποιήσεις, Παρασκευάσεις, Πείσεις, ἤ τινος τοιούτου. ἀλλ᾽ οὐ δεόντως ἴσως κατέλιπον τὴν τοῦ Κ γραφὴν, Δώσεις ἐμοί· ἔοικε γὰρ ἐκ τῆς συνηθείας εἰλῆφθαι, καθ᾽ ἣν φαμὲν, Δίδω σοι (καὶ κατὰ πλείονα χρῆσιν, Δίδω σου) νὰ καταλάβῃς. — Στ. 12, Χαριστήρια), κ. τ. λ.] Τοῦτο κακῶς τῶν πρὸ ἡμῶν καὶ τῇ στίξει, καὶ τῇ θέσει τοῦ Διαμέσου λεγομένου, γραψάντων, διωρθώκαμεν οὕτως. ὁ δὲ νοῦς, Μᾶλλον δὲ, εἰ βούλει (ἐπειδὴ μέλλω θύειν χαριστήρια), παρὼν αὐτὸς τοῖς ἱεροῖς, ἤγουν ταῖς θυσίαις, ἐπεύχου τοῖς θεοῖς. ὥρα δὲ παραθεῖναι καὶ τὰς τῶν ἄλλων γραφάς. ἐν μὲν τῇ Β, « Μᾶλ-
» λον δὲ εἰ δοκεῖ θύειν γὰρ μέλλω χαριστήρια τοῖς θεοῖς,
» ἐπεύχου παρὼν τοῖς θεοῖς. τοῖς ἱεροῖς. καὶ τὸν πλοῦτον
» κ. τ. λ. », ἧς γραφῆς οὐ πόῤῥω διέστηκεν ἡ τοῦ Κ, « Μᾶλ-

» λον

» λον δὲ εἰ δοκεῖ, (θύειν γὰρ μέλλω χααριστήρια τοῖς θεοῖς) » ἐπεύχου παρὼν τοῖς ἱεροῖς θεοῖς, καὶ τὸν πλοῦτον κ.τ.λ. »· ἐν δὲ ταῖς ΑΑ, « Μᾶλλον δ. ἐ. δ. θ. γ. μ. χαριστήρια τοῖς » θεοῖς καὶ τὸν πλοῦτον », τῶν ἐχομένων, « Ἐπεύχου παρὼν » τοῖς θεοῖς τοῖς ἱεροῖς » λειπόντων. ὁ δὲ Μ τὴν τοῦ Κ γραφὴν παρέλαβε, τὴν στίξιν μόνην μικρὸν παραλλάξας, « Μᾶλ- » λον δὲ, εἰ δοκεῖ, (θ. γ. μ. χ, τοῖς θεοῖς) ἐπεύχου, παρὼν » τοῖς ἱεροῖς, θεοῖς, καὶ τὸν πλοῦτον κ. τ. λ. ».—Στ. 17, Παρεσόμεθα.] Ἐν ταῖς ΑΑ, Παρεπόμεθα. — Στ. 21, Συνέκειτο.] Ἐκ τῶν ΚΑ.

Σελ. 190, στ. 2, Μόγις.] Ἐκ τῶν ΔΑ345. ὁμοῦ τι πάντες οἱ Γραμματικοὶ Ἀττικώτερον εἶναί φασι τὸ Μόγις τοῦ Μόλις. Ἡλιόδωρος δὲ καὶ ἄλλοι πλεῖστοι τῶν κατ' αὐτόν τε καὶ πρὸ αὐτοῦ συγγραφέων, ἑκατέρῳ ἀδιαφόρως χρῶνται, εἴτε καὶ αὐτοὶ οὐ πάνυ προσέχοντες, οἷα φιλεῖ συμβαίνειν τοῖς ζηλοῦσι τὰ μηκέτι κρατοῦντα, εἴτε καὶ τῶν Ἀντιγραψάντων εἰς τὸ συνηθέστερον Μόλις ῥᾳδίως καταφερομένων. ὅθεν κἀγὼ ἐν ἐκείνοις μόνοις τοῖς χωρίοις μετεκίνησα τὴν γραφὴν, ἐν οἷς διάφορος ἡ ἀνάγνωσις, κατὰ χώραν ἐάσας τὸ Μόλις, ἐν οἷς ἅπαντες ὁμολογοῦσι. — Στ. 5, Ὡς δὲ ἐπὶ τὸν νεὼν ... τάχιστα τούτων πρὸς βραχὺ κ. τ. λ.] ἔτρεψα τὸ Δ' οὖν εἰς τὸ ἁπλοῦν Δὲ, ἐκ τῶν ΑΑ· μετέβαλον δὲ καὶ τὸ Αὐτὸν εἰς τὸ Αὗτον, καὶ τὸ Τάχιστά τε, οὕτω καὶ, εἰς τὸ Τάχιστα, τούτων (λείποντος καὶ ἐκ τῆς Β τοῦ Καὶ), ἵνα ᾖ ὁ νοῦς, Ὡς δὲ τάχιστα παρεγένοντο ἐπὶ τὸν νεὼν τοῦ Ἑρμοῦ (τούτῳ γὰρ ὁ Ναυσικλῆς ἦγε τὴν θυσίαν, ἑαυτὸν καθοσιούμενος ὡς ἀγοραίῳ τε καὶ ἐμπορικῷ, ἔμπορος ὢν αὐτὸς) καὶ ἐπὶ τὰ ἱερὰ, τούτων τῶν ἱερῶν τὰ σπλάγχνα ἐπιθεωρήσας πρὸς βραχὺ ὁ Καλάσιρις κ. τ. λ. συντάττει δὲ τὸ Τάχιστα μετὰ τοῦ Ὡς καὶ ἐν τοῖς ἑξῆς (σελ. 213). — Στ. 13, Ἔτι φλεγομένοις.] Οὕτως ἡ Β, ἐξ ἧς καὶ τὴν ἐχομένην Ἀπὸ πρόθεσιν προσέλαβον. ἐν δὲ ταῖς ΔΑ702, Ἔτι φθεγγόμενος, οὐδὲν ἧττον ἡμαρτημένως τοῦ Ἐπιφθεγγόμενος, γράφεται. — Στ. 23, Ὑπερφέρουσα.] Αἱ ΚΑ καὶ ΑΑ, Ὑπερφέρουσαν, πρὸς τὸ Σφενδόνην συντάττουσαι. ὁ Κ ἐν ταῖς ΚΑ, τὴν σύνταξιν ἀπαιτεῖν φησὶν Ὑπερφερούσῃ, ἵνα πρὸς τὸ Ἀμεθύσῳ συνάπτηται.

ἡμεῖς δὲ, τελείαν στίξαντες μετὰ τὸ Φλεγόμενον, εἶτα ὡς ἐξ ἑτέρας ἀρχῆς ἐπάξαντες, κατ' ἔλλειψιν ὑπαρκτικοῦ ῥήματος, τὸ Μέγεθος μὲν κ. τ. λ. ἀρκούντως παραμεμυθῆσθαι δοκοῦμεν τὰ τῆς συντάξεως· περὶ ἧς ἀνάγνωθι καὶ τὰ εἰρημένα τῷ Εὐσταθίῳ (Οδυσσ. Ε, 476). Ἀμέθυσον δὲ τὴν ἀρίστην φησὶ Πλίνιος (ΛΖ, θ') γίγνεσθαι ἐν Ἰνδίᾳ· εὑρίσκεσθαι δὲ καὶ ἐν τῇ Πετραίᾳ λεγομένῃ Ἀραβίᾳ, ἐν τῇ μικρᾷ Ἀρμενίᾳ, καὶ ἀλλαχοῦ. ἀληθὲς δὲ καὶ τὸ λεγόμενον ὑπὸ τοῦ Ἡλιοδώρου περὶ τῆς Ἰβηρίδος καὶ Βρετανίδος Ἀμεθύσου. εἰσὶ γὰρ ἔτι καὶ νῦν ἔν τε Ἰβηρίᾳ, καὶ ἐν τῇ Ἰέρνῃ νήσῳ, ἣν Βρεταvίαν, πλατύτερον ἐκλαβὼν τοὔνομα, καλεῖ, ὡς περὶ τὴν Βρετανίαν οὖσαν, Ἀμέθυσοι· παρὰ πολὺ μέντοι λειπόμεναι τῶν Ἀσιανῶν Ἀμεθύσων.

Σελ. 191, σ]. 4, Περιτρέπεις.] Ἄμεινον αἱ ΚΑ, Περιτρέποις. — Στ. 9, Ἀληθῶς ἀμέθυσος.] Τοῦτο λαοδογματικῶς φησί· ψεῦδος γὰρ τὸ τὴν μέθην κωλύεσθαι ὑπὸ τῆς Ἀμεθύσου. οὐ μόνον δὲ ταύτην αὐτῇ τὴν δύναμιν προσῆψαν, ἀλλὰ καὶ χάλαζαν ἀποτρέπειν, καὶ ἀκρίδας ἀφανίζειν, καὶ δὴ καὶ πρὸς φάρμακα ποιεῖν, εἴ τις ἐγγράψας τὸ τοῦ Ἡλίου ἢ τῆς Σελήνης ὄνομα ἐξάπτοιτο τοῦ τραχήλου, θριξὶ κυνοκεφάλου ἢ χελιδόνος ὠκυπτέροις ἐκδήσας, Μάγοι καὶ γόητες ἄνθρωποι κατεψεύσαντο, καθὰ φησὶ Πλίνιος (Αυτ.). ὀρθῶς ἄρα καὶ φιλοσόφῳ πρεπόντως ὁ Πλούταρχος (Συμποσιακ. Γ, α') Ἀμέθυσον φησὶ κεκλῆσθαι τὴν λίθον, οὐ διὰ τὸ πρὸς τὰς οἰνώσεις βοηθεῖν, ἀλλ' ὅτι ὑδαρεῖ τὴν κρᾶσιν οἴνῳ τὸ χρῶμα προσέοικε. — Στ. 15, Παιδαρίσκος.] Παρακμάζοντος Ἑλληνισμοῦ ὑποκορισμὸς, ᾧ χρῆται καὶ Νικήτας, εἷς τῶν τῆς Βυζαντίδος συγγραφέων, ἀκμάσας περὶ τὰ τέλη τῆς δωδεκάτης ἑκατονταετηρίδος. οἱ δὲ ἀρχαῖοι σχηματισμοὶ, ἤ φησιν Ἀλεξίων παρὰ τῷ Εὐσταθίῳ (Ὀδυσσ. Ο, 471), « Παιδίον, » τὸ τρεφόμενον ὑπὸ τῆς τιθηνοῦ, Παιδάριον δὲ, τὸ ἤδη πε» ριπατοῦν καὶ λέξεως ἀντεχόμενον, Παιδίσκος δὲ, ὁ ἐν τῇ » ἐχομένῃ ἡλικίᾳ, Παῖς δὲ, ὁ δι' ἐγκυκλίων μαθημάτων δυ» νάμενος ἰέναι ». σημειωτέον δὲ τὴν ἔκφρασιν ὅλην τῆς γραφῆς τῆς Ἀμεθύσου, ὡς κομψοτάτην μὲν τῇ λέξει, ἀλλ' οὐ πάνυ ἐρρωμένην τῇ διανοίᾳ. ἐβουλήθη μὲν γὰρ δῆλον ὅτι τὴν

παρ' Ὁμήρῳ (Ἰλιαδ. Σ, 478–607) τοῦ Ἀχιλλέως, καὶ παρ' Ἡσιόδῳ (Ἀσπ. Ἡρακλ.) τοῦ Ἡρακλέους τῆς ἀσπίδος πολυθρύλλητον περιγραφὴν μιμήσασθαι, καὶ ὡς ἐνεδέχετο παρῳδῆσαι· οὐ μὴν κατώρθωκε, διὰ τὸ μετεωρότερα εἶναι τὰ τοιαῦτα ἢ κατὰ πεζὸν λόγον, ἄλλως τε καὶ διότι ἔχει τι καὶ κακόζηλον τὰ πολλὰ, οἷόν ἐστι τὸ, « Ἀρνειοὶ, ὥσπερ ἡλίῳ, » τῇ φλογὶ τῆς Ἀμεθύσου γαννύμενοι ». — Στ. 17, Τὴν δὲ νομὴν τῇ ἀγέλῃ . . . διατάττων.] Ἄμεινον ἴσως γέγραπται ἐν ταῖς ΚΑ καὶ ΑΑ, Τῇ δὲ νομῇ τὴν ἀγέλην . . . διατάττων· ὁ δὲ νοῦς ὁ αὐτός. τὸ δὲ, Πλαγίοις αὐλήμασι, ἀντὶ τοῦ Πλαγιαυλήμασι, τουτέστι Πλαγίου αὐλοῦ αὐλήμασιν· οὕτω γὰρ διῃρημένως καὶ Λουκιανὸς καὶ Αἰλιανὸς Πλάγιον αὐλὸν εἰρήκασιν, ὃν ἄλλοι πλεῖστοι Πλαγίαυλον διὰ μιᾶς λέξεως ἐκφέρουσιν. ἐντεῦθεν δὲ ἡ συνήθεια παραλαβοῦσα, βαρβάρῳ ἐξαιρέσει τοῦ λ̄, ἐσχημάτισε τὸ Παγιαύλιον. — Στ, 19, Τῆς σύριγγος.] Σύριγγα δοκεῖ λέγειν ἐνταῦθα συνωνύμως ὃν ἀνωτέρω ᾐνίξατο Πλαγίαυλον. καὶ Βίων δὲ, Πανὸς εὕρημα λέγων τὸν Πλαγίαυλον (Γ, 7),

Ὡς εὗρε πλαγίαυλον ὁ Πὰν, ὡς αὐλὸν Ἀθάνα,

τὸν αὐτὸν ἔοικεν ὑπολαμβάνειν εἶναι τῇ Σύριγγι· τῆς σύριγγος γὰρ εὑρετὴς ὁ Πὰν, ἧς τὸν μῦθον διὰ μακρῶν ἀφηγήσαντο ὅ, τε τὰ ποιμενικὰ γράψας Λόγγος (Βιβλ. Β), καὶ Ἀχιλλεὺς ὁ Τάτιος (Βιβλ. Η), καὶ ἄλλοι. Θεόκριτος δὲ διαφορὰν οἶδε Πλαγιαύλου τε καὶ Σύριγγος, ἐν οἷς φησὶ (Κ, 28),

Ἁδὺ δέ μοι τὸ μέλισμα, καὶ ἢν σύριγγι μελίσδω,
Κὴν αὐλῷ λαλέω, κὴν δώνακι, κὴν πλαγιαύλῳ.

παρὰ δὲ τὸ Σύριγξ, καὶ τὸ Συρίζω ῥῆμα, ὅπερ ἡ συνήθεια παρεμβαλοῦσα τὸ φ, Σφυρίζω εἴρηκεν. — Στ. 20, Χρυσοῖς βεβριθέναι τοῖς μαλλοῖς.] Ἐξ Ἡσιόδου (Ἔργ. καὶ Ἡμέρ. 234),

Εἰροπόκοι δ' ὄϊες μαλλοῖς καταβεβρίθασιν.

Σελ. 192, στ. 16, Καὶ λόγος ἄλλως ἦν.] Ἐπιῤῥηματικῶς τὸ Ἄλλως ἐν τῇ Β, ΑΑ, ΔΑ641, καὶ τοῖς λοιποῖς ἅπασι, πλὴν τοῦ Κ καὶ Μ. καὶ χωρὶς δὲ τούτων οὐ χαλεπὸν ἦν συνιδεῖν τὸ ἀκαλάλληλον τοῦ Ἄλλος. παρατεθείσθω παράδειγμα ἓν ἐκ πολλῶν τὸ τοῦ Πλουτάρχου (Ἑπτ. Σοφ. συμπος. § 3) « Λόγος, ἔφη,

Ψ 2

» ταῦτα ἄλλως ἐστίν... ἔργῳ δὲ καὶ τοὺς σοφοὺς ὑμᾶς ὁρῶ » τὸ τιμᾶσθαι διώκοντας ». διορθούσθω δ' ἡμῖν ἐν παρέργῳ καὶ ὁ Λουκιανὸς (Ὀνειρ. ἢ Ἀλεκτρ. § 17), « Τί δὲ, ὁ Ἀχιλ- » λεὺς τοιοῦτος ἦν ἄριστος τὰ πάντα, ἢ μῦθος ΑΛΛΟΣ καὶ » ταῦτα », μεταγράφουσιν ΑΛΛΩΣ, ὅπερ ἐπιτείνει τὴν ἔμφασιν τοῦ ψεύδους· καὶ καθ' ἑαυτὸ γὰρ, οὐ μόνον τὸ Μῦθος, ἀλλὰ καὶ αὐτὸ τὸ Λόγος ἔν γε τοῖς τοιούτοις τὸ ψεῦσμα σημαίνει. Εὐριπίδης δὲ, ἀντὶ τοῦ, Ἄλλως, τὸ Μάτην συνῆψε τῷ Λόγος (Ἴων. 275),

............Τόδ' ἆρ' ἀληθὲς, ἢ μάτην λόγος;

καὶ ἐν τῇ συνηθείᾳ δὲ, ὅταν ἀπιστῶμεν τῷ λέγοντι, Λόγια, ἢ Παραμύθια, ἀναφωνοῦμεν. — Στ. 17, Ἀπριάτην.] Ἐξ Ὁμήρου (Ἰλιάδ. Α, 98),

Πρίν γ' ἀπὸ πατρὶ φίλῳ δόμεναι ἑλικώπιδα κούρην
Ἀπριάτην, ἀνάποινον.................

Στ. 18, Οὐκ ἀπόβλητά ἐστιν κ. τ. λ.] Καὶ τοῦτο ἐξ Ὁμήρου (Ἰλιάδ. Γ, 65),

Οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα.

ἀστείως δὲ πάνυ προσέθηκε τὸ Ὥς φατε, τουτέστιν, Ὡς λέγετε ὑμεῖς οἱ Αἰγύπτιοι· εἰκὸς γὰρ εἰδέναι καὶ τὸν Ναυσικλέα, ὅτι Καλάσιρις Αἰγύπτιον ᾤετο γεγονέναι τὸν Ὅμηρον.

Σελ. 193, στ. 1, Ταῦτα ὡς εἰπὼν ἐποίησεν.] Τουτέστιν, Ὡς εἰρηκὼς ἐποίησε ταῦτα, ἢ, Ὡς εἶπέ τε ταῦτα καὶ ἐποίησεν (ἤγουν ἐδέξατο τὸ δῶρον), ἐπέτρεπεν ἑαυτόν τε καὶ τοὺς ἄλλους ἐπὶ τὴν εὐωχίαν. ἐν δὲ ταῖς ΔΑ 707 διπλῆ γραφὴ φέρεται, Ταῦτα ὡς εἰπὼν ἐποίησεν ἐπιέναι, καὶ, Ταῦτα ὡς εἰπὼν ἐποίησεν ἰέναι. ἐν δὲ ταῖς αὐταῖς καὶ ἀντὶ τοῦ Ἐπέτρεπεν γράφεται, Ἐπέτρεψεν. — Στ. 8, Ἐμβατήρια.] Ὑπακουστέον τὸ Μέλη, ὡς φέρεται κατὰ τὸ πλῆρες παρ' Ἀθηναίῳ (ΙΔ, 630). Ἐμβατήριον, φησὶν Ἡσύχιος, εἶδος αὐλήματος. ἐλέγοντο δὲ καὶ Ἐνόπλια, καὶ Καστόρεια, καὶ παρὰ Λεσβίοις ὕστερον Ἀδώνια, καὶ Ἐμβατήριοι ῥυθμοὶ, καὶ αὐτῶν ἔστιν ὅτε τῶν αὐλῶν, μεθ' ὧν ᾖδοντο, Ἐμβατηρίων κληθέντων, ὥς φησι Μεύρσιος (Συμμικτ. Λακων. Β, ιά). ἐχρῶντο δὲ τούτοις Λακεδαιμόνιοι μέλλοντες μάχεσθαι, παρορμητικοῖς οὖσι πρὸς ἀνδρείαν τε καὶ θανάτου καταφρόνησιν. σημειούσθω δὲ ὅτι

δὶς ὁ Ἡλιόδωρος χρησάμενος τῇ λέξει, ἐνταῦθα τε καὶ μικρῷ πρόσθεν (σελ. 162), δυσὶ σημασίαις διαφόροις ἐξήνεγκεν. ὑπολάβοι δ' ἄν τις αὐτὸν, ἐν τούτῳ δὴ τῷ χωρίῳ, τὰς ἐπ' Ἰνδούς τε καὶ ἄλλους πλείστους Διονύσου μυθευομένας στρατείας ᾐνίχθαι. — Στ. 11, Κἀκεῖνον.] Ἡμαρτῆσθαι δοκεῖ μοι τὰ τῆς γραφῆς. ἤρκει γὰρ εἰπεῖν, Ηὔχετο Θεαγένην σώζεσθαι, καὶ ἑαυτῇ φυλάττεσθαι. ἴσως οὖν ἀντὶ τοῦ Κἀκεῖνον ἐν τοῖς ἀρχαίοις Ἀντιγράφοις ἐγέγραπτο, Κἀκέραιον, ἢ ἀσυναιρέτως, Καὶ ἀκέραιον· τοιοῦτο γοῦν τι ἢ ἀνεγνωκέναι, ἢ ὑπονενοηκέναι, καὶ τὸν Λ εἰκάσειεν ἄν τις, μεταφράσαντα, *Orans ut Theagenes salvus et incolumis sibi servaretur.*— Στ. 13, Λαμπρῶς ἤδη Βράζοντος.] Τουτέστι, Ζέοντος, ἀκμάζοντος. ἐν ταῖς ΑΑ, Λαμπρῶς ἤδη βριάζοντος· ἐν δὲ ταῖς ΚΑ, Λάβρως ἤδη βρυάζοντος, ὅπερ ἐνδέχεται γεγραφέναι τὸν Ἡλιόδωρον. σημαίνει γὰρ καὶ τὸ Βρυάζειν, θάλλειν ἀκμάζειν. καὶ τὸ Λαμπρῶς δὲ καὶ Λάβρως ἐν πολλοῖς πολλάκις συνέχεαν οἱ Ἀντιγραφεῖς. — Στ. 15, Ἀπαραχύτου.] Κατεχρήσατο τῇ λέξει. ἐπὶ γὰρ οἴνου ἀκράτου, ᾧ μὴ παρακέχυται ὕδωρ (καὶ τοῦτο θαλάσσιον) τέθειται τὸ Ἀπαράχυτος· ἐνταῦθα δὲ ὕδωρ ἀπαράχυτον εἴρηκεν, ᾧ μὴ παρακέχυται οἶνος, καθ' ὁμοιότητα τοῦ πρόσθεν εἰρημένου (σελ. 84) Ὕδωρ ἄκρατον·

Σελ. 194, σι. 6, Γένοιτο.] Ἀφεῖλον τὸν σολοικισμὸν, ἀφελὼν τὸν Ἂν σύνδεσμον· ὁ γὰρ τύπος τοῦ εὐκτικοῦ, ὅταν εὐχὴν σημαίνῃ, οὐ χρῄζει τῆς τῶν δυνητικῶν λεγομένων συνδέσμων ἐπιπλοκῆς. καὶ ἐν τῇ Β δὲ χωρὶς τοῦ Ἂν γράφεται. ἐν δὲ ταῖς ΑΑ, προηγεῖται ὁ Ἂν τοῦ Γένοιτο, οὐδ' οὕτως ὀρθῶς. ἀντὶ δὲ τοῦ ἐχομένου, Ὑπολαβὼν ἔφη ὁ Κνήμων, ἐν τῇ Β, Ὑπολαβὼν ὦ Κνήμων, κατὰ κλητικὴν, καὶ δίχα τοῦ Ἔφη, ὃ δὴ καὶ ἐν τῇ Κ παραλειφθὲν τυπογραφικῇ ἁμαρτίᾳ, παρέλιπον καὶ αἱ μετ' αὐτήν. καὶ τὸ ἑξῆς δὲ Ὡς, ἀπροσδιόνυσον ὂν ἐνταῦθα, εἰς τὸ Ὃς ἐτρέψαμεν. — Στ. 13, Λόγων ἥδυσμα τῷ πότῳ.] Ἐν ταῖς ΑΑ, Λόγων ἥδυσμά τι τῷ πότῳ. ἴσως δὲ ἦν ἡ ἀρχαία γραφὴ, « Λόγον οἷον ἥδυ-» σμά τι τῷ πότῳ ». — Στ. 15, Θυσίας.] Οὕτω γραπτέον εἶναι δηλοῦσιν οὐχ ὅπως τὰ ἐχόμενα, ἀλλὰ καὶ αἱ μεταφράσεις Λ καὶ Α· ὃ δὴ συνῆκε καὶ ὁ Μ. — Στ. 25, Ἐν-

θεν ἑλών.] Ἐντεῦθεν ἀρξάμενος τῆς διηγήσεως· ὡς ἐπειδὴ τῆς Φοινίσσης ὁλκάδος ἐπέβησαν κ. τ. λ. καὶ ὅρα ὅπως εὐφυῶς καὶ τοῦτο παρῴδηται ἐκ τῶν Ὁμήρου (Ὀδυσσ. Θ, 499),

..............................Φαῖνε δ' ἀοιδὴν,
ἜΝΘΕΝ ἙΛΏΝ, ὩΣ οἱ μὲν Ἐϋσσέλμων ἐπὶ ΝΗΩ͂Ν
ΒΆΝΤΕΣ ἈΠΈΠΛΕΙΟΝ.....................

Σελ. 195, σ7. 2, Τὰ μὲν πρῶτα πλεῖν κ. τ. λ.] Τοῦτο ὑπεναντιοῦταί πως τοῖς πρόσθεν εἰρημένοις (σελ. 172) « Ὑπ' » εἰρεσίᾳ τὸ πρῶτον ἀνήγοντο », διὰ τὸ σπουδάσαι κἀκεῖ παρῳδῆσαι τὰ ἐξ Ὁμήρου· καὶ οὐκ ἀπεικὸς πρὸς τοῖς ἄλλοις κακοῖς, καὶ ἀντιφάσεσι περιπίπτειν ἔσθ' ὅτε τὸν καταχρώμενον τῇ μιμήσει· ὥστ' ἀληθὲς εἶναι τὸ τοῦ χαρίεντος Ἀριστοφάνους (Λυσιστρ. 159).

Φλυαρία ταῦτ' ἐστὶ τὰ μεμιμημένα.

λέγω δὲ τοῦτο, οὐχ Ἡλιοδώρου καθαπτόμενος, τοῦ κάλλιστα πάντων τῶν Μυθιστοριογράφων καὶ μιμησαμένου καὶ παρῳδήσαντος ὡς ἐπὶ τὸ πολὺ, ἀλλὰ τοῖς εὐπλοεῖν ᾑρημένοις ἐν λόγῳ οἱονεὶ σκόπελον τὸν ἐκ τῆς μιμήσεως κίνδυνον προδεικνύς. — Στ. 3, Ὑποφερομένους.] Οὐκ ἀπεικότως ὑπολάβοι τις ἂν γεγράφθαι πάλαι, Ἐπιφερομένῳ, ἵνα ᾖ, Πνεύματι ἐκ νώτων ἐπιφερομένῳ, κατὰ τὸ Ὁμηρικὸν (Ὀδυσσ. Δ, 457),

......Ἧι λιγὺς οὖρος ἐπιπνείῃσιν ὄπισθεν.

Στ. 4, Καλυδώνιον πορθμόν.] Τὸν μεταξὺ Πελοποννήσου καὶ Αἰτωλίας, ἐν ᾗ Καλυδὼν πόλις, ἡ νῦν, ὥς φασί τινες, Ἀετὸς καλουμένη. — Στ. 15, Τῆς πρόσω φορᾶς.] Οὕτως ἡ Β.

Σελ. 196, σ7. 2, Ζακυνθίων ἄκραν.] Ἐν ταῖς ΚΑ, Ζακύνθιον ἄκραν. — Στ. 4, Ἡμῶν.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 12, Ὑφειμένως·] Οὕτως ἐν ταῖς ΚΑ. ἐπελαθόμην ὑποσημειώσασθαι τὸ τῆς Κ, Ὑφιεμένως, ὅπερ ἐμφέρεται καὶ ἐν τῇ Β καὶ ἐν ταῖς ΑΑ. — Στ. 15, Ἀνίσχε.] Ἐν ταῖς ΑΑ, Ἀνῆχεν· ἐν δὲ ταῖς ΚΑ αὐτό τε τοῦτο, καὶ, Ἀνεῖχε. — Στ. 19, Ἐφαίνετο.] Ἐν ταῖς ΚΑ, Ἐφαίνοντο. — Στ. 25, Πλειάδων.] Οὕτω διωρθωσάμην· οὐδὲ γὰρ εἰκὸς τὸν Ἡλιόδωρον τῷ Ἰωνικῷ Πληϊάδων κεχρῆσθαι.

Σελ. 197, σ7. 11, Ἀκούμενον.] Ἐθάῤῥησα διορθῶσαι

καὶ τοῦτο· οὐδὲ γὰρ ἐνταῦθα πιθανὸν γεγράφθαι τὴν ἀρχὴν, Ἀκεόμενον, Ἰωνικῇ διαλύσει· ἐν δὲ ταῖς ΚΑ καὶ ΑΑ γράφεται, Ἀκεζόμενον, ὅπερ ἐστὶν ἄχρηστον, κατὰ τὸν κανόνα τῶν Γραμματικῶν τὸν λέγοντα, Τῶν εἰς ζω ῥημάτων οὐδὲν ὅλως ὑπερδισύλλαβον τῷ ε παραλήγεσθαι· τὸ γὰρ Πιέζω κατὰ τροπὴν γέγονεν ἀπὸ τοῦ Πιάζω (Ἐτυμολ. σελ. 671). Στ. 15, Ἐνσχεθέν.] Ἐκ τῶν ΚΑ, ἐν αἷς ἀριδήλως, Ἐνσχεθὲν, οὐ, Συσχεθὲν (ὡς ἀνέγνω ὁ Μ) ἐμφέρεται. — Στ. 16, Ἔφην, οὐδὲν ἐδεόμην.] Αἱ ΑΑ, Οὐδὲν, ἔφην, ἐδεόμην. Στ. 17, Ποιοίης.] Ἔτρεψα τὴν Ὑποτακτικὴν εἰς τὴν Εὐκτικὴν λεγομένην ἔγκλισιν.

Σελ. 198, στ. 9, Παίδων.] Ἐν τῇ Β, Παιδίων, ὅπερ ἄμεινον ἴσως ἐνταῦθα. — Στ, 14, Παρόντα.] Ἐν τῇ Β, Παριόντα. — Στ. 21, Ἀναπαυόμενοι.] Αἱ ΚΑ καὶ ΑΑ, Ἀναπαυόμενος.

Σελ. 199, στ. 3, Ἐμπειρίαν.] Ἡ Β, Ἐμπορείαν, ἴσως ἐξ ἀμείνονος γραφῆς τῆς, Εὐπορίαν, ἣν καὶ ὁ Λ ἐκφράζειν πως ἔοικε. — Στ. 5, Φασί.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ, ὀρθῶς. ἔστι γὰρ παροιμιακόν. — Στ. 16, Δεσπόζοι.] Οὕτω προήχθη διορθοῦν καὶ ὁ Μ, διὰ τὸ προηγησάμενον Τυγχάνοι· εἰδὲ βούλει γράφειν, Δεσπόζει, γράφε τηνικαῦτα καὶ Τυγχάνει. Στ. 21, Ὡς οὐκ ἄν ποτε...αἱρησομένου.] Ἀντὶ τοῦ, Ὡς οὐκ ἄν ποτε ἑλοίμην. ἡ σύνταξις ᾠκείωταί πως θατέρᾳ ταύτῃ, Εἰ καὶ ἐπὶ πολλοῖς ἂν αἱρησομένου, περὶ ἧς εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 176). — Στ. 25, Πολλά.] Γέγραφα χωρὶς τοῦ Καὶ ἐκ τῆς Β.

Σελ. 200, στ. 2, Ἐπὶ Καρχηδόνος.] Ἐκ τῆς Β. — Στ. 3, Οὗ δὴ καὶ βούλεσθε.] Γραπτέον οἶμαι, Οἷ δὴ καὶ βούλεσθε· τὸ μὲν γὰρ Οὗ ὡς καὶ τὸ Ὅπου καὶ Ποῦ, ἐν τόπῳ στάσιν, τὸ δὲ Οἷ, καθὰ καὶ τὸ Ὅποι καὶ, Ποῖ, εἰς τόπον κίνησιν δηλοῖ· τὸ δὲ Πῇ καὶ τὰ σύστοιχα ἐπαμφοτερίζειν ἔοικε (ἴδ. Σχολ. Ἀριστοφ. Πλοῦτ. 447). — Στ. 5, Ὁρῶν δή.] Ἔτρεψα τὸ Δὲ εἰς τὸ Δή. ἐν δὲ ταῖς ΑΑ ἀμφότερα κεῖται, Ὁρῶν δὲ δή. — Στ. 7, Ἡμέραν οὐδεμίαν τοῦ διοχλεῖν.] Ἐν τῇ Β, Ἡμέραν ἀλλ' οὐδεμίαν τοῦ διενοχλεῖν. — Στ. 11, Οὕτω.] Τουτέστι, Τοιαύταις ἐπαγγελίαις ἀπο-

σκευασαμένου μου πρὸς μικρὸν τὸν Φοίνικα. αἱ δὲ ΚΑ Οὔπω· καὶ ἴσως οὐ κακῶς. ἐρεῖ γὰρ καὶ προϊὼν (σελ. 280), « Οὔπω » τι σχεδὸν τῆς Κυβέλης χωρισθείσης, καιρὸν ἡ μόνωσις... » ὑπηγόρευεν ». ἔσται δ' ὁ νοῦς τηνικαῦτα, Οὐκ ἔφθην τοῦτον ἐπ' ὀλίγον ἀποσκευασάμενος, καὶ κῦμα ἕτερον ὁ δαίμων προσέβαλλεν. — Στ. 12, Φασίν.] Οὕτω διώρθωκα, διὰ τὰ μικρῷ πρόσθεν εἰρημένα.—Στ. 13, Ἐπὶ κῦμα.] Αἱ ΚΑ καὶ ΑΑ, Ἐπὶ κύματι.—Στ. 20, Ἐμοί τε.] Ἔτρεψα τὸν Γε εἰς τὸν Τε, διὰ τὸ ἐχόμενον Σοί τε. —Στ. 21, Ὑμῖν.] Οὕτω διορθωτέον εἶναι τὸ ἐν ἅπασι φερόμενον Ἡμῖν, ἐμφαίνει καὶ ὁ Λ.— Στ. 22, Ναυλοχεῖ...κατὰ τὴν περιπτύσσουσαν κ. τ. λ.] Ἀπροσδιονύσως παρῳδῆται ἐκ τοῦ Εὐριπίδου (Ἑκάβ. 1015),

..........Ἀχαιῶν ναύλοχοι περιπτυχαί.

ἐκεῖ μὲν γὰρ αἱ Ναύλοχοι περιπτυχαὶ αὐτὰ τὰ ναύσταθμα τῶν Ἑλλήνων σημαίνουσιν· ἐνταῦθα δὲ τὸ Ναυλοχεῖν ῥῆμα, τὸ Ναῦν ἐνεδρεύειν δηλοῖ, ᾗ φησι Σουΐδας.

Σελ. 201, στ. 3, Ποιόιης.] Διώρθωκα κἀνταῦθα, ὡς καὶ ἐν ἄλλοις πολλοῖς, τὴν τῶν ἐγκλίσεων σύγχυσιν. — Στ. 11, Κύρτους.] « Κύρτος, ἀγγεῖον σχοινῶδες, ᾧ οἱ ἁλιεῖς » χρῶνται », φησὶν Ἡσύχιος· ὅθεν καὶ Κυρτεύς, ὁ Ἁλιεύς. ἐφύλαξε δὲ καὶ ἡ συνήθεια τὴν λέξιν, οὐ μόνον Κύρτον, ἀλλὰ καὶ Σκύρτον λέγουσα, προσθήκη τοῦ σ, ὃ καὶ ἄλλαις λέξεσι, μάλιστα ταῖς ἀρχομέναις ἀπὸ τοῦ κ, προσέθηκεν, οἷόν ἐστι τὸ Σκύπτω ἀπὸ τοῦ Κύπτω, τὸ Σκόνη ἀπὸ τοῦ Κόνις, καὶ τὸ Σκορδαλὸς ἀπὸ τοῦ Κορυδαλός. καὶ Σκρόφα δὲ φαμὲν, οἱονεὶ Σγρόφα, ἀπὸ τοῦ Γρομφὰς, καὶ Σπάραχνα, ἐπὶ ἰχθύων, ἀπὸ τοῦ Βαράγχια ἢ Βαράχνια. καὶ αὐτὴ δὲ ἡ πανώλης νόσος ἡ καλουμένη Σκορδοῦλα, ἢ Σκουρδοῦλα, παρὰ τὸ Κορδύλη πεποίηται, ὅ ἐστι, καθ' Ἡσύχιον, Ἀπόστημα· βουβῶσι γὰρ ἡ νόσος καὶ διαφόροις ἄλλοις ἀποστήμασιν ἐπίσημος εἰς τὰ μάλιστα. ὅτι δὲ τὰ τοιαῦτα παλαιᾶς ἐστὶ χρήσεως λείψανα, δηλοῖ καὶ τὰ παρὰ τοῖς Ἀρχαίοις διφορούμενα, οἷον, Κάπετος καὶ Σκάπετος, Κεδάζω καὶ Σκεδάζω, Κορδίνημα καὶ Σκορδίνημα, καὶ ἐπὶ ποιῶν δὲ ἰχθύων, Κορδύλη καὶ Σκορδύλη, Κορδύλος καὶ Σκορδύλος· οἷς ἐστι προσθεῖναι τὸ Μάραγδος καὶ Σμάραγδος, Μικρὸς καὶ Σμικρὸς, Μίλαξ καὶ Σμίλαξ, Μύραινα καὶ Σμύραινα,

Τέγος

Τέγος καὶ Στέγος, Φὶξ καὶ Σφὶξ ἢ Σφίγξ, κ. τ. λ. — Στ. 14, Συνείς.] Ἔτρεψα τὸν ἐνεστῶτα εἰς τὸν ἀόριστον. — Στ. 16, Ἔαρ δὲ πρῶτον.] Τοῦτο Πρώτην ἄνοιξιν ἡ συνήθεια λέγει, ἐξ Ὁμήρου τὴν ἀρχὴν λαβοῦσα· παρ' ἐκείνῳ γὰρ τὸ Πρώτῳ ῥυμῷ (Ἰλιάδ. Π, 371) ἀντὶ τοῦ Κατὰ τὸ ἄκρον, ἤγουν τὴν ἀρχὴν τοῦ ῥυμοῦ, λέγεται, καὶ οὐχ ὡς δευτέρου ὄντος ῥυμοῦ, καὶ τὸ Πρώτῃσι θύρῃσι (Χ, 66) ἀντὶ τοῦ Κατ' αὐτὴν τὴν ἀρχὴν καὶ εἴσοδον τῶν θυρῶν. Ἱπποκράτης δὲ τὸ Πρῶτον ἔαρ, Πρωῒ τοῦ ἦρος, κομψῶς εἴρηκεν, ὃ μὴ συνέντες οἱ ἐξηγηταὶ, Πρὸ τοῦ ἔαρος, ἐξεδέξαντο. ἀντὶ δὲ τοῦ ἐχομένου Ἀφορμήσειν, Αἱ ΚΑ καὶ ΑΑ, Ἀφορμῆσαι.

Σελ. 202, σΊ. 5, Ἐγώ τε.] Ἔτρεψα τὸν Δὲ εἰς τὸν Τε, τοῦ Ἑλληνισμοῦ τοῦτο ἀπαιτοῦντος διὰ τὸ προηγησάμενον, Σοῦ τε.—Στ. 18, Παρ' ἐμαυτῷ.] Ἐν ταῖς ΚΑ, Κατ' ἐμαυτόν.

Σελ. 203, σΊ 10, Καὶ γὰρ . . . ἀλλ' ὑπάρχειν κ. τ. λ.] Ἤρτηται τὸ Ὑπάρχειν ἐξ ὑπακουομένου ἔξωθεν τοῦ Ἔφη, Εἶπε, ἢ ἄλλου του ῥήματος συνωνύμου· περὶ ἧς συντάξεως προδεδήλωται (σελ. 134). τὸ δὲ προηγησάμενον Εἶναι, δοκεῖ μὲν σολοίκως γεγράφθαι διὰ τὸν συναπτικὸν Εἰ, παραμυθεῖται δὲ τῇ χρήσει τῶν ἀρίστων συγγραφέων. αὐτίκα Ἡρόδοτος (Γ, ρε΄), « Ὡς δὴ λέγεται ὑπὸ Περσέων . . . εἶναι » δὲ ταχύτητα οὐδενὶ ἑτέρῳ ὅμοιον, οὕτω ὥστε ΕἸ ΜῊ » ΠΡΟΛΑΜΒΆΝΕΙΝ τοὺς Ἰνδοὺς, ἐν ᾧ τοὺς μύρμηκας » ΣΥΛΛΕ΄ΓΕΣΘΑΙ, οὐδένα ἂν σφέων ἀποσώζεσθαι ». κἀνταῦθα γὰρ μόνου τοῦ Εἶναι καὶ τοῦ Ἀποσώζεσθαι, κατὰ φύσιν συναπτομένων τῷ Λέγεται, ὁ δὲ καὶ τὸ Προλαμβάνειν καὶ τὸ Συλλέγεσθαι καινοτέρως συνῆψεν· ἡ γὰρ κοινοτέρα σύνταξις ἀπῄτει τὸ, Εἰ μὴ προλαμβάνοιεν οἱ Ἰνδοὶ, ἐν ᾧ οἱ μύρμηκες συλλέγονται. — Στ, 13, Τὸ ἀκριβὲς τοῦ ἔαρος.] Ἤγουν τὴν ἀκμὴν αὐτὴν τοῦ ἔαρος· τοῦτο γὰρ ἐνταῦθα σημαίνει τὸ Ἀκριβὲς, ὡς μικρῷ πρόσθεν τὸ Πρῶτον ἔαρ, τὴν ἀρχὴν ἐδήλου τοῦ ἔαρος. — Στ. 14, Τῆς ἀρχομένης. . . ἀποπλεῦσαι.] Ἡμαρτημένως ἐκ τῇ Β, Πλεῦσαι, δίχα προθέσεως· δῆλον δὲ (κἂν εἰ μὴ Ἀμμώνιος ἔλεγε διαφέρειν τὸ Πλεῖν τοῦ Ἀποπλεῖν) καὶ ἐκ τοῦ προηγησαμένου Ἀπόπλουν. ἡμάρτηται δὲ καὶ τὸ, Τῆς ἀρχομένης· ἔδει γὰρ εἶναι

Ω

Ἀρχομένης τῆς νυκτὸς, μεταθέσει τοῦ ἄρθρου, εἰ τοῦτο λέγειν ἠβούλετο Καλάσιρις. ὑπονοῶ μέντοι τὴν ἀρχαίαν γραφὴν ὑπάρξαι, Τῆς ἐρχομένης, ἢ γοῦν, Τῆς ἐχομένης, ὡς καὶ προϊὼν (σελ. 212) ἐρεῖ, Τῆς ἐχομένης ἡμέρας. — Στ. 22, Πραχθῆναι συμφέρειν.] Λείπει τὸ Πραχθῆναι ἐν ταῖς ΑΑ. ἀντὶ δὲ τοῦ Συμφέρειν, ἐν ταῖς ΚΑ (ἴσως δὲ καὶ ἐν ταῖς ΑΑ) γράφεται, Συμφέρει. — Στ. 25, Ἐπιγουνίδα.] Ἐκ τῶν περὶ Ὀδυσσέως ῥηθέντων τῷ Ποιητῇ (Ὀδυσσ. Σ, 73),

Οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει.

Ἐπιγουνὶς δὲ, τὸ πρὸ τοῦ γόνατος σεσαρκωμένον τοῦ μηροῦ μέρος, τουτέστιν ὁ πρὸς τῷ γόνατι μῦς.

Σελ. 204, στ. 2, Τοῦ ζώματος.] Ἐκ τῆς διορθώσεως τοῦ Κ, ᾗ συνομολογοῦσι καὶ αἱ ΑΑ, καίπερ ἡμαρτημένως φέρουσαι, Ζώματα. προσέθηκα δὲ τὸ ἄρθρον, τῆς χρήσεως ἐνάρθρως τὰ τοιαῦτα φιλούσης ἐκφέρειν· εἴρηκε γὰρ καὶ ἐν τοῖς πρόσθεν (σελ. 108) « Τὸ μὲν ζῶσμα ἑκάστῳ χιτῶνα λευκὸν » εἰς ἀγκύλην ἀνέστελλε ». — Στ. 3, Ἀγχίνουν δὲ ἅμα καὶ πολύτροπον.] Τοῦτο καὶ ἡ Ἀθηνᾶ προσμαρτυρεῖ τῷ Ὀδυσσεῖ (Ὀδυσσ. Ν, 332),

Οὕνεκ' ἐπητής τ' ἐσσὶ καὶ ἀγχίνοος καὶ ἐχέφρων.

Πολύτροπον δὲ αὐτός τε ὁ Ποιητὴς λέγει τὸν Ἥρωα ἐν ἀρχῇ τῆς Ὀδυσσείας· καὶ τὴν Κίρκην παράγει (Ὀδυσσ. Κ, 330) τοῦτο προσμαρτυροῦσαν αὐτῷ,

Ἦ σύ γ' Ὀδυσσεύς ἐσσι πολύτροπος.......

Στ. 4, Μηρὸν σκάζοντα.] Ἴσως κἀνταῦθα ἐνάρθρως, Τὸν μηρὸν, γραπτέον, ὡς καὶ ἐν τοῖς ἑξῆς (σελ. 244) γέγραπται, « Τοῖν σκελοῖν θάτερον παρεσύρετο ». αἰνίττεται δὲ τὸ περὶ Ὀδυσσέως καὶ Διομήδους εἰρημένον τῷ ποιητῇ (Ἰλιάδ. Τ, 47),

Τὼ δὲ δύω ΣΚΑΖΟΝΤΕ βάτην Ἄρεος θεράποντε,
Τυδείδης τε μενεπτόλεμος καὶ δῖος Ὀδυσσεὺς,
Ἔγχει ἐρειδομένω· ἔτι γὰρ ἔχον ἕλκεα λυγρά·

καίπερ Διομήδει μόνῳ προσήκοντος τοῦ σκάζειν, ὡς βεβλημένῳ παρὰ τὸν δεξιὸν πόδα (Ἰλιαδ. Λ, 377), Ὀδυσσέως τὸν χρῶτα τῶν πλευρῶν ἀποξεσθέντος μόνον (Αὐτ. 437)· ὃ δὴ καὶ οἱ σχολιάσαντες τὰ Ὁμήρου ἐπεσημήναντο. παράγεται δ'

ἄλλως τῷ ποιητῇ (Αὐτ. 809) βεβλημένος καὶ ὁ

Διογενὴς Εὐαιμονίδης κατὰ ΜΗΡΟΝ ὀϊστῷ,
ΣΚΑΖΩΝ ἐκ πολέμου...............

Στ. 16, Τὴν κόρην δὲ ... τὴν σωφροσύνην.] Ἀστεία καὶ βιωτικῆς ἐχομένη παραινέσεως ἡ παρὰ τῆς σώφρονος Πηνελόπης πρὸς τὴν σώφρονα Χαρίκλειαν φιλοφρονητικὴ πρόσρησις. — Στ. 22, Ἀφυπνισθείς.] Τοῦ Ἀφυπνίσας τῶν πρὸ ἐμοῦ μεταβατικὴν εἶναι τὴν χρῆσιν, ἀντὶ τοῦ Ἐξεγείρας ἕτερον τοῦ ὕπνου, δηλοῖ καὶ αὐτὸς Ἡλιόδωρος οὕτω χρησάμενος ἐν τοῖς ἑξῆς (σελ. 222, 239 καὶ 337). δεῖν οὖν ἔγνων ἐνταῦθα τρέψαι εἰς τὸ Ἀφυπνισθείς. ἴσως μέντοι κατὰ χώραν ἦν ἄμεινον ἐᾶν τὴν γραφήν· ἐπεὶ καὶ Φιλόστρατος (Βίῳ Ἀπολλων. Β, λϛ´) Ἀφυπνίσαντι εἶπεν, ἀντὶ τοῦ Ἀφυπνισθέντι· χωρὶς εἰ μή τις γραπτέον εἶναι φήσειεν οὐδετέρως, παρὰ μὲν τῷ Φιλοστράτῳ Ἀφυπνήσαντι, ἐν δὲ τῷ προκειμένῳ τοῦ Ἡλιοδώρου χωρίῳ Ἀφυπνήσας, καθὰ καὶ ἐν τῇ συνηθείᾳ χρώμεθα τῷ Ἐξυπνῶ ἀμεταβάτως ἐπὶ τοῦ Ἐξεγείρομαι τοῦ ὕπνου. — Στ. 24, Τὴν Χαρίκλειαν δέ.] Ἔτρεψα τὸν Τε εἰς τὸν Δέ. οὕτω δὲ ἐξέφρασε καὶ ὁ Λ.

Σελ. 205, στ. 3, Συμβουλή.] Ἐκ τῶν ΚΑ καὶ ΔΑ54. — Στ. 8, Παρεωραμένος.] Οὕτως ἅπαντες πλὴν τῆς Β, ἐν ᾗ γράφεται, Παρεωσαμένος, ἐξ ἀμείνονος ἴσως γραφῆς τῆς Παρεωσμένος. — Στ. 18, Πλάσματα.] πληθυντικῶς, ἐκ τῆς Β, — Στ. 20, Πειραθέντες ... προσωκείλαμεν.] Ὑγιὲς τὸ χωρίον, οὐδὲ γραπτέον, ὡς ὑπέλαβεν ὁ Μ, Πειραθέντες, ὥστε ἀπολέσθαι παρὰ μικρὸν, ἐλθόντες εἰς ἄκραν τινὰ Κρητικὴν, προσωκείλαμεν. παρῴδηται δέ πως καὶ ταῦτα ἐκ τῆς ναυαγίας Ὀδυσσέως (Ὀδυσσ. Γ, 290),

Ἔνθα διατμήξας, τὰς μὲν Κρήτῃ ἐπέλασσεν.

Σελ. 206, στ. 4, Ὑπηχούντων.] Οὕτως αἱ ΚΑ, ΑΑ καὶ ΔΑ303, οἷς κατηκολούθησε καὶ ὁ Μ. ἐπελαθόμην δὲ σημειώσασθαι ὅτι ὁ Κ Ἐπηχούντων γέγραφεν ἐκ τῆς Β, καίπερ τὸ Ὑπηχούντων ἐγκρίνας. — Στ. 11, Ἀναφαῖνον.] Οὐδετέρως, ἀντὶ τοῦ μᾶλλον ἐν χρήσει παθητικοῦ, Ἀναφαινόμενον· οἷον καὶ τὸ τοῦ Ὀρφέως (Ἀργοναυτ. 570),

. . . . . . . . . . . . . . . Ἠνεμόεσσα κολώνη
Πηλίου ὑλήεντος ἀπ᾽ ἠιόνος κατέφαινε,

ἀντὶ τοῦ Κατεφαίνετο· χωρὶς εἰ μή τις ὑπολάβοι παρὰ τῷ Ἡλιοδώρῳ οὐκ Ἀναφαῖνον, ἀλλ᾽ Ἀναφαίνων, πάλαι γεγράφθαι, δίχα τοῦ Ὑφορώμενος, ὃ δὴ καὶ λείπει ἐν τῇ Β. καὶ ἔσται τὰ τῆς διανοίας τότε, Ἀναφαίνων ὁ κυβερνήτης, ἤγουν δεικνύων καὶ λέγων τὸ ἐκ πρύμνης ἀκάτιον εἶναι πειρατικόν. — Στ. 12, Ἀπήραμεν.] Προσέθηκα τὴν πρόθεσιν, ἵνα ᾖ Ἀπὸ τῆς Κρητικῆς ἤραμεν ἄκρας, τοῦτο βουλομένης τῆς χρήσεως· εἴρηκε γὰρ καὶ ἀλλαχοῦ Συναπαίρει, Ἄποθεν ἄραντες (σελ. 49), καὶ Ἀπαίρειν (σελ. 155). ἐσημειωσάμεθα δὲ μικρῷ πρόσθεν (σελ. 185) καὶ τὸ Πλεῦσαι ἡμαρτημένως γραφὲν ἀντὶ τοῦ Ἀποπλεῦσαι. — Στ. 13, Ἀπαράλλακτον.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 21, Ὁδηγουμένας.] Ἄμεινον ἡ Β, Ὁδηγουμέναις, ᾗ κατηκολούθησε καὶ ὁ Μ, συνάπτων αὐτὸ τὸ Ναυσί. κατὰ δοτικὴν δ᾽ ὡσαύτως ἐξέφρασαν ὅ τε Λ καὶ ὁ Α.—Στ. 23, Ὅτε ἀρότρου βοῦν ἐλευθεροῖ γηπόνος.] Τοῦτο συντομώτερον ἐκφέρειν εἰώθασιν οἱ πεζογράφοι, Ἀμφὶ βουλυτὸν, ἢ Περὶ βουλυτὸν λέγοντες. ὁ δὲ Ἡλιόδωρος περιφράζει καὶ παραφράζει, ἐξ Ὁμήρου λαβὼν (Ἰλιάδ. Π. 779), τὸ,

Ἦμος δ᾽ ἠέλιος μετενείσσετο βουλυτόνδε.

ἔστι γὰρ Βουλυτὸς, ἡ δείλη ὀψία, ὅτε οἱ βόες λύονται τοῦ ἀρότρου. φιλεῖ δὲ ὁ Ποιητὴς τὰς ὥρας τῆς ἡμέρας, ἐκ τῶν συνήθως κατ᾽ αὐτὰς πραττομένων τοῖς ἀνθρώποις δηλοῦν. οἷον καὶ ἀλλαχοῦ (Ἰλιάδ. Λ, 86) εἴρηκεν,

Ἦμος δὲ δρυτόμος περ ἀνὴρ ὡπλίσατο δόρπον
Οὔρεος ἐν βήσσησιν, κ. τ. λ.

Σελ. 207, στ. 2, Εἰς γαλήνην ἐξενικήθη.] Ὅπερ ἡ κοινὴ συνήθεια, Ἔπεσεν ὁ ἄνεμος, λέγει, ἀφελέστερον μὲν, οὐχ ἧττον μέντοι Ἑλληνικῶς, ἐπεὶ καὶ Ὅμηρος ἐχρήσατο τῇ λέξει (Ὀδυσσ. Τ, 202),

Τῇ τρισκαιδεκάτῃ δ᾽ ἄνεμος πέσε . . . . . .

Στ. 9, Θᾶττον ἡμῖν ἤ.] Προσέθηκα τὸν Ἢ σύνδεσμον, τῆς συγκρίσεως ὑπαγορευούσης. — Στ. 14, Συνεμβεβηκότων.] Οὕτω διώρθωκα τὸ Συμβεβηκότων, ὃ πρὸς τῷ ἀχρήστῳ καὶ συν-

ωνυμίαν, ἐπιπροσθοῦσαν τῷ νῷ τῶν λεγομένων, ἐμφαίνει τὴν πρὸς τὸ Συμπεπλωκότων. Ἐμβαίνειν γὰρ νηΐ, ἢ Ἐπιβαίνειν νεὼς, ἢ Εἰσβαίνειν εἰς ναῦν, ἡ χρῆσις οἶδε. αἱ δὲ ἐχόμεναι δύο λέξεις, Ἀπὸ τῆς, οὐκ ἐμφέρονται ἐν τῇ Β. — Στ. 20, Πρὸς μάχην.] Ἐν ταῖς ΑΑ, γέγραπται, Προμαχὴν, διὰ μιᾶς λέξεως. καὶ ἔοικεν ἡ ἡμαρτημένη αὕτη γραφὴ, ἐξ ἀμείνονος ἑτέρας παρεισδῦναι, τῆς Προμαχεῖν· τοῦτο καὶ γὰρ ἂν τὸ ἀπαρέμφατον μακρῷ καταλληλότερον συντάττοιτο τῷ Παρακελευομένων, ἢ τὸ Πρὸς μάχην, ὃ καλῶς ἂν εἶχεν, εἰ ἔλεγε Πρὸς μάχην ἀλλήλους διεγειρόντων, ἢ παροξυνόντων, ἤ τι τοιοῦτον. ἔστι δε τὸ Προμαχεῖν τῶν νεωτέρων, ἀντὶ τοῦ Ὑπερμαχεῖν. οὕτω γὰρ καὶ Ἡρωδιανὸς εἴρηκέ που, « Συγκαλέσας » τοὺς στρατιώτας ἐδεῖτο προμαχεῖν ». τὸ γὰρ παρ' Ὁμήρῳ Προμαχίζειν καὶ ὁ Πρόμαχος ἑτεροῖόν τι δηλοῦσιν. ἐξ αὐτοῦ δὲ τούτου τοῦ Προμαχεῖν καὶ οἱ Προμαχῶνες, καὶ Ἰωνικῶς (παρ' Ἡροδότῳ) Προμαχεῶνες, οἱ ἐπὶ τῶν τειχῶν πύργοι καὶ πρόβολοι, οὓς ἡ χυδαία συνήθεια Περμαχιόνια οὐδετέρως εἶπεν, ὡσανεὶ ἀπὸ τοῦ Ὑπερμαχεῶνες.

Σελ. 208, στ. 7, Γενέσθαι.] Προσέθηκα τὴν λέξιν ἐκ τῶν ΑΑ. — Στ. 18, Εἰ βούλεσθε.] Οὕτως αἱ ΚΑ, αἷς ἠκολούθησε καὶ ὁ Μ. ταύτην δὲ τὴν γραφὴν ἐξέφρασε καὶ ὁ Λ. τὸ δὲ Οἱ βούλεσθε, εἶχεν ἂν οὐ κακῶς, εἰ ἐγέγραπτο, Οἷ βούλεσθε, τουτέστιν Ὅποι βούλεσθε· ὡς ἡρμήνευσεν ὁ Α, *Et qu'ilz se sauvent là où ilz voudront.* — Στ. 24, Ἐναλάμενος.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ, τουτέστιν Ἐμπηδήσας· σόλοικον γὰρ ἐνταῦθα τὸ Ἐναλλόμενος, ὅ ἐστιν Ἐμπηδῶν.

Σελ. 209, στ. 2, Μετεμέλοντο.] Κακῶς διὰ δύο λ, Μετεμέλλοντο, ἅπαντες, πλὴν τοῦ Μ, παρειληφότος ἐκ τῶν ΔΑ 581. Στ. 3, Ἐφ' ᾧ τε.] Οὐκ ὀρθῶς εἰς τὸ Ἐφ' ᾧ γε τρεπτέον εἶναι εἴκασεν ὁ Κ, ᾧ συντίθεσθαί πως δοκεῖ καὶ ὁ Μ· τίς γὰρ οὐκ οἶδε τοὺς Ἀττικοὺς πλεονάζειν τῷ Τε συνδέσμῳ, ἐν τῷ Ἐφ' ᾧ τε, ὡς καὶ ἐν τῷ τετριμμένῳ Ὥστε. — Στ. 14, Προτιμότερον.] Ἐν ταῖς ΑΑ καὶ ΚΑ, Προτιμοτέρα.

Σελ. 210, στ. 4, Καὶ καιρόν.] Προσέθηκα τὸν σύνδεσμον, ὃν ἐξέφρασεν ἐναργῶς καὶ ὁ Α, καὶ ὑπείκασεν ὁ Λ. — Στ. 4, Δραστήριος.] Ἐν ταῖς ΚΑ, Δραστήριον· καὶ ἴσως ἄμεινον.

Σελ. 211, σ7. 15, Ἀνιμώντων.] Ἐν τῇ Β. ἡμαρτημένως, Ἀνικώντων. Ἀνιμᾶν δ' εἶπεν οὐκ ἀκύρως ἐπὶ τῶν ἱστίων· ὃ ἐστὶν Ἱμᾶσιν ἀνέλκειν, τοὺς δὲ Ἱμάντας καὶ Ἡσύχιος καὶ Φώτιος, κάλους ναυτικοὺς, ἐξηγήσαντο.

Σελ. 212, σ7. 5, Ἤρτητο.] Ἐν τῇ Β, Ἐξήρτητο. τὸ δὲ ὅλον χωρίον ἐν ταῖς ΔΑ281 οὕτω γράφεται, Καλώδιον, ὃ ἔξω τῆς νεὼς ἤρτητο κ. τ. λ. — Στ. 17, Καὶ πρὸς, τῆς ἐχομένης ἡμέρας.] Ἔστιξα εἰς τὸ Πρὸς, ἵνα ᾖ ἀντὶ τοῦ Καὶ πρὸς τούτοις. — Στ. 20, Ἐπιβαίνομεν.] Ἴσως γραπτέον, Ἐπεβαίνομεν, παρατατικῶς. — Στ. 21, Τῆς σωτηρίας.] Προσέθηκα τὸ ἄρθρον ἐκ τῆς Β. — Στ. 25, Οἷα γὰρ καὶ ἐπεχείρουν . . . οἱ ἀλιτήριοι.] Ἀστείως πάνυ παρῴδηται ἐκ τῶν Μενάνδρου (παρ' Ἀθην. Δ, σελ. 146),

. . . . . . . . . . . Ὡς θύουσι δ' οἱ τοιχωρύχοι·  
Κοίτας φέροντες, στάμνιά τ', οὐχὶ τῶν θεῶν  
Ἕνεκ', ἀλλ' ἑαυτῶν . . . . . . . . . . . . . . . .

Σελ. 213, σ7. 11, Ηὐτρέπιζον.] Οὕτως ἔγραψα, διότι καὶ μετ' ὀλίγα Ηὐτρεπίσθαι μετὰ τῆς χρονικῆς αὐξήσεως ἐρεῖ. Στ. 17, Στυγνότερον.] Ἐν ταῖς ΚΑ, Στυγνότερος. — Στ. 20, Οὐ βεβαιωθῆναι κ. τ. λ.] Εὐφυὴς λῃστρικοῦ καὶ ἀγρίου ἤθους παράστασις.

Σελ. 214, σ7. 8, Μηδένα, μηδὲ διοχλεῖν.] Ἐξεῖλον τὸν πρὸ τοῦ Μηδένα σύνδεσμον Δὲ, ὡς περιττόν· ἐκ δὲ τῶν ΚΑ καὶ ΑΑ ἔτρεψα τὸ Ὀχλεῖν εἰς τὸ Διοχλεῖν. — Στ. 9, Καὶ τῆς ἄλλης τημελείας καὶ εὐπρεπείας.] Ἐν ταῖς ΚΑ, Καὶ τῆς ἄλλης εὐπρεπείας· ἐν ταῖς ΑΑ, Καὶ τῆς ἄλλης καὶ εὐπρεπείας. ἡ Β, ὡς καὶ ἡ Κ καὶ αἱ μετ' αὐτὴν ἅπασαι, Καὶ τῆς ἄλλης ἘΠΙΜΕΛΕΊΑΣ καὶ εὐπρεπείας. ἐξ ὧν δῆλον ὅτι τὸ προφανῶς ἡμαρτημένον, Ἐπιμελείας ἐπιμεληθῆναι, διορθῶσαί τις σπεύδων ἐξεῖλε τοῦ χωρίου τὸ Ἐπιμελείας, ὡς νόθον. ἀπήλλαξα οὖν τῆς νοθείας μεταβαλὼν αὐτὸ εἰς τὸ ΤΗΜΕΛΕΊΑΣ. διαφέρει δὲ Τημέλεια Ἐπιμελείας ὡς εἶδος γένους, καὶ τέθειται κυρίως ἐπὶ τῆς τοῦ σώματος θεραπείας. αὐτίκα Εὐριπίδης (Ἰφιγ. Αὐλ. 731),

Χώρει πρὸς Ἄργος, παρθένους τε τημέλει,

καὶ αὖθις (Ἰφιγ. Ταύρ. 311),

'Αφρόν τ' ἀπέψα, σώματός τ' ἐτημέλει.

καὶ Πλούταρχος δὲ (ἐν Ἀγιδ. § 17) ἐκυριολέκτησεν, εἰπὼν περὶ Χειλωνίδος τῆς Λακαίνης, « Ἀψαμένη τῶν πέπλων καὶ » τῆς κόμης ἀτημελῶς ἐχόντων ». — Στ. 17, Πράξειν.] Ἐκ τῆς Β. — Στ. 21, Σιδωνίων.] Προσμαρτυρεῖ καὶ Ὅμηρος τοῖς Σιδωνίοις τὸ περὶ τὰς τέχνας ἠκριβωμένον, Πολυδαιδάλους αὐτοὺς καλέσας (Ἰλιάδ. ψ. 743). καὶ ὁ τοῦ Μενελάου κρατὴρ δῶρον ἦν τοῦ βασιλέως τῶν Σιδωνίων (Ὀδυσσ. Δ, 618). καὶ περὶ τῶν ἐκεῖθεν δὲ ὑφασμάτων λέγει ὁ Ποιητὴς (Ἰλιάδ. Ζ, 289),

.... Πέπλοι παμποίκιλοι ἔργα γυναικῶν
Σιδονίων, τὰς αὐτὸς Ἀλέξανδρος θεοειδὴς
Ἤγαγε Σιδονίηθεν ................

Στ. 24, Ἐξετίθεντο.] Ἔστιξα εἰς τὸ Ἐξετίθεντο, διὰ τὸ σαφέστερον.

Σελ. 215, στ. 7, Καὶ τὴν ἐμοὶ Τραχίνου πολεμίαν εὔνοιαν.] Ὀρθῶς μὲν συνῆκεν ὁ Μ τὸν ἄκαιρον ἐνταῦθα πλεονασμὸν τοῦ Καὶ συνδέσμου, οὐκ ὀρθῶς δὲ ἐξωθεῖν αὐτὸν ἁπλῶς τοῦ χωρίου παραινεῖ, μεταφράζων *Omnia quidem, inquit Chariclea, deploro, maxime vero lugeo id quod timueram, benevolentiam, etc.* τὸ γὰρ *Id quod timueram* Τὰ προσδεδοκημένα βούλεται λέγειν, καὶ οὐ Τὰ προσδοκώμενα, ὡς ἔχει ἡ τοῦ χωρίου γραφή· ἡ δὲ τοῦ Τραχίνου εὔνοια οὐκ ἔτι τῶν προσδοκωμένων ἦν τότε ἤνικαῦτα, ἀλλὰ πολλὺ πλέον τὰ ἐκ τῆς εὐνοίας ἀποβησόμενα προσεδοκᾶτο, ὡς ὀρθῶς ἐξέφρασε καὶ ὁ Α, *L'un et l'autre, dit-elle; mais sur tout le meschef que j'attens de l'ennemye amitié que me porte Trachinus.* διὸ καὶ μεταποιητέον τὸν ΚΑῚ εἰς τὴν ΔΙᾺ πρόθεσιν. — Στ. 15, Ἔννοια.] Ἐν ταῖς ΑΑ γράφεται, Εὔνοια. — Στ. 24, Ἐμβεβήκαμεν.] Ἡ μεταφορὰ ἀπὸ τῶν ἐμβαινόντων εἰς πλοῖον· εἰλῆφθαι δ' ἔοικεν ἐκ τοῦ Περὶ Στεφάνου τοῦ Δημοσθένους, ὅπου φησὶν ὁ Ῥήτωρ, « Ἐν αὐτοῖς τοῖς δεινοῖς καὶ φοβεροῖς ἐμβε» βηκώς ».

Σελ. 216, στ. 7, Κερδαλεώτατον.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. Στ. 9, Παραγεγονότος.] Ἐκ τῆς Ε. — Στ. 11, Ἐπιδέχεται.] Ἐν τῇ Β, Δέχεται· — Στ. 12, Οὐδὲν, εἰ ἡττήθη.]

Προσέθηκα τὸν Συναπτικὸν Εἰ, ὃν ἐξέφρασε καὶ ὁ Α. οὕτω δὲ ἀναγνῶναι, ἢ γοῦν διορθῶσαι, δοκεῖ καὶ ὁ Λ. — Στ. 13, Ὑφορᾶται δὲ . . . ἐνέφηνεν.] Ὅρα ὅπως ἐντέχνως καὶ πιθανῶς ἅμα διασκευάζει τὰ πρὸς τὸν Πέλωρον ὑπὸ Καλασίριδος λεγόμενα. ὃν γὰρ Τραχίνῳ φθάσας κατήνεσε διὰ φόβον γάμον τῆς Χαρικλείας ὁ Καλάσιρις κωλύειν ἄλλως οὐκ εἶχεν, ἢ παροξύνων Πέλωρον ἀντεραστὴν γενέσθαι Τραχίνου· παροξύνει δὲ, ἐρᾶν αὐτοῦ τὴν κόρην πλαττόμενος. καὶ τοῦτο μὲν οὐ πάνυ τι δριμὺ τὸ ἐπινόημα· τὸ δ' ἑπόμενον φρενῶν ἐμφαίνει λεπτότητα. οὐ γάρ φησι, Γαμεῖ μετ' ὀλίγον Τραχῖνος Χαρίκλειαν· τοῦτο γὰρ τοσοῦτον ἀπεῖχε τοῦ πεῖσαι παραχρῆμα Πέλωρον, ὥστε κἂν ἀπέκρουσε τῆς ἐπιχειρήσεως. ἐπιχειροῦμεν γὰρ οἷς ἐλπίζομεν μάλιστα καταπράξασθαι· ἐλπίζομεν δὲ τοσούτῳ μᾶλλον ὅσῳ πορρωτέρω τῶν ἐλπιζομένων τοὺς ἀντιποιουμένους εἶναι πεπείσμεθα, ἄλλως τε Καλάσιριν λέγοντα, Γαμεῖ μετ' ὀλίγον Τραχῖνος Χαρίκλειαν, εἰκὸς ἦν προσθεῖναι ἢ αὐτόθεν, ἢ καὶ πρὸς τοῦ Πελώρου ἐρωτώμενον, ὅτι καὶ παρ' αὐτοῦ Τραχίνου πυθόμενος λέγει τοῦτο, καὶ ὅτι δείσας κατήνεσεν αὐτῷ τὸν τῆς κόρης γάμον. ἦν δὲ καὶ τοῦτο οὐ πρὸς δεξιοῦ ῥήτορος· τὸν γὰρ τοῖς ἄλλοις τολμᾶν παρακελευόμενον οὐκ αὐτὸν χρὴ φοβούμενον φαίνεσθαι. ταῦτ' οὖν εὖ εἰδὼς Καλάσιρις, ἢ μᾶλλον αὐτὸς Ἡλιόδωρος, ἀμφιβόλως τὰ περὶ τοῦ γάμου προφέρει. Στ. 17, Περιποιήσαιο.] Ἐν τῇ Β, Περιποιήσειας, ᾗ συνᾴδουσι καὶ αἱ ΑΑ. — Στ. 21, Ἐφοδίου.] Προφάσεως, ἀφορμῆς· καὶ σημείωσαι τὴν λέξιν ὡς οὐ πάνυ τι τεταγμένην ἐπὶ ταύτης τῆς σημασίας. Στ. 23, Ἃ χρεωστοῦμαι . . . γεγονώς.] Ὅρα τὸ καινὸν τῆς συντάξεως· τὸ γὰρ κοινότερον ἦν, Ἃ χρεωστεῖταί μοι προεμβάτῃ τῆς ὁλκάδος γεγονότι. τούτου τοῦ χαρακτῆρός πως ἔχεται καὶ τὸ παρὰ Πλάτωνι (περὶ Νομ. Θ, 877.) « Ὅταν » οὖν τις ἅμα δυστυχηθῇ καὶ ἀσεβηθῇ τῶν οἴκων ». ἀντὶ τοῦ Ὅταν τις οἶκος δυστυχές καὶ ἀσεβές τι πάθῃ. — Στ. 24, Πικρόγαμος.] Ἐξ Ὁμήρου (Ὀδυσσ. Α. 266 καὶ ἀλλαχοῦ) ἐν οἷς περὶ τῶν Πηνελόπης μνηστήρων,

Πάντες κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.

χρήσεται δὲ καὶ ἀλλαχοῦ (σελ. 307) Ἡλιόδωρος τῇ λέξει, ἐξ Εὐριπίδου μέντοι παρῳδῶν ἐκεῖ.

Σελ. 217, στ. 4, Διαβεβρεγμένους.] Εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 31) περὶ τῆς διαφορᾶς τοῦ Διαβεβρεγμένος πρὸς τὸ Ὑποβεβρεγμένος — Στ. 13, Θάνατον προξενήσῃς.] Δύ' ἄττα σημειωτέον περὶ τοῦ Προξενεῖν ῥήματος ἐνταῦθα· πρῶτον μὲν ὅτι τοῖς Ἀρχαίοις, μετὰ γενικῆς συντασσομένη, ἐπὶ τῶν δημοσίᾳ ξένου τινὸς προϊσταμένων τῆς πόλεως τοῦτο κελευούσης, ἢ καὶ αὐτῶν ξενιζόντων, ἡ λέξις ἐτάττετο. καὶ ἦσαν οἱ παρὰ τοῖς πάλαι Πρόξενοι, οὓς ἡ συνήθεια Ἰταλιστὶ Κονσόλους ὀνομάζει· προΐστανται γὰρ καὶ οὗτοι, καὶ προξενοῦσιν ἕκαστος τῶν ἐπιδημούντων αὐτοῦ πολιτῶν. ἔπειτα δὲ ἡ χρῆσις τοῦτο μετήνεγκε, καὶ ἐπὶ τῶν ἁπλῶς τι τινὶ ἀγαθὸν πορίζόντων, δοτικῇ καὶ αἰτιατικῇ συνάψασα, οἷον Προξενῶ σοι τιμὴν, πλοῦτον κ.τ.λ. ἐπεπόλασε δὲ μάλιστα ἡ χρῆσις αὕτη, παρὰ τοῖς ἐπ' Αὐγούστου Καίσαρος ἀκμάσασι συγγραφεῦσι, καὶ διέτεινε μέχρι καὶ ἐφ' ἡμῶν. κατὰ δὲ τοὺς Ἡλιοδώρου χρόνους (ᾗ δῆλον ἐκ τοῦ προκειμένου χωρίου), καὶ ἐπὶ τῶν κακόν τι τινὶ πορίζόντων, ἐχρῶντο ἤδη τῇ λέξει. εἴρηκε δέ που καὶ ὁ Ναζιανζηνὸς Γρηγόριος, κατὰ τοὺς αὐτοὺς Ἡλιοδώρῳ ἀκμάσας χρόνους, « Προξενεῖν κίνδυνον τῇ πόλει ». Στ. 14, Μελλήσας.] Τοῦτο ὡς ἡμαρτημένως γεγραμμένον δι' ἑνὸς λ παρὰ τῷ Κ, διορθωσάμενος, οὐκ ἔγνων δεῖν ὑποσημειώσασθαι. ὁ δὲ Μ, τοσούτου δεῖ γραφικὸν ἡγεῖσθαι σφάλμα, ὥστε καὶ προείλετο γράφειν Μελήσας, καίπερ τοῦ Μελλήσας καὶ ἐν τοῖς ΔΑ581 ἐπιδήλως ἐμφερομένου. — Στ. 17, Ἐπὶ τῆς κεφαλῆς.] Ἐν τῇ Β, Ἐπὶ τῇ κεφαλῇ.

Σελ. 218, στ. 13, Πράττοις.] Ἐκ τῶν ΚΑ. — Στ. 16, Τἀπίχειρα.] Αἱ ΑΑ, Τὰ ἐπίχειρα, ἀσυναιρέτως. — Στ. 18, Καὶ τοῦ τυραννικοῦ τούτου νόμου πειραθήσεται.] Λείπει ταῦτα πάντα ἐν τῇ Β μόνῃ. τὸ δὲ ἄρθρον παρέλαβον ἐκ τῶν ΑΑ. — Στ. 20, Αἰφνιδίῳ σπιλάδι.] Δοκεῖ πως ταῦτα παρῳδῆσθαι ἐκ τῆς Ὀδυσσείας (Ε, 401),

Καὶ δὴ δοῦπον ἄκουσε ποτὶ ΣΠΙΛΑΔΕΣΣΙ ΘΑΛΑΣΣΗΣ·
Ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο,
Δεινὸν ἐρευγόμενον . . . . . . . . . . . . . .

ἃ δὴ καὶ Ἀπολλώνιος ἐμιμήσατο (Ἀργοναυτ. Β, 570) εἰπὼν,

Κοῖλαι δὲ σπήλυγγες ὑπὸ σπιλάδας τρηχείας
Κλυζούσης ἁλὸς ἔνδον ἐβόμβεον· ὑψόθι δ' ὄχθης
Λευκὴ καγχλάζοντος ἀνέπτυε κύματος ἄχνη.

τὰ δὲ τῆς συντάξεως τοῦ χωρίου οὐ πάνυ τι ἔῤῥωται. διὸ καὶ δοκεῖ μοι μεταποιητέον εἶναι τὸ, Θαλάττη. . . αἰφνιδίῳ, εἰς τὸ Θαλάττης. . . αἰφνιδίως, ἵνα ᾖ ὁ νοῦς, Προσείκασας ἂν τοὺς ἄνδρας, κατασεισθέντας καὶ διαταραχθέντας αἰφνιδίως, σπιλάδι θαλάττης βομβούσῃ ὑπὸ τῶν προσκλυζόντων κυμάτων, ᾗ παραβολῇ καὶ Σοφοκλῆς ( Οἰδ. Κολ. 1240 ) ἐχρήσατο εἰπὼν,

Πάντοθεν βόρειος ὥς τις ἀκτὰ
Κυματοπλὴξ χειμερία κλονεῖται,
Ὣς καὶ τόνδε κ. τ. λ.

ἢ, κατὰ χώραν ἐάσαντας τὸ Θαλάττῃ, γράφειν γοῦν Αἰφνιδίως. ἔσται δὲ ὁ νοῦς τηνικαῦτα, Προσείκασας ἂν τοὺς ἄνδρας θαλάττῃ, ἣ κατασείεται αἰφνιδίως πρὸς σπιλάδα, καὶ δοῦπον ποιεῖ, τοῦ Κατασεισθέντας καινότερον πρὸς τὸ Ἄνδρας συναφθέντος, δέον εἰπεῖν Κατασεισθείσῃ πρὸς τὸ Θαλάσσῃ. οἱ δὲ μεταφράσαντες ὅ, τε Λ καὶ Α, οὕτως ἡρμήνευσαν, ὡς δήλους μὲν εἶναι καὶ αὐτοὺς συνιδόντας τὸ τοῦ λόγου ἀσυνάρτητον, οὐ πάνυ δὲ σαφῶς δηλοῦν ὃν ὑπέλαβον τρόπον διορθώσεως· ὁ μὲν γὰρ Λ φησὶ *Mari comparasses viros repentino turbine concitatos*, ὁ δὲ Α, *Vous eussiez proprement dit que c'estoit une playe de mer qu'un soudain estourbillon de vent renverse sans dessus dessouz*, Θυέλλης ἄμφω μνημονεύσαντες, ἣ συνυπακούεται μὲν ἐξ ἀνάγκης, οὐ κεῖται δὲ διαῤῥήδην ἐν τῷ χωρίῳ. — Στ. 24, Οἱ μὲν γὰρ ὡς τοῦτον . . . βαλλόντων καὶ βαλλομένων.] Μετενήνεκται ταῦτα τὸ μέρος ἐκ τῶν Λουκιανοῦ (Συμποσ. ἢ Λαπίθ. § 43 καὶ 44), ὃς ἀστείως πάνυ τὰ ἐν τῷ Ἀρισταινέτου δείπνῳ παροινηθέντα διηγούμενος, φησὶ πρὸς τοῖς ἄλλοις, « Συμπεσόντες ἔπαιον ἀλλήλους » ταῖς ὄρνισιν αὐταῖς εἰς τὰ πρόσωπα· καὶ τῶν πωγώνων ἐπει- » λημμένοι ἐπεκαλοῦντο βοηθεῖν, ὁ μὲν τὸν Κλεόδημον, ὁ Ἑρ- » μων, ὁ δὲ Ζηνόθεμις Ἀλκιδάμαντα καὶ Δίφιλον. καὶ συν- » ίσταντο οἱ μὲν ὡς τοῦτον, οἱ δὲ ὡς ἐκεῖνον . . . καὶ ὁ μὲν » Ζηνόθεμις, σκύφον ἀράμενος ἀπὸ τῆς τραπέζης, κείμενον

» πρὸ τοῦ Ἀρισταινέτου, ῥίπτει ἐπὶ τὸν Ἕρμωνα·

» Κἀκείνου μὲν ἅμαρτε, παραὶ δέ οἱ ἐτράπετ' ἄλλῃ·

» διεῖλε δὲ τοῦ νυμφίου τὸ κρανίον εἰς δύο χρηστῷ μάλα καὶ » βαθεῖ τραύματι κ. τ. λ. ». — Στ. 25, Οἱ μὲν αἰδεῖσθαι τὸν ἄρχοντα.] Ἀκροθιγῶς ἐπιψαύει τοῦ Ὁμηρικοῦ (Ἰλιάδ. Α, 23),

Αἰδεῖσθαί θ' ἱερῆα ........................

Σελ. 219, σ. 6, Ἐκτέτακτο.] Οὕτως ἐναργῶς ἐν ταῖς ΔΑ645, καὶ οὐχ, ὡς ᾠήθη ὁ Μ, Ἐτέτακτο, ὅπερ ἐν μόναις ταῖς ΚΑ καὶ ΑΑ ἐμφέρεται. — Στ. 7, Ἀλλήλους.] Οὐκ ὀρθῶς ἐν ταῖς ΚΑ καὶ ΑΑ, Ἀλλήλοις, κατὰ δοτικήν· δῆλον δὲ καὶ ἐξ ὧν ἔφθην παραθέμενος ἐκ τοῦ Λουκιανοῦ, ὃν ἐνταῦθα παρῳδεῖ Ἡλιόδωρος. τὸ δὲ ἐχόμενον, Ἐπαμύνοντες, εἴληπται ἐκ τῶν ΑΑ. — Στ. 9, Οἰμωγὴ . . . βαλλόντων καὶ βαλλομένων.] Παρὰ τὸ Ὁμηρικὸν (Ἰλιάδ. Δ, 450), ὃ ἐν τοῖς πρόσθεν (σελ. 37 καὶ 47) ἐκφανέστερον παρῴδησεν, ὡς φθάντες ἐπεσημηνάμεθα (σελ. 42). — Στ. 10, Κρατῆρσι, δαλοῖς.] Κρατὴρ ἐστὶν οἰνοχόον ἀγγεῖον, ἦ φησιν Ἡσύχιος. λέγεται δὲ καὶ Κρητὴρ, Ἰωνικῶς· οὗ τὸ ὑποκοριστικὸν Κρητήριον παραλαβοῦσα ἴσως ἡ χυδαία συνήθεια, μεταπεποίηκεν εἰς τὸ Κρεντῆρι. ὁ δὲ Δαλὸς, καὶ Δαυλὸς ἐλέγετο Ἰωνικῶς καὶ Αἰολικῶς, φυλαχθέντος καὶ ἐν τῇ συνηθείᾳ τοῦ δευτέρου τούτου σχηματισμοῦ· Ἀττικοὶ δὲ αὐτὸν, Δαελὸν, καὶ Λάκωνες, Δαβελὸν ἔλεγον (Ἰδ. Ἐτυμολογ. σελ. 246, Ἡσύχ. λέξ. Δάβελος, Εὐστάθ. εἰς τὴν Ὀδυσσ. Κ, 192).

Σελ. 220, σ. 4, Αὐτοσχεδίου.] Οὕτω διώρθωκα, ἵνα συντάττηται πρὸς τὸ Μάχης ἐπιθετικῶς. ἔστι δὲ Αὐτοσχέδιος ἡ Αὐτοσχεδία μάχη, ἡ ἐκ τοῦ σύνεγγυς καὶ διὰ χειρῶν γιγνομένη, ἣν καὶ Αὐτοσταδίαν καλεῖ ὁ ποιητὴς (Ἰλιάδ. Ν, 325). καὶ ἐπεὶ τὸ Αὐτοσχέδιον δύναται σημαίνειν καὶ τὸ ἀπροπαρασκεύως καὶ ἐξ ἑτοίμου τελούμενον, τὸ ἀμφίβολον ἐξαιρούμενος προσέθηκε τὸ Ἐν χερσὶ, παρῳδῶν ἅμα καὶ τὸν ποιητὴν (Ἰλιάδ. Ο, 509),

Ἡμῖν δ' οὔτις νόος καὶ μῆτις ἀμείνων,
Ἢ αὐτοσχεδίῃ μῖξαι χεῖράς τε μένος τε.

Στ. 16, Ἄκρον δὲ τὸν ὦμον παραξέσας κ. τ. λ.] Ἐξ Ὁμήρου (Ἰλιάδ. Ε, 80) παρῴδηται,

Πρόσθεν ἔθεν φεύγοντα μεταδρομάδην ἔλασ' ὦμον,
Φασγάνῳ ἀΐξας· ἀπὸ δ' ἔξεσε χεῖρα βαρεῖαν.

Στ. 17, Ἀπέτεμε. καὶ τούτου δή.] Τὸ Ἀπέτεμεν ἐκ τῶν ΚΑ καὶ ΑΑ· τὸ δὲ Δὴ ἐξ ἡμετέρας διορθώσεως. — Στ. 24, Προσκαθημένην.] Ἡμαρτημένως ἐν ταῖς ΑΑ, Προκαθημένην.

Σελ. 221, στ. 2, Εἰπεῖν τι καὶ μαθεῖν.] Ἔτρεψα τὸν Τε εἰς τὸ Τι, τῶν μεταβατικῶν Εἰπεῖν καὶ Μαθεῖν ἀπαιτούντων πάντως ἐνταῦθα αἰτιατικήν. ἐρεῖ δὲ καὶ προϊὼν (σελ. 245) « Ἐπιχειρεῖν τι παρὰ τῆς πρεσβύτιδος, εἰ οἷόν τε, ἐκμανθάνειν ». — Στ. 7, Λῃστρικόν.] Οὕτω γραπτέον ἀντὶ τοῦ Λῃστρικῶν, δηλοῦσι καὶ τὰ παράλληλα χωρία (σελ. 7 καὶ 253). Στ. 14, Οὐ μὴν ἐπήρκεσά γε· πόθεν;] Ὅμως οὐκ ἴσχυσα ἐπικουρῆσαι καὶ βοηθῆσαι· πόθεν γὰρ εἶχον τοῦτο ποιῆσαι; ἀπολειφθεὶς μὲν τότε διὰ τὸ γῆρας κ. τ. λ. τοιοῦτον εἶναι τὸν νοῦν τοῦ χωρίου, παραμυθησάμενοι τῇ στίξει πεποιήκαμεν· ὃ δὴ καὶ ὁ Κ συνῆκεν. ἴσως δὲ ἐντεῦθεν διορθωτέος καὶ ὁ Ἡσύχιος, « Ἐπάρκιοι, ΕΜΠΕΙΡΟΙ, βοηθοί »· εἰκὸς γὰρ αὐτὸν γεγραφέναι, ΕΠΙΚΟΥΡΟΙ. — Στ. 16, Ἐν τοῖς ὀρθίοις μέρεσι.] Τουτέστι, τοῖς ἀνάντεσι. λείπει τὸ Μέρεσι ἐν τοῖς ΑΑ· ὅπερ ὤφειλον κἀγὼ παραλιπεῖν, καίπερ παρὰ τοῖς ἄλλοις ἅπασιν ἐμφερόμενον· συνυπακούεται γὰρ κατ' ἔλλειψιν Ἀττικὴν τῷ Ὀρθίοις, ὡς ἔστιν ἰδεῖν πολλαχοῦ παρὰ Ξενοφῶντι. φιλεῖ δὲ καὶ τὸ Ὀρθὴ ἐλλειπτικῶς προφέρεσθαι, συνυπακουομένου ὁτὲ μὲν τοῦ Ὁδὸς, ὡς ἔχει τὸ τοῦ Κωμικοῦ (Ὄρν. 1),

Ὀρθὴν κελεύεις, ᾗ τὸ δένδρον φαίνεται;

ὁτὲ δὲ τοῦ Γωνία, οἷόν ἐστι τὸ παρὰ τοῖς Μαθηματικοῖς, Πρὸς ὀρθάς. — Στ. 17, Ἐπὶ δὲ τοῦ παρόντος.] Ἔτρεψα τὸν Τε εἰς τὸν Δὲ, ἵν' ἔχῃ ἀνταποδίδοσθαι πρὸς τὸ Μὲν τότε. ἐμφαίνει δὲ τοῦτο καὶ ὁ Λ, *Nunc autem* μεταφράσας. — Στ. 21, Ἀφθονίαν.] Οὕτως αἱ ΚΑ. — Στ. 22, Ἐδάκρυον δὲ καὶ οἱ παρόντες.] Προσέθηκα τὸν Καὶ, τοῦ Ἑλληνισμοῦ τοῦτο πάντως ὑπαγορεύοντος. οὕτω γὰρ εἴρηκε καὶ ἐν τοῖς πρόσθεν (σελ. 31) « Καὶ ἅμα ἐδάκρυεν· ἐδάκρυον δὲ καὶ οἱ ξέ-

» νοι ». ἐρεῖ δὲ καὶ προϊὼν (σελ. 323), « Κατειλήφει μὲν » καὶ τὴν Χαρίκλειαν, ... κατειλήφει δὲ καὶ τοὺς παρόν» τας ». — Στ. 24, Ἐπίφορον γάρ τι πρὸς δάκρυον οἶνος.] Διὰ τὴν ὑπὸ τοῦ οἴνου δηλαδὴ συμβαίνουσαν ἔκλυσιν τῆς σωματικῆς δυνάμεως· δηλοῦσι δὲ καὶ οἱ παῖδες, οἱ γέροντες καὶ αἱ γυναῖκες, εὐεπίφοροι μᾶλλον τῶν ἄλλων ὄντες εἰς δάκρυα διὰ τὴν ἀσθένειαν. τὸν δὲ ὑπὸ τοῦ οἴνου ἐγειρόμενον θρῆνον ἀστείως ἡ κοινὴ συνήθεια Κρασοκατάνυξιν εἶπεν.

Σελ. 222, σἱ. 7, Νῦν δὲ, ὥρα γὰρ κ. τ. λ.] Στίξας εἰς τὸ Νῦν δὲ, ἔτρεψα ἐξ ἀνάγκης καὶ τὸν Γε εἰς τὸν Γὰρ, ἵνα ᾖ ὁ νοῦς, Νῦν δὲ, ἐπεὶ καιρός ἐστι διαλύειν τὸ συμπόσιον, μνήμη τοῦ δαιμονίου γιγνέσθω, καί τις τῶν θεραπόντων περιαγέτω τὰς κύλικας, ἵνα σπείσωμεν τὰς λυτηρίους σπονδάς· ἄλλως γὰρ οὐ πάνυ τι σαφὲς ἂν εἴη τὸ λεγόμενον. ἔοικε δὲ πρὸς τὸ τοῦ Εὐριπίδου (Φοινίσσ. 578) τὴν αναφορὰν ἔχειν,

Οἴκτων μὲν ἤδη λήγεθ᾽, ὡς ὥρα τάφου
Μνήμην τίθεσθαι ..............

τῆς αὐτῆς δ᾽ ἕνεκα σαφηνείας, διώρθωκα καὶ τὸ ἀδιανόητον, Καὶ τὰς λυτηρίους τῇ σπονδῇ περιαγέσθω, τρέψας εἰς τὸ, Καὶ τὰς λυτηρίους ΤΙΣ ΣΠΟΝΔΑ'Σ ΠΕΡΙΑΓΕ'ΤΩ· ἔφθη γὰρ καὶ ἐν τοῖς πρόσθεν (σελ. 123) εἰρηκὼς, « Ἐπεὶ » δὲ τὰς κύλικας ἔδει περιάγεσθαι ». ἐνδέχεται δὲ καὶ οὕτω διορθοῦν τὸ χωρίον, Καὶ ἡ λυτήριος σπονδὴ περιαγέσθω, ἢ γοῦν, Καὶ αἱ λυτήριοι σπονδαὶ περιαγέσθων. — Στ. 11, Διελύετο.] Ἐκ τῶν ΚΛ καὶ ΑΑ. καὶ αὐτὸς δὲ Ἡλιόδωρος προϊὼν (σελ. 305) « Διαλυομένου τοῦ συμποσίου » ἐρεῖ.— Στ. 13, Ἐφεύρισκεν.] Ἀντὶ τοῦ ἁπλοῦ Εὕρισκεν, ἢ τοῦ Ἀνεύρισκεν, ἐχρήσατο τῷ Ἐφεύρισκε, ποιητικώτερον, κατὰ τὸ (Ἰλιάδ. Ν, 760),

Φοίτα ἀνὰ προμάχους διζήμενος εἴπου ἐφεύροι.

Βιβλίῳ ϛ, Σελ. 223. σἱ. 10, Συνέπεσθαι ἱκετεύουσα.] Ἀντὶ τοῦ Συνέπεσθαι, ἐν τῇ Β, Ἕπεσθαι, ἀντὶ δὲ τοῦ Ἱκετεύουσα, ἐν ταῖς ΚΑ, Βουλομένη, γέγραπται· οὐδέτερον ὀρθῶς.

Σελ. 224 σἱ. 8, Ὀλίγου ἔδει.] Διώρθωκα κἀνταῦθα, ὡς καὶ ἐν ἄλλοις, τὴν φράσιν, περὶ ἧς εἴρηκα καὶ ἐν τοῖς πρόσθεν

(σελ.170).—Στ. 10, Ἐγὼ μὲν ᾤμην.] Προσέθηκα τὸν Μὲν, οὐ μόνον διὰ τὴν ἀναίρεσιν τῆς χασμωδίας, ἣν ἐποίει τῶν δύο ω̄ ἡ συνδρομὴ, ἀλλ' ὅτι καὶ πρόδηλον οὕτω γεγράφθαι τὴν ἀρχὴν, τοὺς δὲ ἀντιγράψαντας παραλιπεῖν τὸν σύνδεσμον παραχθέντας ὑπὸ τῆς ἐπαναλήψεως τῶν αὐτῶν σχεδὸν στοιχείων, ω μεν ωμην.—Στ. 12, Σκότους.] Ἐν ταῖς ΚΑ, Σκότου, ἀρσενικῶς καὶ Ἀττικωτέρως.—Στ. 15, Ἀδεᾶ.] Τουτέστιν, ἄφοβα, ἀντὶ τοῦ Ἀδεῆ, ἐκ τοῦ Ἀδεέα, ὡς καὶ ἐν τοῖς ἑξῆς (σελ.231). καὶ τοῦτο δὲ τῶν Ἀττικῶν, τὸ συναιρεῖν εἰς ᾱ τὸ εα, συνεχέστερον μέντοι ἐπὶ τῆς αἰτιατικῆς τῶν ενικῶν ἀρσενικῶν, οἷον Τὸν ὑγιᾶ, Τὸν εὐφυᾶ, Τὸν Πειραιᾶ· τὸ γὰρ καὶ τὰ οὐδέτερα πληθυντικὰ οὕτω συναιρεῖν τῶν μεταγενεστέρων εἶναι δοκεῖ, οἷον καὶ παρὰ Πλουτάρχῳ εὕρηταί που Τὰ ἐνδεᾶ. τῷ δὲ νῷ τοῦ λεγομένου ἔστι παραθέσθαι τὸ τοῦ Τραγικοῦ (παρὰ Στοβ. Η),

Ἅπαντα γάρτοι τῷ φοβουμένῳ ψοφεῖ.

Στ, 19, Ἀνθρώπου δὲ, καὶ, ὃ πλέον ἐστὶ θαυμαστόν.] Οὕτω διώρθωκα τὸ χωρίον, μεταβαλὼν τὸ Πλεῖον εἰς τὸ Πλέον, καὶ μεταθεὶς τὸν Καὶ σύνδεσμον· τὸ μὲν, ὅτι τὸ Πλέον, ἐπιῤῥηματικῶς μὲν λαμβανόμενον, μονοφθογγογραφεῖται, ὀνοματικῶς δὲ καὶ ἐπιθετικῶς, διφθογγογραφεῖται, παρὰ γοῦν τῷ Ἡλιοδώρῳ, οἷον (σελ. 281), « Καὶ ΠΛΈΟΝ ἡ Χαρίκλεια, » ἅτε καὶ ΠΛΕΊΟΝΙ τῷ χρόνῳ μείζονος ... εὐνοίας πεπειραμένη »· τὴν δὲ τοῦ συνδέσμου μετάθεσιν ὁ νοῦς αὐτὸς τῶν λεγομένων ὑπαγορεύει, Εἰ μὲν καὶ θεοῦ τινὸς, ἢ δαίμονος ἐπωνυμίαν φοβεῖται, οὐκ ἔχω λέγειν· ἀνθρώπου δὲ ὄνομα ἀκούων πέφρικε, καὶ ὃ μᾶλλον θαυμάζειν ἄξιον, οὐδὲ τούτου ἀνδρὸς, ἀλλὰ γυναικός. αἱ δὲ δύο λέξεις, Ἐστὶ θαυμαστὸν, παρελείφθησαν ἐν ταῖς ΚΑ καὶ ΑΑ.—Στ.25, Οὐκ οἶδ' ὅπως ἢ ὅθεν, οὐ λέγω, τούτου παρακηκοὼς κ.τ.λ.] Ἔτρεψα τὸ ἀρνητικὸν Οὐ εἰς τὸ ἀναφορικὸν Οὗ, διορθώσας ἅμα καὶ τὴν στίξιν. καὶ οἱ μεταφράσαντες δὲ Λ καὶ Α δίχα τῆς ἀρνήσεως ἐξηγήσαντο.

Σελ. 225, στ. 2, Μεταλαβεῖν ἐνέδωκε.] Ἐν ταῖς ΔΑ519, Μεταλαχεῖν, ἐμφέρεται. κακῶς δὲ οἱ πρὸ ἐμοῦ Ἐνδέδωκε κατὰ παρακείμενον· σημαίνει γὰρ οὗτος ἐνέργειαν παρακειμένην τῷ

ἐνεστῶτι, ὡς ἐν τοῖς ἑξῆς (σελ. 250). ταύτην δὲ τὴν σημασίαν ἀποστρέφεται ἐπὶ τοῦ προκειμένου χωρίου, τὸ προηγησάμενον, Τῆς γοῦν νυκτὸς καθ' ἣν ἀπὸ τῶν βουκόλων ἐπέστης. — Στ. 3, Ἐκθνήσκων.] Λειποθυμῶν, περὶ οὗ καὶ ἐν τοῖς πρόσθεν (σελ. 171) εἴρηκα. — Στ. 13, Οὐκ ἐμοὶ μόνῳ μορμολύκειον.] Τὸ Μόνῳ παρέλαβον ἐκ τῶν ΑΑ. τὸ δὲ Μορμολύκειον προδήλως σημαίνει τὸ φάσμα τῆς νεκρᾶς Θίσβης, ἤγουν τὸν ἐν τῇ συνηθείᾳ Βορϐόλακα, ὡς καὶ ἐν τοῖς πρόσθεν (σελ. 5) εἰρήκαμεν. οὐκ ἄκαιρον δὲ προσεπιμνήσασθαι ἐν τῷ παρόντι, πρὸς πλείονα τῶν εἰρημένων πίστωσιν, καὶ τὸ ἱστορούμενον, ἢ μᾶλλον εἰπεῖν μυθευόμενον παρὰ τῷ Φιλοστράτῳ (Βίῳ Ἀπολλων. Δ, κέ) περὶ Μενίππου τοῦ γήμαντος μίαν τῶν θηλειῶν βορϐολάκων, ὑφ' ἧς βρωθήσεσθαι μέλλοντα ἐπιγνοὺς ἀπήλλαξεν Ἀπολλώνιος, « Ἡ χρηστὴ νύμφη μία τῶν Ἐμπουσῶν ἐστιν, ἃς » Λαμίας τε καὶ Μορμολυκίας (γρ. Μορμολύκας) οἱ πολλοὶ » ἡγοῦνται . . . σαρκῶν δὲ, καὶ μάλιστα ἀνθρωπείων, ἐρῶσι, καὶ » πάλλουσι (ἴσ. σφάλλουσι) τοῖς ἀφροδισίοις οὓς ἂν ἐθέλωσι δαίσασθαι ». — Στ. 17, Γιγνώσκων οὐκ ἔτ' οὖσαν.] Ἐν τῇ Β καὶ ταῖς ΚΑ, Γινώσκω γὰρ οὐκ ἔτ' οὖσαν. — Στ. 19, Ἐτύγχανε . . .] Στιγμαῖς διέστειλα τὰ τοῦ διαλόγου, ὅτι ἔοικε μὴ φθάσαι πέρας ἐπιθεῖναι, οἷς ἔλεγε, Κνήμων, ὑποκρούσαντος Ναυσικλέους διὰ τοῦ, Πέπαυσο· ἄλλως γὰρ ἂν εἴη ἀσυνάρτητα τὰ τοῦ λόγου, ὃ καὶ ὁ Κ συνῆκε. — Στ. 22, Πρὸς ἁλῶν καὶ τραπέζης.] Περὶ τῆς θειότητος τῶν ἁλῶν εἰρήκαμεν καὶ ἐν τοῖς πρόσθεν (σελ. 160). ὅτι δὲ τοιούτους ἡγοῦντο τοὺς ἅλας, δῆλον καὶ ἐκ τοῦ ὀμνύειν κατ' αὐτῶν, ὡς κατὰ θείου τινός. καὶ παρ' ἡμῖν δὲ μέχρι καὶ δεῦρο ὁ ἰδιώτης λαὸς « Μὰ τὸ ψωμίον καὶ τὸ ἅλας » πολλάκις ὀμνύοντες λέγουσι. — Στ. 23, Ἐν ἡμετέρῳ.] Οὕτω προδήλως κατὰ δοτικὴν αἱ ΑΑ. ἵν' ἔχῃ προσυπακούεσθαι τὸ Οἴκῳ. διδάσκει δὲ τοῦτο καὶ ἡ Ὁμήρειος χρῆσις, ἐν μὲν δοτικῇ ἀεὶ κατὰ τὸ πλῆρες ἐκφέρουσα, Ἡμετέρῳ ἐνὶ οἴκῳ, ἢ Οἴκῳ ἐν ἡμετέρῳ, ἐν αἰτιατικῇ δὲ, ποτὲ μὲν κατὰ τὸ πλῆρες, Ἡμέτερον δόμον, δῶμα, ἢ δῶ, οὐκ ὀλιγάκις δὲ καὶ ἐλλειπτικῶς, οἷον Ἐς ἡμέτερον (Ὀδυσσ. Β, 55, Η, 301, Ρ, 534), ἢ Ἡμέτερόνδε (Αὐτ. Θ, 59, Ο, 512, Ω, 266)· οὐδέποτε δὲ ἐν γενικῇ, πλὴν

ἅπαξ ἐν τῷ εἰς Ἑρμῆν ὕμνῳ (στ. 370), ὅπου γέγραπται ἁμαρτίᾳ τῶν Ἀντιγραφέων,

Ἦλθεν ἐς ἩΜΕΤΈΡΟΥ διζήμενος εἰλίποδας βοῦς,

ἀντὶ τοῦ, «Ἦλθεν ἐς ἩΜΈΤΕΡΟΝ», ὡς διωρθοῦτο Βαρνέσιος, καὶ ὡς διορθωτέον τά τε προδηλωθέντα Ὁμήρου χωρία, καὶ ἡ ἐν τῷ προκειμένῳ Ἡλιοδώρου χωρίῳ γραφὴ, ὑπαγορεύουσιν· ἡ γὰρ Ἐν καὶ Εἰς, ὅταν πρὸς γενικὴν φέρωνται συνυπακουόμενον ἐξ ἅπαντος ἔχουσιν, ἡ μὲν κατὰ δοτικὴν, ἡ δὲ κατ' αἰτιατικὴν, τὸ Τόπος, Οἶκος, Ναὸς, ἢ ἄλλο τι τοιοῦτον. διὸ καὶ εἴρηκεν ὀρθῶς ἐν τοῖς πρόσθεν (σελ. 81), Ἐν ἐμαυτοῦ, συνυπακουομένου τοῦ, Οἴκῳ. τὸ δὲ, Ἐν ἡμετέρου, καὶ, Εἰς ἡμετέρου, εἴ τι τοιοῦτον συνυπακούοις αὐτοῖς, ἔσται γελοίως ἀναλυόμενα εἰς τὸ πλῆρες, Ἐν τῷ οἴκῳ τοῦ ἡμετέρου οἴκου, καὶ, Εἰς τὸν οἶκον τοῦ ἡμετέρου οἴκου. πρὸς δὲ τοὺς ἀντιβάλλοντας τὰ δύο χωρία τοῦ Ἡροδότου (Α, λε', καὶ Η, ή, 4) ἐν οἷς ὁμοίως γέγραπται, Ἐν ἡμετέρου, ῥητέον ὅτι καὶ ἐν ἐκείνοις, καὶ εἴπῃ ἄλλῃ εὕρηται ἡ τοιαύτη γραφὴ, μεθαρμοστέα εἰς τὸ, Ἐν ἡμετέρῳ. εἰ δέ γε μὴ πείθονται, λείπεται δὴ λέγειν αὐτοῖς τὸν παλαιὸν λόγον,

Σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω, ἐμοὶ δὲ τάδε.

Στ. 25, Παιδιὰν ἐμὲ πεποίησθε.] Ἐν ταῖς ΚΑ, ἀντὶ τοῦ, Ἐμὲ, γράφεται Ἐμοὶ, ὅπερ ἐξέφρασε καὶ ὁ Λ κατὰ λέξιν· ἐν δὲ τοῖς λοιποῖς, Ἐμὴν, πλὴν τοῦ Μ, κατακολουθήσαντος τῇ διορθώσει τοῦ Κ, ὃς ὀρθῶς εἴκασε κατ' αἰτιατικὴν γραπτέον εἶναι, Ἐμέ. ἐρεῖ δὲ καὶ μετ' ὀλίγα (σελ. 228) καθ' ὁμοίαν λέξεων συμπλοκὴν, «Χλεύην ἐμὲ συνήθως, καὶ τὰ » ἐμὰ πεποίηται »· οἷς προστίθει καὶ τὰ ἐν τῇ 242 σελίδι.

Σελ. 226, σ. 10, Ὡς Ἀθηναῖος.] Ἐξαλήλιφα τὸν Καὶ, ὡς ἀτόπως πλεονάζοντα. — Στ. 12, Διήει.] Περιέγραψα κἀνταῦθα τὸν Καὶ, ὃς λείπει καὶ ἐν ταῖς ΚΑ καὶ ΑΑ — Στ. 16, Πατραλοίᾳ.] Δοτικὴν ἀπαιτεῖ τὸ ἐχόμενον Ἐπιθέντος· ὅθεν ἔτρεψα τὸ Πατραλοίου εἰς τὸ Πατραλοίᾳ.

Σελ. 227, σ. 4, Ἀνευρών.] Οὕτως ὀρθῶς ἡ Β, διὰ μιᾶς λέξεως, ἀντὶ τοῦ, Ἂν εὑρών. — Στ. 14, Τῷ τε Καλασίριδι.] Οὕτως ἡ Β· καὶ ἔοικε τυπογραφικῶς ἡμαρτῆσθαι τὸ, Τῷδε, τοῦ Κ, ᾧ κατηκολούθησαν οἱ μετ' αὐτὸν, πλὴν τοῦ Μ. — Στ.

19,

19, Τὸ μέν τι.] Ἔτρεψα καὶ πάλιν τὸν, Τοι, σύνδεσμον εἰς τὸ, Τι. — Στ. 24, Ὅποι.] Ἐκ τῶν ΚΑ· ἐν αἷς φέρεται καὶ ἑτέρα γραφὴ, Ὅπη, ἣν ἔχουσι καὶ αἱ ΑΑ. — Στ. 25, Ὁ δὲ, Ὦ Ναυσίκλεις, ἔφη κ. τ. λ.] Περὶ τοῦ κατὰ τὴν Ἰσιάδα τοῦδε ἀμουσοτάτου ἐπεισοδίου ἔπιθι τὰ γεγραμμένα μοι ἐν τῇ πρὸς Ἀλέξανδρον ἐπισολῇ.

Σελ. 228, σι. 3, Χεμμίτιδι.] Ἐκ τῶν ΚΑ. — Στ. 7, Ὃ ἂν μὴ ἐπιτάττῃ.] Ὁ Λ ἀνέγνω, ἢ ἀναγνωσέον ὑπέλαβεν, Ὃ ἄν μοι ἐπιτάττῃ, ἑρμηνεύσας, *Quod mihi imperarit*, ὃ καὶ ἄμεινον. τὸ δὲ, Ἀλλά μοι ζημία καὶ μόχθος, τῷ Διὰ μέσου λεγομένῳ χωρίσας τῶν ἄλλων, ἀντὶ τοῦ, Καίπερ, οὐκ ὀρθῶς ἐξεδέξατο τὸ, Ἀλλά. — Στ. 8, Ἰσιάς. ἐκείνῃ καὶ νυνὶ θέω.] Τῇ στίξει, τῇ τροπῇ τῆς ὀνομαστικῆς εἰς τὴν δοτικὴν, καὶ τῇ ἐξαιρέσει τοῦ, Δὲ, Συνδέσμου, παρεμυθησάμεθα τὸ χωρίον. — Στ. 9, Φοινικόπτερον.] Ὄρνις ποιὸς, οὕτω καλούμενος, ἐπιχωριάζων μάλιστα τῇ Λιβύῃ, ὃν οἱ μὲν Ἰταλοὶ *Fenicottero* καλοῦσιν, οἱ δὲ Γάλλοι *Flammant*, ὅ ἐστι, Φλογίαν, ὡς ἂν εἴποι τις ἐξελληνίσας, διὰ τὸ φοινικοῦν καὶ φλογοειδὲς τῶν πτερῶν. μέμνηται δὲ καὶ Ἀριστοφάνης (Ὄρν. 272) τοῦ ὀρνέου,

> . . . . . . . . . . . . . . . Βαβαὶ, καλός γε καὶ φοινικιοῦς.
> Εἰκότως· καὶ γὰρ ὄνομ' αὐτῷ γ' ἐσὶ Φοινικόπτερος.

Στ. 10, Ὡς εὐγνώμονι . . . ἐρωμένῃ συμπέπλεξαι.] Εἰρωνικῶς· καὶ ἔοικε παραινίττεσθαι τὸ τοῦ Εὐριπίδου (Βάκχ. 799),

> Ἀπόρῳ γε τῷδε συμπεπλέγμεθα ξένῳ·

ἢ τὸ τοῦ Κωμικοῦ (Πλοῦτ. 853),

> Οὕτω πολυφόρῳ ξυγκέκραμαι δαίμονι.

Στ. 13, Τὸν Φοίνικα τὸν ἐξ Αἰθιόπων, ἢ Ἰνδῶν.] Ὁ Α μετέφρασεν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Καὶ Ἰνδῶν, ἀντὶ τοῦ, Ἢ Ἰνδῶν. ἀμείνων δὲ ἡ διὰ τοῦ διαζευκτικοῦ γραφή. ὁ πρῶτος Γράψας τὰ κατὰ τὸν μυθευόμενον Φοίνικα, τὸν ὄρνιν, Ἡρόδοτός ἐστιν (Β, ογ΄), οὐκ αὐτὸς συνθεὶς ἢ πισεύσας, ἀλλὰ τὰ παρὰ τῶν πεπισευκότων, ἢ καὶ πλασαμένων Αἰγυπτίων, περὶ ἐκείνου λεγόμενα καθιστορῶν. ἔλεγον οὖν ἐξ Ἀραβίας ὁρμώμενον τὸν Φοίνικα ἅπαξ δι' ἐτῶν πεντακοσίων, κομίζειν ἀποθανόντα τὸν πατέρα ἐπ' Αἰγύπτου καὶ θάπτειν ἐν τῷ τοῦ Ἡλίου ἱερῷ. ὁ δὲ

Σουΐδας (λέξ. Φοίνιξ) ἐπὶ Κλαυδίου Καίσαρος φησὶν ἐλθεῖν τοῖς Αἰγυπτίοις τὸν Φοίνικα διὰ τεττάρων καὶ πεντήκοντα καὶ ἑξακοσίων ἐτῶν. προσιστορεῖ δὲ τούτοις καί τινα τῶν Ἀρτεμιδώρῳ περὶ τοῦ Φοίνικος λελεγμένων. λέγει δὲ κἀκεῖνος (Ὀνειροκριτ. Δ, μθ´) ἑτέρων πυθόμενος, ὅτι « Ὁ Φοίνιξ οὐ » τὸν πατέρα καταθάπτει, οὐδὲ ὅλως ἐστὶ περιὼν αὐτῷ πα- » τὴρ, οὐδὲ ἄλλος τις τῶν προγόνων. ἀλλ᾽, ὅταν αὐτὸν τὸ » μοιρίδιον ἄγῃ, ἄγεται εἰς Αἴγυπτον, ὅθεν οὐκ ἴσασιν ἄν- » θρωποι, καὶ αὐτὸς ἑαυτοῦ (γρ. ἑαυτῷ) ποιησάμενος ἐκ κα- » σίας τε καὶ σμύρνης πυρὰν ἀποθνήσκει. καυθείσης δὲ τῆς » πυρᾶς, μετὰ χρόνον ἐκ τῆς σποδοῦ σκώληκα γεννᾶσθαι λέ- » γουσιν, ὅντινα μεταβάλλειν αὐξανόμενον, καὶ γίνεσθαι » πάλιν Φοίνικα, καὶ ἀφίστασθαι Αἰγύπτου ἐκεῖσε, ὅθεν » ἧκεν ὁ πρὸ αὐτοῦ Φοίνιξ ». καὶ ταῦτα μὲν ὁ Ἀρτεμίδωρος. παραγγέλλομεν δὲ τοῖς νέοις τῶν Μουσῶν μύσταις τὴν Ἡροδότειον ἔκθεσιν τοῦ Φοίνικος ἀναγνόντας, ἐπαναγνῶναι μηδὲν ἐπισχόντας τὰ ψυχρῶς Ἀχιλλεῖ τῷ Τατίῳ (Γ, κε´) ῥητορευθέντα περὶ τοῦ αὐτοῦ ὄρνιθος, ὡς ἂν ἐκ τῆς παραθέσεως κατανοεῖν ἔχοιεν ὅσον αὐτοφυὲς κάλλος διενήνοχε τοῦ κεκομμωμένου· οὐδὲν γὰρ οὕτω θήγειν τὸ κριτικὸν τῆς ψυχῆς πέφυκεν, ὡς τὰ ὄντα καλὰ τοῖς δοκοῦσι παραβαλλόμενα. τῷ περὶ Φοίνικος μύθῳ πολλοὶ καὶ τῶν θείων πατέρων, τῇ κοινῇ δόξῃ κρατηθέντες ἐπίστευσαν. ἀλλ᾽ οὐχ ὁ κριτικώτατος Φώτιος (Κωδ. ρκϛ´)· ὃς καὶ Κλήμεντα τὸν Ῥώμης ἐπίσκοπον αἰτιᾶται, ὅτι, ἐν τῇ φερομένῃ αὐτοῦ πρὸς Κορινθίους ἐπιστολῇ, ὡς παναληθεστάτῳ τῷ κατὰ τὸν Φοίνικα τὸ ὄρνεον ὑποδείγματι κέχρηται. — Στ. 15, Ταῦτα μὲν ἐκείνη, ἔφη, χλεύην . . . πεποίηται.] Ἡμάρτηται ἡ γραφὴ τοῦ χωρίου· ἡ δὲ ἐπανόρθωσις οὐ πάνυ τι ῥαδία. ἴσως ἐγέγραπτο τὴν ἀρχὴν, Ταῦτα μὲν ἐκείνη, ἔφη· ΣΥ ΔΕ χλεύην ἐμὲ συνήθως καὶ τὰ ἐμὰ ΠΕΠΟΙΗΣΑΙ, παραπλησίως τοῖς ἀνωτέρω εἰρημένοις (σελ. 97), « Ἐγὼ μὲν οὐκ ἀνίκανος, ἔφην, δῶρόν γε λαμβάνειν· » σὺ δ᾽ οὐκ οἶδ᾽ ὅ, τι βουλόμενος παίζεις ἡμᾶς ». οἱ δὲ Ἀντιγραφεῖς, παραλιπόντες τὸ, Σὺ δὲ, καὶ μετενεγκόντες ἀπὸ τοῦ δευτέρου εἰς τὸ τρίτον πρόσωπον τὸν παρακείμενον, ἀσυνάρτητον τὸν λόγον ἀπειργάσαντο. ἐνδέχεται δὲ καὶ οὕτω γε-

γράφθαι, Ταῦτα μὲν ἐκείνη, ἔφη, χλεύην ἐμὲ συνήθως καὶ τὰ ἐμὰ πεποιημένη. — Στ. 20, Βῆσσαν.] Τὴν Ἀντινόειαν ἢ Ἀντινοούπολιν ἔοικε λέγειν, πόλιν Αἰγύπτου ὑπὸ Ἀδριανοῦ τοῦ Αὐτοκράτορος κτισθεῖσαν, ἢ μᾶλλον ἀνακαινισθεῖσαν, εἰς τιμὴν Ἀντινόου τοῦ αὐτοῦ ἐρωμένου. ἐκλήθη δὲ καὶ Ἀδριανούπολις, ὥς φησιν ὁ τὰ Ἐθνικὰ γράψας Στέφανος· ἐκαλεῖτο δὲ τὸ πρότερον Βήσα, ἢ Βῆσα· ὅθεν καὶ Βησαντινόειαν τινὲς ἐκάλεσαν μίξαντες ἄμφω τὰ ὀνόματα. καὶ αὕτη μὲν ἡ διὰ τοῦ ἑνὸς σ̄ γραφὴ τοῦ Ἀμμιανοῦ ἐστιν· οὕτω γὰρ αὐτὴν ὀνομάζει Λατινιστὶ *Besa*. ὁ δὲ Ἡλιόδωρος, ἢ γοῦν οἱ τὰ Ἡλιοδώρου ἀντιγράψαντες, τὴν διὰ τοῦ διπλοῦ σ̄ γραφὴν προείλοντο προσοικειοῦντές πως τοὔνομα τῇ Βήσσῃ, πόλει τῶν Λοκρῶν, ἧς ὁ ποιητὴς μνημονεύει ἐν τῷ Καταλόγῳ (39),

Βῆσσάν τε, Σκάρφην τε, καὶ Αὐγειὰς ἐρατεινάς.

καὶ ταύτην δὲ τινὲς μὲν δι' ἑνὸς σ̄ (ὡς καὶ τὸ Βῆσα, ὄνομα δήμου τῆς Ἀντιοχίδος φυλῆς, ἧ φησιν Ἁρποκρατίων), Ἡρωδιανὸς δὲ ἄμεινον διὰ δύο ἔγραφεν· ὠνομάσθη γὰρ ἀπὸ τῆς τοῦ τόπου φύσεως, οὔσης ναπώδους. Βῆσσα γὰρ, κατὰ τὸν Ἐτυμολόγον (σελ. 196), λέγεται, « Ὁ βασιμώτατος καὶ » ὑψηλὸς (γρ. ὑδρηλὸς) καὶ κοῖλος τόπος ». παρὰ δὲ τὴν κοιλότητα, καὶ τὴν διὰ ταύτην σύῤῥοιαν τῶν ὑδάτων ἔοικε καὶ τὸ παρὰ Ἀλεξανδρεῦσι ποτήριον, πλατύτερον ἐκ τῶν κάτω μερῶν, ἐστενωμένον ἄνωθεν, οὗ μέμνηται Ἀθήναιος (σημ. Κασωβ. σελ. 495), Βῆσσα κεκλῆσθαι, οὗ καὶ τὸ ὑποκοριστικὸν Βησίον (γρ. Βησσίον), ποτήριον, ἐξηγεῖται ὁ Ἡσύχιος. — Στ. 25, Ἀναχθείη.] Ἐκ τῶν ΚΑ. οὕτω δὲ ἐξέφρασε καὶ ὁ Λ. τὸ δ' ἐχόμενον, Βησσαεῖς, οὐκ ὀρθῶς διὰ δύο σ̄ γράφεται. Βησαεὺς γὰρ λέγεται ὁ ἐκ τῆς κατὰ τὴν Αἴγυπτον Βήσης, ὃς λέγοιτ' ἂν καὶ Βησαντινοεὺς, καίπερ Ἑλλάδιός τις Αἰγύπτιος Βησαντίνοος καλούμενος εὕρηται παρὰ τῷ Φωτίῳ (Κώδ. σοθ')· ὁ δὲ ἐκ Βήσσης τῆς Λοκρικῆς πόλεως, Βησσαῖος· ἀπὸ δὲ Βήσης, τοῦ ἐν Ἀττικῇ δήμου, ὁ δημότης, Βησαιεὺς ἐκαλεῖτο.

Σελ. 229, στ. 4, Ἤ που μὲ νῦν πολλοῖς τοῖς ὀφθαλμοῖς περισκοπεῖ.] Παρείληφα τὸ, Ἤ που, ἐκ τῶν ΚΑ· ταύτην δὲ τὴν γραφὴν ἐξέφρασαν ὅ, τε Α καὶ Λ. τὸ δὲ, Πολλοῖς τοῖς ὀφ-

θαλμοῖς, πρὸς τὸ ποιητικώτερον ἐῤῥύθμισται, κατὰ τὸ « Πολλὰς τανύσασθαι χεῖρας » τοῦ Καλλιμάχου (Ἀρτεμ. 27). ἀντὶ τοῦ Πολλοῖς ὁ Λ ἀναγνωστέον εἶναι ὑπείληφε, Πικροῖς, *acribus oculis*. ὁ δὲ Α παρέφρασεν εἰπὼν, *Regarde de tous costez*, ὅπερ ἁρμόσειεν ἂν μᾶλλον τῷ μετ᾽ ὀλίγα (σελ. 230) ῥηθησομένῳ, « Ἐκ πάντων κλιμάτων περισκοποῦσαν », καὶ τῷ (σελ. 261), « Παντοίως αὐτὸν περισκοπούσῃ ». ἴσως ἐγέγραπτο, « Ὅλοις τοῖς ὀφθαλμοῖς, εἴπερ εἰκάζειν ἔξεστιν ἐκ τοῦ πολλάκις μιμησαμένου τὸν Ἡλιόδωρον Ἀχιλλέως τοῦ Τατίου, ὅς εἴρηκέ που (Γ, η΄), « Καὶ θέλει μὲν αὐτὸν ὅλοις » τοῖς ὀφθαλμοῖς ἰδεῖν, ἕλκει δὲ τὸ ἥμισυ τοῦ βλέμματος ὁ » πόνος »· καὶ αὖθις (Α, ε΄), « Ὅλοις ἔβλεπον τὴν κόρην τοῖς » προσώποις » εἶπε. — Στ. 7, Ἀκκισμούς.] Κακῶς αἱ ΔΑ145, Αἰκισμούς. πάνυ δὲ ψυχρὸν καὶ αὐτὸ τὸ Ἀκκισμοὺς ἀναπλάσαι· αὐτὸς γὰρ καθ᾽ ἑαυτὸν ὁ Ἀκκισμὸς, πεπλασμένη ἄρνησις καὶ παραίτησίς ἐστι, ὡς φθάντες ἐξηγησάμεθα (σελ. 64). καὶ Φιλήμων δὲ ὁ Κωμικὸς (παρ᾽ Ἀθην. ΙΓ, 569), φήσας, ὅτι παρὰ ταῖς πόρναις,

. . . . . . . . . . . . . . . . Οὐκ ἔστ᾽ οὐδὲ εἷς<br>
Ἀκκισμὸς, οὐδὲ λῆρος . . . . . . . . . .

ἀποχρώντως ἐδήλωσε τὴν σημασίαν τῆς λέξεως. — Στ. 12, Ὡς οὐ δέοι διὰ τὴν ἐπ᾽ ὀλίγον . . . ἀπεγνωκέναι τῶν ἐν χερσίν.] Καθηλκωμένον τὸ χωρίον ὑπὸ τῶν ἀντιγραψάντων ἐθεράπευσα τῇ προσθήκῃ τῆς, Διὰ, προθέσεως, καὶ τῇ ἀφαιρέσει τοῦ διαζευκτικοῦ συνδέσμου. οὕτω δ᾽ ἀνεγνωκέναι καὶ ὁ Λ ἔοικε. — Στ. 13, Πρὸς καιρόν.] Ἐν ταῖς ΔΑ570, Πρόσκαιρον, διὰ μιᾶς λέξεως. — Στ. 16, Τῶν δὲ πρακτέων ἐν ἐπισκέψει γενομένους.] Βάρβαρον ὂν τὸ Ἐν ἐπισκέψει ἐχομένους, ἔτρεψα εἰς τὸ, Ἐν ἐπισκέψει γενομένους. τοῦτο δὲ παρωμοίωταί πως τῷ πρόσθεν εἰρημένῳ (σελ. 179), « Τῶν πρακτέων » εἰς ἔννοιαν ἐλθόντες ». — Στ. 20, Ἀγαθήν.] Ἴσως παραλέλειπται τὸ ἄρθρον, Τὴν, ἀβλεψίᾳ τῶν ἀντιγραψάντων. — Στ. 22, Τὸ δή τινι ] Ἐν ταῖς ΚΑ, Οἵῳ δή τινι.

Σελ. 230, στ. 3, Ἅμα τι . . . συναναφαινομένης.] Ἔτρεψα τὸ, Ἅμα τε, εἰς τὸ, Ἅμα τι· τὸ δὲ, Συναναφαινομένης παρείληφα ἐκ τῶν ΚΑ. ταὐτὸ δὲ τοῦτο ἔνεστι καὶ ἐν ταῖς ΔΑ, ἐν

αἷς καὶ ἀντὶ τοῦ, Ἀγγελθεῖσι, γράφεται, Ἐπαγγελθεῖσι, ἐξ ἀμείνονος δηλονότι γραφῆς τῆς, Ἀπαγγελθεῖσι. — Στ. 11, Λίγειόν τι ἀνακωκύσασα, Ἀλλ' ἦ μόνοι μοι, πάτερ, κ. τ. λ.] Ἐδιφθογγογράφησα τὸ, Λίγιον. ἔστι δὲ ἡ φράσις ἐκ τοῦ Ὁμηρικοῦ (Ὀδυσσ. Δ, 259) Λίγα κωκύειν, ὅ ἐστι, λιγείᾳ, ἤγουν ὀξείᾳ τῇ φωνῇ θρηνεῖν. ἀντὶ τοῦ, Ἀνακωκύσασα, ἡ Β ἔχει Ἀνακωκύουσα. ἀντὶ δὲ τοῦ, Ἀλλ' ἦ μόνοι μοι, ἔγραψα, Ἀλλ' ἦ μόνοι μοι, περισπάσας τὸ κακῶς ὀξυτονηθὲν, Ἤ. ἔοικε δὲ ὁ Α, ἀναγνωστέον εἶναι ὑπολαβεῖν, Ἀλλὰ μόνοι, οἴμοι, ἢ Ἀλλ' οἴμοι, μόνοι, *Helas! dit-elle, mon pere, vous revenez tous seulz.* — Στ. 16, Ἀπαγγελίας.] Οὕτω διώρθωκα τὸ ἡμαρτημένον ἐπαγγελίας. — Στ. 21, Ἐπίφορός πως ἀεὶ τυγχάνεις τὰ χείρονα μαντεύεσθαι.] Εἰκὸς τὴν ἀρχὴν γεγράφθαι...Εἰς τὸ τα χείρονα μαντεύεσθαι· τοῦτο γὰρ ἀπαιτεῖ ἡ σύνταξις τοῦ Ἐπίφορος, καθὰ καὶ τῶν συνωνύμων, Εὐκατάφορος, Ἐπιῤῥεπὴς κ. τ. λ. παρῴδηται δὲ τὸ χωρίον ἐκ τοῦ Ὁμηρικοῦ (Ἰλιάδ. Α, 107),

Αἰεί τοι τὰ κάκ' ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι.

Σελ. 231, στ. 5, Καταπιστεύουσιν ὑπὲρ τῶν παιδικῶν.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ· ὡς καὶ ἐν τοῖς ἑξῆς (σελ. 236) συνθέτως ἐρεῖ, Καταπιστεύοντες. τὸ δὲ Παιδικῶν ταὐτὸ βούλεσθαι τῷ Ἐρωμένων, εἴθ' εἷς, εἴτε πλείους εἶεν, οὐδεὶς ἀγνοεῖ· ὁ δὲ Πλάτων καὶ τὴν σύνταξιν κεκαινοτόμηκε τοῦ, Παιδικὰ, ἀρσενικοῖς ἑνικοῖς ἐπιθέτοις συνάψας, πρὸς τὸ σημαινόμενον· οἷον ἐν Ἀλκιβιάδῃ δευτέρῳ (σελ. 141), « Ἀρχέλαον τὸν Μα» κεδόνων τύραννον, ΤᾺ ΠΑΙΔΙΚᾺ, ἐρασθέντα τῆς τυραν» νίδος ... ἀπέκτεινε τὸν ἐραστὴν, ὡς ΤΎΡΑΝΝΟΣ τε » καὶ ΕΥ̓ΔΑΙΜΩΝ ἈΝΗΡ ἘΣΟΜΕΝΟΣ. ΚΑΤΑ» ΣΧῺΝ δὲ τρεῖς ἢ τέτταρας ἡμέρας τὴν τυραννίδα, πά» λιν ΑΥ̓ΤῸΣ ἘΠΙΒΟΥΛΕΥΘΕῚΣ ὑφ' ἑτέρων τινῶν » ἐτελεύτησεν ». οὐ μόνον γὰρ τὸ, Ἐρασθέντα, ἀλλὰ καὶ πάντα τὰ καθ' ὀνομαστικὴν ἀρσενικὴν ἐξενεχθέντα, ἀναφέρεται εἰς τὸ, Τὰ παιδικὰ, ὥσπερ ἂν εἰ ἐγεγράφει, « Ἀρχέλαον » τὸν Μακεδόνων τύραννον ὁ ἐρώμενος, ἐρασθεὶς τῆς τυραν» νίδος ... ἀπέκτεινε τὸν ἐραστὴν, ὡς τύραννος κ. τ. λ. », ὃ μὴ συνεὶς ὁ Μεταφραστὴς, κακῶς ἡρμήνευσεν εἰς τὴν Λατι-

νίδα φωνήν. — Στ. 7, Αἴτιον δὲ, πεπείκασιν ἑαυτούς.] Ἐν τῇ Β, Αἴτιον δὲ καὶ πεπείκασιν ἑαυτοὺς, μετὰ τοῦ, Καὶ, συνδέσμου. εἰκὸς δὲ ἀμφοτέρας ἡμαρτῆσθαι τὰς γραφὰς, δέον γράφειν, Αἴτιον δὲ, πεπείκασι γὰρ ἑαυτοὺς, ἢ γοῦν, Αἴτιον δὲ, καὶ γὰρ πεπείκασιν ἑαυτούς. ἕπεσθαι γὰρ ὡς ἐπὶ τὸ πολὺ φιλεῖ ὁ, Γὰρ, σύνδεσμος ταῖς τοιαύταις τῶν λέξεων, Αἴτιον, Σημεῖον, Τεκμήριον κ. τ. λ. — Στ. 19, Ἀνῆκεν.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 23, Ὦ ξένοι (καὶ θεοὶ μάρτυρες τῶν λεχθησομένων), ἡδὺ μὲν κ. τ. λ.] Παρείληφα τὸν, Καὶ, ἐκ τῶν ΑΑ, ἀναγκαίως τῆς χρήσεως αὐτὸν ἀπαιτούσης ἐν τοῖς τοιούτοις. — Στ. 24, Καὶ παρ' ἐμοὶ.] Ἐξαλειπτέος ἐνταῦθα ὁ Καὶ, ὃν παρέλιπον καὶ οἱ μεταφρασταὶ ἀμφότεροι.

Σελ. 232, στ. 3, Βάρος οὐδ' ὁτιοῦν.] Σημείωσαι τὸ Βάρος τροπικῶς ἀντὶ τῆς ἐνοχλήσεως, ᾧ πολλῷ χρῆται καὶ ἡ συνήθεια, οἷον, Σὲ δίδω βάρος, ἢ Σὲ βαρύνω. ταύτης δὲ τῆς μεταφορᾶς ἔνεστι καὶ ἐκ τοῦ Ξενοφῶντος καὶ ἄλλων ἀρχαίων προενεγκεῖν μαρτύρια. — Στ. 15, Ὑμέτερον.] Τὸ τῆς Β, Ἡμέτερον, εἴτε τῶν γραψάντων (καὶ γὰρ ἀδιόρθωτον καταλείπουσιν αὐτὸ αἱ ΑΑ), εἴτε τῶν τυπογραφησάντων ἀβλεψίᾳ ἡμαρτημένον, παρέλαβον οἱ μετ' αὐτὴν, πλὴν τοῦ Μ. — Στ. 18, Σοὶ μὲν ἐπ' αἰσίοις . . . καὶ Ἑρμῆς μὲν κερδῷος, κ. τ. λ.] Παρῳδεῖ τὸ τοῦ Εὐριπίδου (Ῥήσ. 216),

Ἀλλ' εὖ σ' ὁ Μαίας παῖς ἐκεῖσε καὶ πάλιν
Πέμψειεν Ἑρμῆς, ὅς γε φηλητῶν ἄναξ.

Κερδῷος δὲ ὁ Ἑρμῆς, καὶ Ἐμπολαῖος ἐλέγετο διὰ τὸ προεστάναι τῶν ἐμπόρων. ταὐτὸ δὲ τοῦτο σημαίνει καὶ ἡ Λατινικὴ τοῦ θεοῦ προσηγορία *Mercurius*, παρὰ τὸ *Mercor*, τὸ ἀγοράζω, ἢ ὠνοῦμαι, ὅθεν *Mercator*, τουτέστιν ὁ ἔμπορος, ὃν οἱ Ἰταλοὶ *Mercante* καλοῦσι. ἐπωνομάζετο δὲ παρὰ ταῦτα Δόλιος, εὐστόχως πάνυ τῆς μυθολογίας αἰνιξαμένης τὸ τοὺς ἀπ' ἐμπορίας τὸν βίον ποριζομένους ἁπάντων ῥᾷστα, εἰ μὴ προσέχοιεν ἑαυτοῖς, εἰς τὰ ἄδικα κέρδη ὑποφέρεσθαι, καὶ φηλήτας ἐκ χρηστῶν ἐμπόρων τε καὶ πολιτῶν ἀποβαίνειν· τοῦτο γὰρ βούλεται τὸ παρ' Εὐριπίδῃ, Φηλητῶν ἄναξ· Φηλήτης γὰρ, ὁ κλέπτης, καὶ Φηλὸς, ὁ ἀπατηλὸς καὶ κακοῦργος, ἐξ οὗ τὸ τῶν Γάλλων *Filou*, καὶ Φηλοῦν, τὸ ἀπαλᾶν, ὅπερ οἱ Γάλλοι *Filouter*

λέγουσιν. εἶχε δὲ ὁ Ἑρμῆς καὶ ἑτέρας ἐπωνυμίας πολλὰς, οἷον, Στροφαῖος, Ἡγεμόνιος, Ἐναγώνιος, κ.τ.λ. ἃς ἀποσκώπτων Ἀριστοφάνης (Πλούτ. 1164) φησὶν,

Ὡς ἀγαθόν ἐστ' ἐπωνυμίας πολλὰς ἔχειν·
Οὗτος γὰρ ἐξεύρηκεν αὐτῷ βιότιον.

Ἑρμῆς δὲ ἐκλήθη παρὰ τὸ Εἴρω, τὸ λέγω, ὅθεν καὶ ἡ Ἑρμηνεία· καὶ γὰρ καὶ τῶν λόγων προστάτης ἐπιστεύετο ὁ θεός. ὅτι δὲ καὶ οἱ τοῖς λόγοις προσέχοντες οὐχ ἅπαντες ἀπὸ τοῦ βελτίστου τοῦτο ποιοῦσιν, ἀλλ' εἰσὶ καὶ παρ' αὐτοῖς λογοκάπηλοι καὶ λογοφηλῆται, τί χρὴ καὶ λέγειν; — Στ. 20, Ἀσφάλειος.] Ἀσφάλειος, ἢ Ἀσφάλιος, καὶ Ἀσφαλίων ἐπωνομάζετο ὁ Ποσειδῶν· καὶ οὐ θαυμαστὸν φησὶ Μακρόβιος (Κρονικ. Α, νζ'.), εἰ ὁ Ἐνοσίχθων ἐπικληθεὶς, διὰ τὸ σείειν τὴν γῆν, καὶ τὸ τοῦ Ἀσφαλίωνος ἐπώνυμον προσέλαβεν, ὅπερ ἐκ τοῦ ἐναντίου τὸν ἑδράζοντα καὶ ἐν ἀσφαλεῖ τιθέντα σημαίνει· καὶ γὰρ καὶ ὁ Ἀπόλλων οὐ μόνον Λοίμιος, ὡς δοτὴρ τοῦ λοιμοῦ, ἀλλὰ καὶ Ἀλεξίκακος καὶ Οὔλιος, ὡς ἀποτρέπων τὰς νόσους καὶ ἰώμενος, ἐπωνομάσθη. καὶ τῷ Ἑρμῇ δὲ ὁ ποιητὴς ἐναντίας ὑπουργίας προστίθησιν ἐν τῷ λέγειν (Οδυσσ. Ω, 2),

. . . . . . . . . . . . . Ἔχε δὲ ῥάβδον μετὰ χερσὶν
Καλὴν, χρυσείην, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει
Ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.

Στ. 24, Παρόντας περιέποντι, καὶ ἀπιέναι βουλομένους πέμποντι.] Παρῴδηται ἐξ Ὁμήρου (Οδυσσ. Ο, 74),

Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.

καὶ σημείωσαι, ὅτι τὸ, Φιλεῖν, ἐνταῦθά τε φήσας Εὐστάθιος, καὶ ἐν τῷ (Ὀδυσσ Α, 123),

Χαῖρε ξεῖνε· παρ' ἄμμι φιλήσεαι . . . . . . . . . . ,

ἐπὶ ξενοδοχικῆς φιλοφροσύνης τεθεῖσθαι, ἔοικεν ἀγνοῆσαι, ἢ γοῦν ἐπιλελῆσθαι, ὅτι καὶ ἡ συνήθεια μέχρι καὶ δεῦρο ἐπὶ τῆς αὐτῆς ταύτης σημασίας κέχρηται τῷ Φιλεύω, ὅπερ οἱ Γάλλοι, *Régaler*, φασί.

Σελ. 233, στ. 2, Οἰκίας.] Ἅπαντες οἱ πρὸ ἐμοῦ, Οἰκείας· ὅπερ ἔτρεψα εἰς τὸ, Οἰκίας. — Στ. 6, Τίς ποτε ἡ γνώμη] Οὕτως αἱ ΑΑ· οἱ δὲ ἄλλοι πάντες, Τί ποτε, οὐδετέρως. καὶ εἰκὸς τοὺς πλείστους τῶν Ἀντιγραφέων οὕτω γρά-

ψαι παραχθέντας ὑπὸ τῆς ἀμελεστέρας συνηθείας, καθ᾽ ἣν τὸ Τί, οὐ μόνον οὐδετέροις, ἀλλὰ καὶ θηλυκοῖς τε καὶ ἀρσενικοῖς ὀνόμασι καθ᾽ ἑνικὸν καὶ πληθυντικὸν ἀριθμὸν συντέτακται· οἷον Τί γυναῖκα, καὶ, Τί γυναῖκες, Τί ἄνθρωπος, καὶ, Τί ἄνθρωποι εἶναι, ἀντὶ τοῦ, Τίς γυνὴ, καὶ Τίνες γυναῖκες Τίς ἄνθρωπος, καὶ Τίνες ἄνθρωποι. — Στ. 11, Ἔλυξέ τε ... δάκρυον.] Ἐν ταῖς ΚΑ, Ὠλόλυξέ τε ... δάκρυ· ἐν δὲ ταῖς ΔΑ208, Ἔληξέ τε... δάκρυον. ἔστι δὲ τὸ Λύζω, ὃ καὶ Λυγκάω, καὶ Λυγκάζω, καὶ Λυγγάνω, καὶ Λυγγαίνω ἐλέγετο, αὐτὸ τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον, Λυγγιάζω. τὸ δὲ πάθος τοῖς μὲν Ἀρχαίοις, Λὺγξ καὶ Λυγμὸς, ἐκαλεῖτο· τοῖς δὲ νῦν, Λύξιγκας, ἢ Λούξιγκας, καὶ Λυγκιὸν, καὶ Λουκλουκιὸν λέγεται. καὶ τὸ μὲν, Λυγκίον, δηλονότι οὐδὲν ἄλλ᾽ ἢ ὁ ὑποκοριστικὸς τύπος ἐστὶ τοῦ Λύγξ· τὸ δὲ, Λουκλουκιὸν, παρέφθαρται ἀπὸ τοῦ, Λυκλικὸν (προσυπακουομένου τοῦ Πάθος), καθὰ καὶ ἀπὸ τοῦ, Ἐκτικὸν, ἐγεννήθη τὸ, Κτικιόν. κεχυδαΐσται δὲ κομιδῇ ὁ Λύξιγκας καὶ ὁ Λούξιγκας. — Στ. 12, Προχυθέν.] Ἐν ταῖς ΔΑ 208, Περιχυθέν. — Στ. 14, Ὦ πάσης, ἔφη, τροπῆς κ.τ.λ.] Οὕτως ἡ Β, Ὦ, κατὰ κλητικήν. ἡ δὲ γνώμη, ἣν καὶ ἀλλαχοῦ (σελ. 151 καὶ 179) ἐγνωμολόγησεν, ἐξ Εὐριπίδου (Ὀρέστ. 77-81),

> .......... Λεύσσεθ᾽ ὡς παρ᾽ ἐλπίδας
> Μοῖρα βαίνει.
> Ἕτερα δ᾽ ἕτερος ἀμείβεται
> Πήματ᾽ ἐν χρόνῳ μακρῷ·
> Βροτῶν δ᾽ ὁ πᾶς ἀστάθμητος αἰών.

καὶ αὖθις (Ἱππολ. 1108),

> Ἄλλα γὰρ ἄλλοθ᾽ ἀμείβεται·
> Μετὰ δ᾽ ἵσταται ἀνδράσιν αἰὼν
> Πολυπλάνητος αἰεί.

πολλὴ δὲ παρὰ τοῖς Τραγικοῖς ἅπασιν ἡ τὸ εὐμετάβολον παριστάνουσα τοῦ ἀνθρωπίνου βίου γνώμη, εἰκότως· καὶ γὰρ καὶ ἡ τραγῳδία ἐκ τῆς παρὰ δόξαν μεταπτώσεως τῶν ἀνθρωπίνων εἴληχε τὰς ἀρχάς. — Στ. 17, Γένους με.] Ἔτρεψα τὸν εἰς μηδὲν χρήσιμον ἐνταῦθα, Μὲν, εἰς τὴν ἀναγκαίαν ἀντωνυμίαν. — Στ. 18, Πατρίδος τε καὶ πόλεως τῶν φιλτάτων.] Ἐπιθετικῶς τὸ, Φιλτάτων, πρὸς τὸ Πατρίδος, καὶ

τὸ Πόλεως· ὅθεν ἐξήλειψα τὸ, Τῆς. ὁ δὲ Α μετέφρασεν, ὡσπερανεὶ ἐγέγραπλο, Πατρίδος τε καὶ πόλεως καὶ τῶν φιλτάτων, *De mon païs, de ma ville et de mes plus chers amys.* Στ. 20, Πολλὰ τὰ μεταξὺ σιωπῶντα.] Τραγικὴ ἡ ἀποσιώπησις, παρῳδηθεῖσα ἐξ Εὐριπίδου ('Ορέστ. 16),

'Ατρέως δὲ (τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας)
'Ο κλεινὸς, εἰ δὴ κλεινὸς, 'Αγαμέμνων ἔφη.

Σελ. 234, σί. 2, Τράπωμαι.] 'Εκ τῶν ΚΑ. — Στ. 8, "Αδηλον δὲ ποῖ ποτε καὶ σλήσεταί μοι τὰ τῆς ἄλης, τί οὐχὶ κ. τ. λ.] 'Εν ταῖς ΑΑ γέγραπται, "Αδηλον καὶ ποί ποτε καὶ στήσεταί μοι κ. τ. λ. μετὰ διπλοῦ τοῦ, Καί. δεῖν οὖν ᾠήθην τρέψαι τὸ πρῶτον εἰς τὸ, Δὲ, ἐξελεῖν δὲ τὸ ἕτερον Δὲ, ἐκ τοῦ ἐχομένου, Τί δὲ οὐχὶ, ὃ διέσλειλα τῶν πρὸ αὐτοῦ, οὐ τελείᾳ, ὡς οἱ πρὸ ἐμοῦ, ἀλλὰ μέσῃ στιγμῇ, ἵνα ἡ ἀπόδοσις τῆς ὅλης περιόδου, ἧς ἡ πρότασις τελευτᾷ εἰς τὸ "Αλης. ὡσαύτως δὲ ἐξεδέξατο τὸ χωρίον καὶ ὁ Α, ἑρμηνεύσας, *Mais si l'yssue en est incertaine, et l'entreprise plus laborieuse, et plus penible, n'estant encore nullement asseuré là où se doyve arrester ce mien exil, et cette vie vagabunde se terminer, ne doy-je, en demandant pardon, etc.* — Στ. 13, Παραπεπτωκότος.] Οὕτως αἱ ΚΑ. ταύτῃ δὲ τῇ γραφῇ συνηγορεῖ καὶ τὸ μετ' ὀλίγα ῥηθησόμενον (σελ. 235), « Τὴν παραπεσοῦσαν πρόφασιν ». — Στ. 24, Παρὼν ἐγχειρίσας.] 'Εκ τῶν ΑΑ. ὑπονοῶ δὲ τὴν γνησίαν γραφὴν ὑπάρξαι πάλαι, Παρόντι παρὼν ἐγχειρίσας· ἔχει γάρ τι τῆς Εὐριπίδου κομψείας ἡ φράσις. οὕτω δ' ἐκεῖνος ('Ανδρομ. 738),

.....Παρὼν δὲ πρὸς παρόντας ἐμφανῶς
Γαμβροὺς διδάξω, καὶ διδάξομαι λόγους.

Σελ. 235, σί. 5, Καταλιπὼν ... παρακαταστήσας.] Προσυπακουσλέον ταῖς μετοχαῖς ταύταις τὸ, Χωρίζομαι, ἐκ τῶν προηγησαμένων, τοῦ σαφοῦς ἕνεκα. — Στ. 10, 'Υπὸ τῶν ἴσων.] Ἔτρεψα τὴν, 'Απὸ, εἰς τὴν, 'Υπὸ, διὰ τὸ ἐχόμενον, Κεκρατημένον, ὃ δὴ καὶ Λουκιανὸς οὕτω συνέταξεν, ἐν ἀρχῇ τοῦ ἐπιγραφομένου, Πατρίδος ἐγκώμιον, λόγου· « Οὐδεὶς ἐξ- » ηπατήθη τῶν καὶ πάνυ κεκρατημένων ὑπὸ τῆς κατὰ θέαν » ἡδονῆς ». — Στ. 12, 'Ασμένῳ γένοιτο.] 'Εκ τῶν ΚΑ καὶ

ΑΑ ἡ γραφή. ἔστι δὲ Θουκυδίδειος ἡ σύνταξις· οὕτω γὰρ ἐκεῖνος (Δ, κη'.), « Ἐνέπεσε μέν τι καὶ γέλωτος . . . ἀσμένοις » δ' ὅμως ἐγίγνετο τοῖς σώφροσι τῶν ἀνθρώπων ». Ὅμηρος δὲ τῷ, Εἰμὶ, ἐχρήσατο ῥήματι (Ἰλιάδ. Ξ, 108),

. . . . . . . . . . . . Ἐμοὶ δέ κεν ἀσμένῳ εἴη.

Στ. 12, Τοῦτο πραγματεύεται.] Τουτέστι τοῦτο σπουδάζει, καὶ περὶ τοῦτο καταγίνεται. ἐκ ταύτης δὲ τῆς ἀρχαίας σημασίας λαβόντες οἱ μεταγενέστεροι τὰς ἀφορμὰς, καὶ ἐπὶ τοῦ Ἐμπορεύεσθαι ἔταξαν τὸ Πραγματεύεσθαι, ὡς καὶ ἐπὶ τοῦ Ἐμπόρου τὸ Πραγματευτής. αὐτίκα Πλούταρχος (περὶ τοῦ μὴ δεῖν δανείζεσθαι § 2), « Τί θεραπεύεις τὸν τραπεζίτην, ἢ πραγ-» ματευτήν »; εἴρηκε, καθὰ καὶ ἐν τῇ συνηθείᾳ λέγομεν. — Στ. 14, Ἐφελκόμενος.] Οὕτω διορθοῦν ἐπεβάλλετο ὁ Μ τὸ χωρίον, Καὶ τὸν Κνήμωνα ἐμπορεύεσθαι ποικίλως ἀφελκόμενος, ἤγουν, ὡς αὐτὸς ὁ Μ ἐξηγεῖται, Τοῦ σὺν τῷ Καλασίριδι καὶ τῇ Χαρικλείᾳ πορέυεσθαι τὸν Κνήμωνα ἀπάγων. ἀλλ' ὅμως ἄμεινον κατὰ χώραν ἐᾶν τὴν γραφήν. — Στ. 24, Μηδαμῶς.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ.

Σελ. 236, στ. 13, Πενίαν.] Ἐν ταῖς ΔΑ607 γράφεται, Πτωχείαν. καὶ ἡ συνήθεια δὲ, Πτωχείαν καλεῖ τὴν Πενίαν· ὅτι μέν τοι διαφέρει ἡ Πτωχεία τῆς Πενίας, καθὰ καὶ ὁ Πτωχὸς τοῦ Πένητος, ἐσημειώσατο καὶ Ἀμμώνιος, ἢ μᾶλλον αὐτὸς ὁ Κωμικὸς, φήσας (Πλούτ. 552),

Πτωχοῦ μὲν γὰρ βίος, ὃν σὺ λέγεις, ζῆν ἐστιν μηδὲν ἔχοντα·
Τοῦ δὲ πένητος, ζῆν φειδόμενον, καὶ τοῖς ἔργοις προσέχοντα·
Περιγίγνεσθαι δ' αὐτῷ μηδὲν, μὴ μέντοι μηδ' ἐπιλείπειν.

ὅλον δὲ τουτὶ τὸ χωρίον, Μήτε πενίαν ὀδύρου, πτωχεύσειν ἔτι προσδοκήσας, λείπει ἐκ τῆς Β. — Στ. 18, Ἐπιδιδούς.] Ἐν τῇ Β, Ἐπιδούς. — Στ. 21, Διαμελλήσας.] Οὕτως ἐν ταῖς ΔΑ 581, διὰ διπλοῦ τοῦ λ, αἷς κατηκολούθησε καὶ ὁ Μ. — Στ. 22, Ἀλλ', ἃ πάλαι . . . . ἔχων οὐκ ἤλπιζε.] Τρέψαντες τὸ, Ἀλλὰ, εἰς τὸ, Ἀλλ' ἃ, καὶ ἐξελόντες τὸ ἐχόμενον, Ἃ, εὐσυνάρτητον καὶ εὐσύνετον κατεστήσαμεν τὸ χωρίον. ταύτην δὲ τὴν διόρθωσιν ἐμφαίνει καὶ ὁ Λ.

Σελ. 237, στ. 7, Καὶ τὸν ὑμέναιον ἀπρόσκλητον κ. τ. λ.] Πῶς, Ἀπρόσκλητον, ἐπεὶ ἐγεκελεύσατο ἤδη Ναυσικλῆς αὐτὸν

ᾄδεσθαι; ἴσως τοίνυν ἐγέγραπτο, Ἀπροσδόκητον· πλὴν εἰ μὴ τοῦτο βούλεται λέγειν, ὅτι οὐκ ἦσαν ἔξωθεν κεκλημένοι, αὐτοσχεδίου τοῦ γάμου γεγονότος, ἀλλ' οἱ κατ' οἶκον μόνοι τὸν ὑμέναιον ἦσαν. σημείωσαι δὲ καὶ τὸ, Ἐκώμαζον, μεταβατικῶς συναφθὲν πρὸς τὸ, Ὑμέναιον, ὃ καὶ Εὐριπίδης ἅπαξ ἐποίησε (Ἡρ. μαινομ. 180),

Τὸν καλλίνικον μετὰ θεῶν ἐκώμασεν.

Στ. 12, Καταπιστεύουσα.] Ἔτρεψα τὸ, Παραπιστεύουσα, εἰς τὸ Καταπιστεύουσα. ἡ μὲν γὰρ διὰ τῆς, Παρὰ, σύνθεσις ἄτοπος ἐνταῦθα· τῷ δὲ, Καταπιστεύω, ἐχρήσατο καὶ ἀλλαχοῦ (σελ. 231 καὶ 236). ὅτι δὲ συνέχεαν οὐχ ἅπαξ οἱ Ἀντιγραφεῖς τὰς δύο ταύτας προθέσεις, δηλώσει καὶ τὰ ἑξῆς (σελ. 367). — Στ. 20, Μόνην μὲν . . . ἀλητεύει.] Ἐκ τῶν ΚΑ ἡ Γραφὴ, πλὴν τοῦ Καὶ, ὃ λείπει ἐν ἐκείναις. ὁ δὲ Μ, κατηκολούθησε τῷ κειμένῳ τοῦ Κ, οὗ τούτῳ μόνῳ διαφέρει ἡ Β ὅτι ἀντὶ τοῦ, Θεαγένης δὲ ἀλητεύει, ἔχει, Θεαγένης τε ἀληθεύει. ἐν δὲ ταῖς ΑΑ, Μ. μ. ἔ. μ. κ. ἀ. τ. δ. μ. ὀνόματος νυμφίου Θεαγένους, οἴμοι, χηρεύει. Κνήμων γαμεῖ, Θεαγένης δὲ ἀληθεύει. ὁ Λ μετέφρασεν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Μόνην με ἔχει καὶ ἀνύμφευτον δαίμων ὁ εἰληχώς με τοῦ μέχρις ὀνόματος νυμφίου, οἴμοι· χορεύει Κνήμων, γαμεῖ· Θεαγένης δὲ ἀλητεύει· ταῦτα δὲ ταῦτα, ὡς εἰπεῖν, ἐξέφρασε καὶ ὁ Α.

Σελ. 238, στ. 1, Τὰ εὐτυχέστερα· σώζοιτο μόνον.] Ἐν ταῖς ΚΑ γράφεται, Τὰ εὐχερέστερα, εἰ σώζοιτο μόνον. — Στ. 11, Ὅπῃ.] Τουτέστι καθ' ὃν τρόπον. οὕτω διώρθωκα. — Στ. 15, Ἐπιφέρω χοὰς κ. τ. λ.] Ἐρεῖ καὶ προϊὼν (σελ. 281) « Ἀποσπένδω τῶν ἐμαυτῆς δακρύων, καὶ ἐπιφέρω χοὰς ἐκ » τῶν ἐμαυτῆς πλοκάμων· καὶ ἅμα ἀπεσπάραττεν ὡς ὅτι πλεί- » στας τῶν ἑαυτῆς τριχῶν ». ἔθος γὰρ ἦν τοῖς Ἕλλησι τὸ τὰς τρίχας τῆς κεφαλῆς τίλλειν, ἢ τέμνειν, ἐπὶ τῷ τύμβῳ τῶν ἀποιχομένων οἰκείων· καθὰ καὶ ἡ Ἑλένη παρ' Εὐριπίδῃ (Ὀρέστ. 113), Ἑρμιόνῃ τῇ θυγατρὶ τὰς τρίχας διδοῦσα τῆς κεφαλῆς, ἵνα εἰς τὸν Κλυταιμνήστρας τάφον ἀποίσῃ, λέγει,

Καὶ λάβε χοὰς τάσδ' ἐν χεροῖν, κόμας τ' ἐμάς.

καὶ Ἠλέκτρα δὲ ταῖς ἰδίαις θριξὶ τὸν τοῦ πατρὸς τάφον αὐτή τε

στέφειν ὁρμᾷ, καὶ τῇ ἀδελφῇ παραγγέλλει (Σοφοκλ. Ἠλέκτρ. 448),

..............................Σὺ δὲ
Τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας,
Κἀμοῦ ταλαίνης, σμικρὰ μὲν τάδ᾽, ἀλλ᾽ ὅμως
Ἄχω, δὸς αὐτῷ τήνδε λιπαρῆ τρίχα.

Στ. 16, Τῇ κλίνῃ ἐπέβαλλε.] Ἔτρεψα τὸ, Ἐπὶ κλίνῃ εἰς τὸ Τῇ κλίνῃ. ἡ μὲν γὰρ πρόθεσις ἔνεστιν ἐν τῷ, Ἐπέβαλλε· τὸ δὲ ἄρθρον ἀναγκαῖον, ἵνα σημάνῃ ἐνταῦθα, Τῇ ἑαυτῆς κλίνῃ. ἀντὶ δὲ τοῦ ἐχομένου, Ἐπιχέω, ἐν ταῖς ΚΑ, Ἀποχέω.—Στ. 21, Παρθένον. ἰδού σε.] Οὕτως αἱ ΚΑ· τὸ δὲ μεταξὺ, Μηδὲ καθ᾽ ὕπνους συγγένῃ, ἔν τε ταῖς λοιπαῖς ἁπάσαις καὶ ἐν ἀμφοτέροις τοῖς μεταφρασταῖς ἐμφερόμενον, εἰ μὴ νόθον, ὡς οἴεται ὁ Μ, ἔστι γοῦν περιττὸν, ψυχρὸν, ἄσεμνον, καὶ Βουκολικῇ μᾶλλον ποιήσει πρέπον, οἷόν ἐστι τὸ (Θεοκρίτ. Κ, ε΄),

Μὴ τύ γέ μευ κύσῃς τὸ καλὸν στόμα, μηδ᾽ ἐν ὀνείροις.

οὐδὲ γὰρ εἰκὸς τὴν Χαρίκλειαν, σωφροσύνης ἀντιποιουμένην, τοιαῦτα ἐκφωνεῖν ῥήματα, ἐν λύπῃ καὶ ταῦτα· χωρίς εἰ μή τις διὰ τὸ προηγησάμενον (σελ. 237), « Βάκχιόν τι οἰστρηθεῖσα », τὰς οἰστρομανεῖς ταύτας φωνὰς πιθανολογεῖν βούλοιτο. ἀλλ᾽ ἔστιν ὅμως φάναι κατ᾽ Εὐριπίδην (Βάκχ. 317), ὅτι καὶ

.................Ἐν βακχεύμασιν
Οὖσ᾽ ἥ γε σώφρων, οὐ διαφθαρήσεται.

Στ. 23, Ὑποτιθεμένη.] Ἡμαρτημένως ἐν τῇ Β γράφεται, Ὑπονομίζουσα τιθεμένη. τὸ γὰρ, Νομίζουσα, ὡς ἑρμηνείαν ἐπιγράψαντός τινος τῷ, Ὑποτιθεμένη, ἐντυχών τις ἕτερος ἀντιγραφεὺς, μέσον ἔγραψε τῆς, Ὑπὸ, προθέσεως, καὶ τῆς μετοχῆς, Τιθεμένη.

Σελ. 239, στ. 2, Λύζουσά τε καὶ βρύχιον κ. τ. λ.] Ἀντὶ τοῦ, Λύζουσα, ἐν ταῖς ΚΑ, Ὀλολύζουσα. ταύτης δὲ τῆς διαφόρου γραφῆς ἐμνήσθημεν καὶ ἐν τοῖς πρόσθεν (σελ. 208), ἐν οἷς καὶ περὶ τοῦ, Λύζω, ᾧ δὴ τὸ Ὀλολύζω, ἐν ἀμφοτέροις τοῖς χωρίοις, οἱονεὶ ἐπεξήγησιν προσγράψαι τις ἠβουλήθη. τὸ δὲ, Βρύχιον, ἐνταῦθα σημαίνει τὸ μετὰ βρυχηθμοῦ· ἔστι δὲ Αἰσχύλου (Πρ. δεσμ. 1090) ἡ λέξις,

Βρυχία δ᾽ ἠχὼ παραμυκᾶται
Βροντῆς..............

Στ. 3, Ἕως αὐτήν.] Οὕτως αἱ ΑΑ, ἄνευ τοῦ Ἂν, ὃς οὐδ' ἐν τῇ Β ἔνεστιν, ἐν ᾗ γράφεται, Ὡς αὐτήν. — Στ. 16, Ἔτι κυμαῖνον.] Ἐν ταῖς ΚΑ, Ἐπικυμαῖνον, διὰ μιᾶς λέξεως. τὰ δὲ ἐχόμενα, Καὶ τὸ πρὸ τῶν ὕπνων ἐμμανὲς ἐπισημαῖνον, λείπει ἐκ τῆς Β, ἃ καὶ ὀρθῶς λείπειν ὁ Μ διατείνεται. — Στ. 25, Οὐκ ἐννοήσεις, ἄνθρωπος οὖσα;] Τῆς αὐτῆς ἐννοίας ἔχεται τὸ τοῦ Κωμικοῦ Φιλήμονος (παρὰ Στοβ. ϞϚ'),

Οὐκ ἂν δύναιο μὴ γενέσθαι, δέσποτα,
Ἄνθρωπος, ὢν ἄνθρωπος. ἄλλως οὖν βοᾷς·
Τὸν ζῶντ' ἀνάγκη πόλλ' ἔχειν ἔστιν κακά.

Σελ. 240, σ7. 6, Ἀκούσατα.] Αἱ ΑΑ, Ἀκούουσα. — Στ. 12, Ἐξάγει.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. — Στ. 15, Εἰ περίεστιν.] Ἐν ταῖς ΑΑ καὶ ΔΑ 585, Εἴπερ ἐστίν. — Στ. 18, Τοῖς τε προθεσπισθεῖσι κ. τ. λ.] Τὸν μὲν, Τε, προσέθηκα ἔκ τε τῆς Β καὶ τῶν ΔΑ 585, (ἐν αἷς γράφεται, Τοῖς τε προθεσπίσμασι)· τὸ δὲ Χρὴ δὲ, τῷ Διαμέσου περιορίσας, μεταβαλών τε τὴν στίξιν, εὐσυνετώτερον κατέστησα τὸ χωρίον. — Στ. 24, Σπευστέον.] Ἐν ταῖς ΚΑ, Ἀπιτέον· καὶ ἴσως ἄμεινον οὕτω γράφειν.

Σελ. 241, σ7. 1, Θεαγένην.] Ἐν ἅπασι, Θεαγένη· καὶ οὕτως ὤφειλεν, ἐπεὶ τὴν γενικὴν ἔχει λήγουσαν εἰς τὸ σ. ἔγραψα μέντοι διὰ τοῦ ν̄, διότι οὕτω γράφεται καὶ ἐν ἄλλοις χωρίοις· ἄλλως τε καὶ ὅτι καὶ παρὰ τοῖς Ἀρχαίοις πολλαὶ τῶν τοιούτων αἰτιατικῶν ἀδιαφόρως τὴν εἰς η ἢ ην̄ κατάληξιν ἐπιδέχονται. — Στ. 12, Ἐντύχοιμεν.] Οὕτως ἡ Β, ᾗ συνᾴδουσιν αἱ ΑΑ. τὸ δὲ, Ἐκτύχοιμεν, τυπογραφικῶς ἡμαρτημένον παρὰ τῷ Κ, παρειλήφασιν οἱ μετ' αὐτόν, μηδὲ τούτῳ προσχόντες τὸν νοῦν, ὅτι οὐδ' ἐν τῷ καταλόγῳ τὴν ἀρχὴν τῶν Ἑλληνικῶν φωνῶν ἐμφέρεται τὸ Ἐκτυγχάνω. — Στ. 14, Τότε μοι.] Ἐν τῇ Β, Ποτέ μοι. — Στ. 16, Μὴ οὕτω μέν ποτε, φησίν.] Λείπει τὸ, Φησὶν, ἐκ τῆς Β. ἐν δὲ ταῖς ΔΑ 562 γράφεται, Μὴ οὕτω μὲν, φησί, ποτε. — Στ. 18, Ὄμμα.] Ἐκ τῶν ΚΑ. — Στ. 19, Καὶ κολάσαι.] Προσέθηκα τὸν σύνδεσμον. — Στ. 22, Περιγραφήν.] Περιαίρεσιν, ἀποτροπήν. — Στ. 24, Διαδύσεις.] Διαφεύξεις. — Στ. 25, Ἀνείθη.] Ἐν ταῖς ΚΑ, Ἀνέθη.

Σελ. 242, σἱ. 6, Διανοηθεῖσιν.] Ἐν τῇ Β, Δεηθεῖσιν· ἐν δὲ ταῖς ΚΑ καὶ ΑΑ, Βουληθεῖσιν. — Στ. 8, Πτωχοῖς.] Ἐν ταῖς ΑΑ, Πτωχούς. — Στ. 11, Ἐπιβουλευσόμεθα πρὸς τῶν ἐντυγχανόντων.] Οὕτως αἱ ΚΑ. ἀντὶ δὲ τοῦ, Ἐπιβουλευσόμεθα, ἐν ταῖς ΔΑ 693, γράφεται Ἐπιβουλευθησόμεθα, ὃ προαιρεῖται ὁ Δορβίλλος. — Στ. 13, Τῆς τε καθ' ἡμέραν ἀναγκαίου τροφῆς.] Αὐτολεξεὶ ἐκ τῶν Θουκυδίδου (Α, β΄), « Τῆς τε καθ' ἡμέραν ἀναγκαίου τροφῆς πανταχοῦ ἂν ἡγού- » μενοι ἐπικρατεῖν, οὐ χαλεπῶς ἀπανίσταντο ». ἐποίησε δὲ τοῦτο μάλιστα Ἡλιόδωρος, ἵνα μιμήσηται κακοζήλως τὸν Ἀττικισμὸν τοῦ, Ἀναγκαίου, ἀντὶ τοῦ, Ἀναγκαίας. εἰρήκαμεν δὲ καὶ ἐν τοῖς πρόσθεν (σελ. 58) περὶ τῶν τοιούτων Ἀττικῶν ἐπιθέτων. — Στ. 15, Σπάνιον.] Τουτέστι, τίμιον, πολλοῦ ἄξιον, ὡς καλῶς ἐξεδέξατο ὁ Λ. οὐ γὰρ τοῦτο βούλεται λέγειν, ὅτι οὐχ εὑρήσουσιν ἐν τῇ ξένῃ γῇ ὤνια, ἀλλὰ μᾶλλον ὅτι τοῖς ξένοις πλείονος τιμῆς πωλεῖται, ὥσπερ ἂν εἰ σπάνια ἐτύγχανεν ὄντα. — Στ. 19, Ἐντυχόντες.] Ἔτρεψα τὸν ἐνεστῶτα εἰς τὸν ἀόριστον, τοῦ Ἑλληνισμοῦ τοῦτο κελεύοντος.

Σελ. 243, σἱ. 2, Ἐκνικηθεῖσα.] Ἐξελθοῦσα καὶ οἷον ἐξωσθεῖσα βίᾳ τῆς νυμφικῆς αἰδοῦς διὰ τὸ πρὸς τὴν Χαρίκλειαν φίλτρον. ἔστι δὲ τό, Ἐκνικηθεῖσα, τὸ παρὰ τοῖς Νομικοῖς τῶν Γάλλων, λεγόμενον *Evincée*, ἐκ τῆς Λατινίδος λέξεως, *Evicta*. — Στ. 4, Ἐνέβαλλον.] Ἐν ταῖς ΔΑ48 γράφεται κακῶς, Ἐπέβαλλον. — Στ. 11, Πλάσμα.] Τουτέστι, σχῆμα, μορφήν· ἐπεὶ καὶ τὸ, Πρόσχημα, συνωνυμεῖ τῷ, Πλάσμα, καὶ τὸ, Σχηματίζομαι, τῷ, Πλάττομαι. ἔοικε δὲ διὰ τοῦτο καὶ ὁ περὶ τῆς Ὁμήρου ποιήσεως συγγεγραφώς, εἴτε Πλούταρχός ἐστιν, εἴτ' ἄλλος τις, Πλάσματα τῶν λόγων, καλέσαι, ἃς οἱ ἄλλοι Ἰδέας, ἢ Χαρακτῆρας, εἰώθασι λέγειν. — Στ. 17, Πήραν τε.] Ἔτρεψα τὸν, Γε, εἰς τὸν, Τε. συντάσσεται δὲ τὸ Πήραν, πρὸς τὸ, Ἐξῆπτο. ἔοικε δ' ἅπας ὁ μετασχηματισμὸς οὗτος ἐκ τοῦ παρ' Ὁμήρῳ (Ὀδυσσ. Ν, 430—438 καὶ Ρ, 197) εἰς πτωχὸν μετασχηματιζομένου Ὀδυσσέως παρῳδῆσθαι,

Ἀμφὶ δέ μιν ῥάκος ἄλλο κακὸν βάλεν, ἠδὲ χιτῶνα,
Ῥωγαλέα, ῥυπόωντα, κακῷ μεμορυγμένα καπνῷ·

καὶ αὖθις,

> Ἦ ῥα, καὶ ἀμφ᾽ ὤμοισιν ἀεικέα βάλλετο πήρην
> Πυκνὰ ῥωγαλέην......................

Σελ. 244, στ. 3, Εἴπῃ.] Ἐκ τῶν ΚΑ. — Στ. 10, Ἅτερος.] Καίπερ ἐνδεχόμενον μὴ τῶν Ἀντιγραφέων, ἀλλ᾽ αὐτοῦ Ἡλιοδώρου εἶναι τὸ ἡμαρτημένον (καθὰ σεσημείωται ἐν τοῖς πρόσθεν, σελ. 119) Θάτερος, διώρθωκα ὅμως αὐτὸ, ἐπεὶ καὶ προϊὼν (σελ. 356) « Ἅτερος ὑπὲρ θατέρου » ὀρθῶς ἐρεῖ. Στ. 16, Νεκρῶν ὁρῶσι νεοσφαγῶν.] Ἐν ταῖς ΑΑ, Νεκρῶν νεοσφαγῶν ὁρῶσι. — Στ. 19, Πολέμου.] Αἱ ΑΑ, Πόλεμον, ὅπερ ἄμεινον. — Στ. 20, Καὶ πρός τίνας.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Ἢ πρὸς τίνας. — Στ. 22, Δειναί.] Οὕτως αἱ ΚΑ, ἐν αἷς προσγράφεται καὶ Ῥᾴδιαι· τοῦτο δὲ ἑρμηνεία ἔοικεν εἶναι τοῦ, Δειναί.

Σελ. 245, στ. 3, Καταστέλλειν τῶν ἄγαν θρήνων.] Οὕτως ἐν ἅπασιν. οἶμαι μέντοι γραπτέον εἶναι ἑνικῶς καὶ κατ᾽ αἰτιατικὴν, Καταστέλλειν τὸν ἄγαν θρῆνον· οὕτω γὰρ καὶ προϊὼν (σελ. 282) λέξει, « Τὰ μὲν συνεξαίροντος ... τὸν θρῆνον, τὰ δὲ, » φειδοῖ τῆς Χαρικλείας, καταστέλλοντος ». — Στ. 18, Δώρων.] Ἐν ταῖς ΚΑ, Δῶρον· οὐδ᾽ οὕτω κακῶς. — Στ. 20, Ἐπελθόντες ἀφείλοντο κ. τ. λ.] Οὕτως αἵ τε ΚΑ καὶ ΑΑ, πλὴν ὅτι ἐν ταῖς ΑΑ σώζεται τὸ μετὰ τὸ, Πλάσαντες, οὐκ ὀρθῶς παρεισδεδυκὸς, Ἔλεγον.

Σελ. 246, στ. 19, Τὴν Μεμφιτῶν πόλιν.] Ἐν ταῖς ΚΑ, Τὴν Μέμφιν πόλιν.

Σελ. 247, στ. 3, Σαγηνεύσοντος.] Σαγηνεύειν μεταφορικῶς λέγεται, τὸ πόλεως ἁλούσης, τοὺς ἐνοικοῦντας οὕτω περιελθεῖν, ὥσθ᾽ ἁπαξάπαντας οἷον ἐν σαγήνῃ λαβεῖν. ἦν δὲ Πέρσαις ἴδιον τὸ σαγηνεύειν τὰς πόλεις. Ἡρόδοτος δὲ (Ζ, λα᾽) καὶ τὸν τρόπον, καθ᾽ ὃν τοῦτο ἐποίουν, ἐξιστόρηκεν, ἐν οἷς τὰ κατὰ τὴν ὑπὸ Περσῶν, Χίου, Λέσβου τε καὶ Τενέδου σαγήνευσιν διηγεῖται· « Σαγηνεύουσι δὲ τόνδε τὸν τρόπον· ἀνὴρ » ἀνδρὸς ἁψάμενος τῆς χειρὸς ἐκ θαλάσσης τῆς βορηΐης ἐπὶ » τὴν νοτίην διήκουσι, καὶ ἔπειτα διὰ πάσης τῆς νήσου διέρ- » χονται ἐκθηρεύοντες τοὺς ἀνθρώπους ». — Στ, 4, Τὴν δίκην.] Οὕτως αἱ ΑΑ, μετὰ τοῦ ἄρθρου. — Στ. 7, Εἰ δύναιντ᾽,

ἰάσασθαι.] Ἐκ τῶν ΔΑ568 παρείληφα τὴν μόνην ὀρθὴν γραφὴν ταύτην, εἰ καὶ ἄλλως κρίνοι περὶ αὐτῆς ὁ Μ. ἐν ταῖς ΑΑ, γράφεται, Εἰ δύνηντο ὠνήσασθαι, ἐν δὲ ταῖς ΚΑ, ἀμφοτέρως, Εἰ δύνηντο ὠνήσασθαι, καὶ, Εἰ δύναιντο ὠνήσασθαι. ταύτην δὲ τὴν γραφὴν ἑρμηνεύει καὶ ὁ Λ. ὅτι δ' οὐκ ἀλόγως τὴν τῶν ΔΑ γραφὴν (ἣν ἐξέφρασε καὶ ὁ Α) προειλόμην, δῆλον καὶ ἐκ τοῦ παροιμιῶδές τι ἔχειν αὐτήν. αὐτίκα Σοφοκλῆς (παρὰ Στοβ. Δ, σελ. 54),

Ἐνταῦθα μέν τοι πάντα τἀνθρώπων νοσεῖ,
Κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά.

εἶπε δὲ καὶ Πλούταρχος (Ἀλκιβιάδ. § 23), « Οὐχ ὁρῶν » ἑτέραν διαφυγὴν ἐκ τῶν παρόντων, ἐπεχείρησεν ἰᾶσθαι μεί» ζονι κακῷ τὸ κακόν ». — Στ. 13, Ὑπερμαχομένων.] Ἴσως ἐγέγραπτο, Ὑπερμαχουμένων, κατὰ τὸν μέλλοντα. ὁ δὲ νοῦς, Εὐμαρέστερον αἱρήσειν τὴν πόλιν, εὑρόντες κενὴν ἀνδρῶν τῶν ὑπερμαχησομένων αὐτῆς. ἀντὶ δὲ τοῦ ἑχομένου, Αὐτοί, ἐν μὲν ταῖς ΚΑ, Αὐτὰ, ἐν δὲ τῇ Β, Αὐτοῖς· ἀμφότερα οὐκ ὀρθῶς. Στ. 14, Τὸ παρόν.] Καίπερ εὐεπίφορον ἄλλως ὄντα τὸν Ἡλιόδωρον εἰς τὴν λέξιν ταύτην, οὐκ ἀπεικότως ὑπονοήσειεν ἄν τις ἐνταῦθα γεγραφέναι, Τὸ παράπαν. — Στ. 15, Τὴν τῆς προφητείας καὶ ἱερωσύνης τιμήν.] Οὕτω διώρθωκα, μεταθεὶς μὲν εἰς τὸν οἰκεῖον τόπον τὸν σύνδεσμον, Καὶ, προσθεὶς δὲ τὸ, Τιμήν, διὰ τὸ καὶ ἐν ἄλλοις (σελ. 58) συνῆφθαι τοῦτο τῷ, Προφητείας, ὃ δὴ συνώνυμόν ἐστι τῷ, Ἱερωσύνης, καθὰ καὶ ἐν τοῖς πρόσθεν (σελ. 52) εἰρήκαμεν.

Σελ. 248, στ. 6, Τῶν νεκρῶν ἐν καθαρῷ.] Τουτέστιν, ἐν τόπῳ καθαρῷ τῶν νεκρῶν, ὅπου δηλαδὴ οὐκ εἰσὶ νεκροὶ κείμενοι. ἡ δὲ φράσις ἐξ Ὁμήρου (Ἰλιάδ. Θ, 491),

Ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος.

Στ. 26, Πρῶτα μὲν βόθρον ὠρύξατο κ. τ. λ.] Ὅλη ἡ παροῦσα σκηνὴ μετενήνεκται οὐκ ἀφυῶς ἐκ τῆς κατὰ τὸν Ὀδυσσέα Ὁμηρικῆς νεκυομαντείας (Ὀδυσσ. Λ, 25),

Βόθρον ὄρυξα ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα
Ἀμφ' αὐτῷ δὲ χοὰς χέομεν κ. τ. λ.

Σελ. 249, στ. 1, Ἐκ θατέρου.] Ἀντὶ τῶν δύο τούτων λέξεων ἐν ταῖς ΚΑ γράφεται, Ἑκατέρου· ἴσως ἐξ ἀρχαιοτέρας

γραφῆς, ἐξ ἑκατέρου, τουτέστιν, ἐξ ἑκατέρου μέρους τοῦ βόθρου. Στ. 4, Μέλιτος . . . γάλακτος, καὶ οἴνου.] Μετέβαλον τὸ, Οἶνον, εἰς τὸ, Οἴνου, διὰ τὰς προηγησαμένας γενικάς. σημείωσαι δὲ ὅτι παραλλάττει μικρὸν ἐνταῦθα τὰ λεγόμενα ἧς ἔφην Ὁμηρικῆς νεκυομαντείας, καὶ πρὸς τὴν Εὐριπίδου ποίησιν ἀποκλίνει μᾶλλον. Ὅμηρος μὲν γὰρ οὐ μόνον μέλι καὶ γάλα (ἃ διὰ μιᾶς λέξεως, τῆς Μελίκρητον, ἐδήλωσε) καὶ οἶνον, ἀλλὰ καὶ ὕδωρ καὶ ἄλφιτα ταῖς χοαῖς ἐγκατέμιξεν (Ὀδυσσ. Λ, 26),

Ἀμφ' αὐτῷ δὲ χοὰς χέομεν πᾶσι νεκύεσσιν,
Πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέϊ οἴνῳ,
Τὸ τρίτον αὖθ' ὕδατι· ἐπὶ δ' ἄλφιτα λευκὰ πάλυνον·

Εὐριπίδης δὲ τρισὶ μόνοις ἠρκέσθη, φήσας (Ὀρέστ. 115),

Μελίκρατ' ἄφες γάλακτος, οἰνωπόν τ' ἄχνην.

εἰκὸς οὖν ἄλλως παρ' ἄλλοις ἐπιτελεῖσθαι τὰς ἐπὶ τοῖς κατοιχομένοις χοάς, ἢ καὶ τοὺς Τραγῳδοὺς καινοτομῆσαι, καθὰ καὶ πολλὰ ἕτερα ὧν ἐξ Ὁμήρου μετήνεγκαν εἰς τὴν ἰδίαν ποίησιν, οὕτω καὶ τὰ περὶ τῶν χοῶν. καὶ γὰρ Αἰσχύλος, ἐπὶ τῆς ἀνακαλούσης τὸν ἀποθανόντα Δαρεῖον Ἀτόσσης, παραλείπει μὲν τὰ παρ' Ὁμήρῳ ἄλφιτα, ἔλαιον δὲ ταῖς χοαῖς προστίθησιν ἀντ' αὐτῶν (Περσ. 615),

Τῆς τ' αἰὲν ἐν φύλλοισι θαλλούσης βίον
Ξανθῆς ἐλαίας καρπὸς εὐώδης πάρα.

ἦσαν δὲ πολλαχοῦ νεκυομαντεῖα, εἰς ἃ παρεγίγνοντο, οἱ ἐπῳδαῖς καὶ γοητείαις ψυχήν τιν' ἀναγαγεῖν ἐξ ᾅδου βουλόμενοι, καὶ πυθέσθαι ταύτης τὰ πρακτέα, ἢ τὰ μέλλοντα· οἷον τὸ ἐν Ἡρακλείᾳ, καθά φησι Πλούταρχος (Κίμων. § 6), καὶ ἕτερον κατὰ τὴν μεγάλην Ἑλλάδα περὶ τὴν Ἄορνον καλουμένην λίμνην, ὡς λέγει Μάξιμος ὁ Τύριος (Λόγ. κς΄), « Καὶ » θεραπευτῆρες τοῦ ἄντρου, ἄνδρες ψυχαγωγοί, οὕτως ὀνο» μαζόμενοι ἐκ τοῦ ἔργου. ἐνταῦθα ὁ δεόμενος, ἀφικόμενος, » εὐξάμενος, ἐντεμὼν σφάγια, χεάμενος χοάς, ἀνεκαλεῖτο » ψυχὴν ὁτουδὴ τῶν πατέρων, ἢ φίλων· καὶ αὐτῷ ἀπήντα » εἴδωλον, ἀμυδρὸν μὲν καὶ ἰδεῖν ἀμφισβητήσιμον, φθεγκτι» κὸν δὲ καὶ μαντικόν· καὶ συγγενόμενον ὑπὲρ ὧν ἐδεῖτο ἀπηλ-

» λάττετο ». σκώπτει δὲ τοὺς τῆς ἀρχαίας μυθολογίας λήρους τούτους εὐφυῶς πάνυ ὁ χαριέστατος Λουκιανὸς, ἔντε τῷ ἐπιγραφομένῳ, Μένιππος, ἢ Νεκυομαντεία (§ 9), καὶ ἐν τῷ, Ἐπισκοποῦντες (§ 22). — Στ. 6, Στεάτινον.] Τουτέστιν ἐξ ἀλεύρου φυράματος πεπλασμένον. εὕρηται ἡ λέξις καὶ ἐν τοῖς Αἰσώπου μύθοις· ἔστι δὲ παρὰ τὸ Στέαρ. τοῦτο δὲ παρὰ μὲν τοῖς Ἀρχαίοις ἐσήμαινε κυρίως τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον, Ἀξύγγιον (παρὰ τὴν Λατινικὴν λέξιν, *Axungia*)· ἐξενίκησε δὲ παρὰ τοῖς ὕστερον συνώνυμον γενέσθαι τοῦ, Σταῖς, ὃ πάλαι μόνον ἐδήλου τὸ ἐξ ἀλεύρου (καὶ τούτου πυρίνου) φύραμα. ἔοικε δὲ ἡ σύγχυσις παρὰ τὴν ὁπωσοῦν ὁμοιότητα τῶν παραγώγων ἑκατέρας λέξεως τὴν ἀρχὴν γεγονέναι. κακῶς γὰρ ἅπαξ γραψάντων τινῶν, Στεατίτης, ἢ Στεάτινος (ὁ ἐκ Στέατος, ἤγουν Ἀξυγγίου συγκείμενος), ἀντὶ τοῦ, Σταιτίτης, ἢ Σταίτινος (ὁ ἐξ ἀλεύρου πεποιημένος), παρεισέδυ τῷ χρόνῳ καὶ εἰς αὐτὰ τὰ πρωτότυπα, Στέαρ, καὶ, Σταῖς, ἡ οὐκέτι τοῖς ἀντιγραφεῦσιν, ἀλλ' αὐτοῖς τοῖς συγγραφεῦσιν ἐπινοηθεῖσα συνωνυμία. τεκμήριον δὲ, τὰ γὰρ παρατιθέμενα μαρτύρια τῷ, Στέαρ, ἐπὶ τῆς σημασίας τοῦ, Σταῖς, ἅπανθ' ὡς εἰπεῖν, ἐκ τῶν νεωτέρων Ἑλλήνων εἰσὶν, οἷον Γαληνοῦ, Διοσκορίδους, Στράβωνος καὶ τῶν τοιούτων. — Στ. 7, Μαράθρῳ.] Ἐν τῇ Β, Μαλάθῳ, ἴσως τυπογραφικῶς ἡμαρτημένον ἀντὶ τοῦ, Μαράθῳ· ἐλέγετο γὰρ καὶ, τὸ Μάραθρον, οὐδετέρως, καὶ, ὁ Μάραθος, ἀρσενικῶς, ὅθεν ὁ Μαραθὼν, δήμου τῆς Ἀττικῆς ἀοίδιμον ὄνομα. ἐν δὲ ταῖς ΑΑ γράφεται, Μαλάθρῳ· καὶ ἔστιν ἡ τοιαύτη γραφὴ ἐκ τῆς συνηθείας, ᾗ λαθὼν κατηκολούθησεν ὁ ἀντιγράψας, ἢ καὶ αὐτὸς ὁ Ἡλιόδωρος. οὕτω γὰρ μέχρι καὶ δεῦρο φαμὲν, τὸ Μάλαθρον, τρέποντες θάτερον τῶν ρ̄ εἰς τὸ λ̄ (ὡς καὶ, Πλώρη, παρὰ τὸ Πρώρα, καὶ, Ἀλέτρι, παρὰ τὸ Ἄροτρον κ. τ. λ.) εὐφωνίας χάριν. — Στ. 8, Ἐφ' ἅπασι δὲ ξίφος ἀνελομένη.] Συνεχίζει πως τὰ τῆς κατὰ τὰς χοὰς παρῳδίας (Ὀδυσσ. Λ, 48),

> Αὐτὰρ ἐγὼ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
> Ἥμην κ. τ. λ.

ἀντὶ τοῦ, Ἐφ' ἅπασι, ἐν τῇ Β, Ἐφ' ἄσπισι, ἐν ταῖς ΚΑ, Ἐφ' ἀσπίδι, ἐν ταῖς ΑΑ, Ἐφ' ἅπαντι. ἀντὶ δὲ τοῦ, Ἀνελομένη, ἐν

ταῖς ΔΑ660, γράφεται, Ἀραμένη. — Στ. 10, Βαρβάροις τε καὶ ξενίζουσι κ. τ. λ.] Τὰ γὰρ τοιαῦτα τῶν ὀνομάτων ἐπαγωγὰ μάλιστα ᾤοντο καὶ οἱ Ἕλληνες εἰς ψυχῶν, ἢ δαιμόνων, ἀνάκλησιν· ἐπεὶ καὶ παρὰ βαρβάρων παρειλήφεσαν τὰς γοητείας τε καὶ τερατουργίας. διὸ καὶ ἐν τοῖς ἐπιγραφομένοις Μαγικοῖς λογίοις τῶν ἀπὸ τοῦ Ζωροάστρου Μάγων, καὶ τοῦτο πρὸς τοῖς ἄλλοις φέρεται τὸ παράγγελμα (σελ. 70, Ἐκδ. Παρισ. 1599),

*Ὀνόματα βάρβαρα μήποτ᾽ ἀλλάξῃς·*

ὅπερ ἐξηγούμενος οὐ χριστιανικῶς ὁ Χριστιανὸς Ψελλὸς, ταῦτα λέγει, « Τουτέστιν, εἰσὶν ὀνόματα παρ᾽ ἑκάστοις ἔθνεσι » θεοπαράδοτα, δύναμιν ἐν ταῖς τελεταῖς ἄῤῥητον ἔχοντα. » μὴ οὖν μήτ᾽ ἀλλάξῃς (γρ. μὴ οὖν μεταλλάξῃς) αὐτὰ εἰς » τὴν Ἑλληνικὴν διάλεκτον. οἷον τὸ Σεραφεὶμ, καὶ τὸ Χερουβεὶμ, καὶ τὸ Μιχαὴλ, καὶ τὸ Γαβριὴλ, οὕτω μὲν λεγό» μενα κατὰ τὴν Ἑβραϊκὴν διάλεκτον, ἐνέργειαν ἐν ταῖς τελε» ταῖς ἔχει ἄῤῥητον· ἀμειφθέντα δὲ ἐν τοῖς Ἑλληνικοῖς ὀνό» μασιν, ἀσθενῆ ». εἶτα, ἐπανορθούμενος τὴν ἀτοπίαν τῆς ἐξηγήσεως, προστίθησι τοῖς εἰρημένοις τὰ ἑξῆς, « Ἐγὼ δὲ » οὐ τὰς Χαλδαϊκὰς δέχομαι τελετὰς, οὔτε τῷ δόγματι πά» νυ προστίθεμαι· ἀνεκάλυψα δέ σοι μόλις τοῦ λόγου τὴν » κρυφιότητα ». καὶ ταῦτα μὲν ὁ Ψελλός· ἡμεῖς δὲ τοὺς περὶ τὰ τοιαῦτα σπουδάζοντας, καὶ τῶν ψελλιζομένων παιδίων ἀφρονεστέρους ἡγούμεθα. — Στ. 15, Προσκύψασα. ] Ἐκ τῶν ΑΑ. — Στ. 16, Ὀρθὸν ἑστάναι. ] Ἀντὶ τοῦ, Ὀρθὸν, ἐν ταῖς ΑΑ γράφεται, Ὄρθον (μόνῳ τῷ τόνῳ ἡμαρτημένον)· ἐν δὲ ταῖς ΚΑ, Ὄρθρον· οἱ δὲ λοιποὶ προείλοντο τὸ τοῦ Κ, Ἀθρόον, ὅπερ ἔχει καὶ ἡ Β. Ὀρθὸν μέντοι ἀναγνωστέον εἶναι δηλοῦσι καὶ τὰ ἑπόμενα (σελ. 250 καὶ 251). — Στ. 19, Ἀήθων. ] Ἐν ταῖς ΚΑ, Ἀηδῶν. — Στ. 20, Ἀφύπνιζέ τε. ] Οὕτω διωρθωσάμεθα τὸ τῆς Β καὶ τῶν ΑΑ, Ἀφυπνίζεται, ὃ παρὰ τῷ Κ καὶ τοῖς λοιποῖς ἔτι χειρόνως, Ἀφυπνίζεταί τε, γέγραπται. ἐχρήσατο δὲ καὶ ἐν τοῖς πρόσθεν (σελ. 239) τῷ, Ἀφύπνιζε.

Σελ. 250, στ. 3, Τὰ κατὰ γνώμην. ] Αἱ ΑΑ, Τὸ κατὰ γνώμην· αἱ δὲ ΚΑ, αὐτό τε τοῦτο, καὶ, Τὴν κατὰ γνώμην. Στ. 6, Ἀνίει. ] Ἐν ἅπασιν, Ἀνήει, ὃ, τὸ παράπαν ἀπροσδιά-

νυσον ὂν ἐνταῦθα, ἔτρεψα εἰς τὸ, Ἀνίει. — Στ. 7, Βιαιοτέραις ... ταῖς κατανάγκαις.] Οὕτω γραπτέον εἶναι ὀρθῶς εἰκάσθη ἐν ταῖς ΚΑ. ἐν δὲ ταῖς ΑΑ γράφεται, Βιαιοτέραις τοῖς κατανάγκης. — Στ. 19, Ἐπιχειρεῖν κ. τ. λ.] Οὐκ ἐμέλλησα τρέψαι τὸ κακῶς εἰσεῤῥῆσαν Ἐπιχαίρειν, εἰς τὸ Ἐπιχειρεῖν. δῆλον δὲ καὶ ἐκ τῶν ἑξῆς (σελ. 251), « Οὐκ ἀθεμίτοις μόνον τὴν ἀρχὴν ἐπιχειρήσασα ». Ἐπιχαίρειν γὰρ, ἥ φησιν Ἀμμώνιος, ἐστὶ, τὸ ἐπιγελᾶν τοῖς ἀλλοτρίοις κακοῖς· ὅπερ ἐν τούτῳ τῷ χωρίῳ ψυχρῶς ἂν πάνυ καὶ ἀφυῶς εἰρῆσθαι δόξειε. Ἐπιχειρεῖν δὲ ταυτόν ἐστι τῷ Ἐγχειρεῖν, τουτέστιν, ἔργου τινὸς ἅπτεσθαι, καὶ περὶ τοῦτο τὴν πᾶσαν σπουδὴν ποιεῖσθαι· οἷον τὸ παρὰ Πλουτάρχῳ (περὶ τῶν ὑπὸ τοῦ θ. βραδ. τιμωρουμ. § 2), « Ταῦτα δ' αὐτὰ τοὺς κακοὺς εἰκὸς » ἑαυτοῖς διακελευομένους ... ἐπιχειρεῖν τοῖς παρανομήμασιν ». καὶ σημείωσαι ὅτι κἀν τούτῳ τῷ Πλουταρχείῳ χωρίῳ, ἀντὶ τοῦ, Ἐπιχειρεῖν, κακῶς ἔν τισι τῶν ἀντιγράφων φέρεται, Ἐπιχαίρειν. εἰδὲ δεῖ καὶ μαρτύριον Εὐριπίδου, ὃν ἁπάντων μάλιστα πεφίληκεν Ἡλιόδωρος, παραθέσθαι, παρατεθείσθω τὸ ἑξῆς (Βάκχ. 190),

Κἀγὼ γὰρ ἡβῶ, κἀπιχειρήσω κακοῖς.

καὶ ἡ συνήθεια δὲ τῷ συστοίχῳ ῥήματι, Ἐπιχειρίζω, καὶ Ἐπιχειρίζομαι ἐπὶ τῆς αὐτῆς σημασίας τέταχε. ἐπεὶ δὲ τὸ Ἐπιχειρεῖν, ἢ Ἐγχειρεῖν, καὶ αὐτὸ τὸ ἐνάρχεσθαι τοῦ ἔργου, καὶ οἷον τὴν χεῖρα ἐπιβάλλειν αὐτῷ, σημαίνει, τοῦτο ἡ συνήθεια διὰ τοῦ Καταχερῶ καὶ Καταχερίζω προείλετο φράζειν. ἡ δὲ χυδαιεστέρα φωνὴ καὶ Καταχερνῶ εἴρηκε, παρενθεῖσα τὸ ν̄, ὡς ἀπὸ τοῦ Φέρω πεποίηκε τὸ Φέρνω. ἔχει δ' ἄν τις καὶ ταῦτα εἰκοτολογῶν παραμυθήσασθαι τῷ καὶ τοὺς Ἀρχαίους Χερνήτην καλέσαι, τὸν ἀπὸ χειρῶν ζῶντα, καὶ Φερνὴν τὴν παρὰ τῆς γυναικὸς φερομένην εἰς τοῦ ἀνδρὸς προῖκα, καίπερ οὐδ' ὅλως ἐμφαινομένου τοῦ ν̄, οὔτε ἐν τῷ Χεὶρ, οὔτε ἐν τῷ Φέρω. — Στ. 23, Σώματα νεκρῶν.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. καὶ ἐν τοῖς πρόσθεν (σελ. 129) δὲ, Σώματα νεκρῶν, πληθυντικῶς εἴρηκε.

Σελ. 251, στ. 2, Ὑποτρίζων.] Ἔγραψα διὰ τοῦ ῑ τὴν παραλήγουσαν. τὰς γὰρ ἐν ᾅδου ψυχὰς Ὅμηρος νυκτερίδων

δίκην τρίζειν ἐπλάσατο πρῶτος (Ὀδυσσ. Ω, 6) εἰπών,

Ὡς δ' ὅτε νυκτερίδες μυχῷ ἄντρου θεσπεσίοιο
Τρίζουσαι ποτέονται, ἐπεί κέ τις ἀποπέσῃσιν
Ὁρμαθοῦ ἐκ πέτρης, ἀνά τ' ἀλλήλῃσιν ἔχονται,
Ὣς αἱ τετριγυῖαι ἅμ' ἤϊσαν...............

ἃ δὴ παρῳδεῖ ἐνταῦθα Ἡλιόδωρος, οὐδὲ τὸν Μυχὸν τοῦ ἄντρου παραλείψας. — Στ. 12, Κηδείας μὲν τῆς ἐμῆς ἀμελοῦσα.] Τοῦτο λέγει, ὅτι οὐκ ἐφεῖτο τοῖς ἀποιχομένοις μίγνυσθαι ταῖς ἐν ᾅδου ψυχαῖς, πρὶν ἂν ταφῆς τύχωσι, ὡς καὶ ἐν τοῖς πρόσθεν (σελ. 5) εἰρήκαμεν. διὰ τοῦτο δὲ καὶ τὰς ἐν θαλάσσῃ ἀνῃρημένας ψυχὰς, μηδὲ εἰς ᾅδου καταβαίνειν ὅλως, ἀλλὰ περὶ τὸ ὕδωρ πλανᾶσθαι, φησὶν Ἀχιλλεὺς ὁ Τάτιος (Ε, ις΄). — Στ. 15, Γενομένη.] Οὕτως ὀρθῶς κατ' ὀνομαστικὴν αἱ ΚΑ· ἐν αἷς οὐκ ὀρθῶς μέντοι καὶ τὸ προηγησάμενον, Μόνης, γράφεται, Μόνη. τοιοῦτον δέ τι καὶ ὁ προϊὼν (σελ. 255) ἐρεῖ, « Τῶν ἱερῶν ὅλος γιγνόμενος ». καὶ αὖθις (σελ. 264) « Ὅλοι τῆς ἀγωνίας ὄντες ». — Στ. 18, Ἀλλ', ἀεὶ δὴ τὸν σαυτῆς κ. τ. λ.] Παρείληφα ἐκ τῶν ΑΑ. ἐν δὲ τῇ Β γράφεται, Ἀλλὰ δὴ τὸν σαυτῆς. ὁ δὲ Α, μεταφράσας, *Pour autant que etc.* ἔοικεν ἀναγνωστέον ὑπειληφέναι, Ἀλλ', οἷα δὴ κ. τ. λ.

Σελ. 252, στ. 3, Ξιφήρεις.] Περιέγραψα τὸν προηγούμενον, Καὶ, ὃν παρέλιπον καὶ ἄμφω οἱ μεταφράσαντες, ὡς περιττόν. ἀντὶ δὲ τοῦ, Ξιφήρεις, ἐν ταῖς ΚΑ καὶ ΑΑ γράφεται, Ξιφήρη, πρὸς τὸν ἀγῶνα δῆθεν ἀναφερόμενον. — Στ. 15, Ἐπ' αὐτούς.] Οὕτως αἱ ΑΑ. — Στ. 18, Ὡς ἐπιβούλως τε καὶ πρὸς ἐναντίου κ. τ. λ.] Ἐν μὲν ταῖς ΚΑ φέρονται τρεῖς γραφαὶ, Ἐπιβούλως, Ἐπιβούλω, καὶ Ἐπίβουλος· ἐν δὲ ταῖς ΑΑ γράφεται, Ἐπιβούλος, παροξυτόνως, καὶ διὰ τοῦ ο, ὥστ' ἄδηλον εἶναι, πότερον Ἐπίβουλος, ἢ Ἐπιβούλως, ἐβούλετο γράφειν ὁ γράψας. ὁ δὲ Λ καὶ Α κατηκολούθησαν τῇ τοῦ Κ γραφῇ, Ἐπιβούλους, ἑρμηνεύσαντες μέντοι διαφόρῳ τρόπῳ τὸ ὅλον χωρίον. προειλόμην τὸ ἐπίρρημα, Ἐπιβούλως, τρέψας πρὸς τούτοις καὶ τὸ, Πρὸς ἐναντιούς, εἰς τὸ, Πρὸς ἐναντίου, ἵνα καὶ αὐτὸ ἐπιρρηματικῶς ἔχῃ ἐκλαμβάνεσθαι, κατὰ τὸ ἐν τοῖς ἑξῆς (σελ. 377), Πρὸς ἐναντίου σφίσιν ἦν, περὶ οὗ ἐρου-

μεν, ἐπειδὰν κατ' ἐκεῖνο τὸ χωρίον γενώμεθα. ὁ δὲ νοῦς τοῦ προκειμένου, Ὡς ἐπιβούλως, καὶ ἐναντίως τοῖς αὐτῆς μαγγανεύμασι, γεγενημένους κατασκόπους. — Στ. 22, Βουβῶνος.] Βουβών ἐστι, τὸ παρ' ἑκάτερα τῆς ἥβης μέρος, ἐν ἀρχῇ τῶν μηρῶν κείμενον. ἐλέγετο δὲ ὁμωνύμως Βουβών, καὶ κατά τινας, ὥς φησιν Ἡρωδιανὸς (παρὰ τῷ Ἐτυμολόγ. σελ. 206), Βομβὼν, τὸ περὶ τοὺς βουβῶνας οἴδημα. καταχρηστικώτερον δὲ καὶ τὰ ἐν ἄλλοις μέρεσι τοῦ σώματος ἀνοιδήματα, Βουβῶνες, ἐκλήθησαν. παρὰ δὲ τὸ, Βουβὼν, καὶ ῥῆμα τὸ, Βουβωνιάω, ὅπερ εἰκὸς καὶ Βομβωνιάω λελέχθαι, ὅθεν ἡ συνήθεια παρέλαβε τὸ, Βομβωνιασμένος, καὶ χυδαιέστερον Μπουμπουνιασμένος, οὕτω λέγουσα τὸν καχεκτικῶς ἐξῳδηκότα τὸ σῶμα, καὶ μάλιστα τὰ περὶ τὸ πρόσωπον.

Βιβλίῳ Ζ, Σελ. 253, στ. 5, Σπουδαιέστερον.] Ἐν τῇ Β γράφεται, Σπουδέστερον· δῆλον μέντοι ἐκ τῆς ἡμαρτημένης ταύτης γραφῆς, ὅτι γραπτέον, Σπουδαιέστερον. τὸ δὲ παρὰ τοῖς ἄλλοις ἅπασι, Σπουδαιότερον, οὐδέν ἐστιν ἄλλο ἢ δήλωσις τῆς τοῦ Σπουδαιέστερον καινῆς σχηματίσεως, καθὰ καὶ παρ' Ἡροδότῳ (Α, η'), τῷ, Σπουδαιέστερα, προσγέγραπται τὸ, Σπουδαιότερα. ὁ δὲ τὴν Ἀποθήκην τῶν παίδων ἐκ τῆς Γαλλικῆς εἰς τὴν Γραικὴν γλῶσσαν μετενεγκὼν, ἀνὴρ τἄλλα καλὸς κἀγαθὸς, καὶ τῆς περὶ τοὺς Ἕλληνας σπουδῆς ἕνεκα, εὐλογεῖσθαι ἄξιος, παραχθεὶς, ὡς ἔοικεν, ὑπὸ τῆς παρὰ τῷ Ἡλιοδώρῳ ἡμαρτημένης γραφῆς, « Πρὸς παραμυθίαν τῶν σπουδεστέρων » μαθημάτων » εἶπε (Τομ. Γ, σελ. 41). τοῦτο δὲ ἀμφοτέρως ἐπιλήψιμον, καὶ διότι γραφικὸν ἁμάρτημα, ὡς Ἑλληνικὴν λέξιν παρεισήγαγεν εἰς τὴν γλῶσσαν, καὶ διότι κακόζηλον τὸ τῶν σαφεστέρων τὰς ἀσαφεστέρας προαιρεῖσθαι τῶν φωνῶν ὁπηνίκα δι' ἑκατέρων ταὐτὰ δηλοῦν οἷόν τε. ὤφειλεν οὖν εἰπεῖν, « Σπουδαιοτέρων ». ἀλλὰ περὶ τούτων ἐν ἄλλοις, ἣν θεὸς διδῷ, πλατύτερον.

Σελ. 254, στ. 9, Διότι καὶ εἰ.] Παρήλλαξε τὴν τάξιν, ἀντὶ τοῦ, Διότι εἰ καὶ, ὅπερ προϊὼν (σελ. 259) ἐρεῖ, « Ὡς » εἰ καὶ ». — Στ. 15, Συλλαμβάνοι καὶ προθυμότερον, ἐδόκει τε κ. τ. λ.] Ἀντὶ τοῦ, Συλλαμβάνοι, ἐν ταῖς ΑΑ γέγραπται, Συλλαμβάνοι μὲν, ὅπερ ἴσως ἐξ ἑτέρας γραφῆς εἰσεῤῥύη τῆς

Συλλαμβάνοιμεν, μονολεκτικῶς, ἵνα ἦ ὡς ἀπὸ τοῦ πρεσβύτου πρωτοπροσωπικὸς ὁ λόγος, τουτέστιν, Ὡς ἂν ΗΜΕΙΣ οἱ κατὰ τὴν πόλιν στρατιῶται συλλαμβάνοιμεν ῥᾷον καὶ προθυμότερον. μέσῃ δὲ καὶ οὐ τελείᾳ στίξας μετὰ τὸ, Προθυμότερον, τόν τε ἐχόμενον, Δὲ, μεταβαλὼν εἰς τὸν ἐγκλιτικὸν, Τε, σαφέστερον κατέστησα τὸ χωρίον. καὶ ἔστιν ἡ τοῦ λόγου συνάρτησις, εἰ ἄνωθεν λαμβάνων συντέμνοις τὰ ἐν μέσῳ, τοιαύτη· Ὥρμησαν μὲν καὶ αὐτίκα· πρεσβυτικοῦ δέ τινος διακωλύσαντος, καὶ ἐκδιδάξαντος, ἐδόκει τε ταῦτα (τὰ ὑπὸ τοῦ πρεσβύτου δηλονότι λεχθέντα) καλῶς εἰρῆσθαι, καὶ ὥρμησαν αὐτίκα ἐπὶ τὰ βασίλεια. — Στ. 19, Ἀρσάκη.] Πέπλασται τοὔνομα, ὡς καὶ τὰ λοιπὰ τῆς μυθιστορίας ταύτης· καὶ ἴσως πρὸς τὴν Ἀρσάμην, θυγατέρα Δαρείου, ὡς εὕρηται παρὰ τῷ Σουίδᾳ (λέξ. Θεοκλυτήσαντες)· πλὴν εἰ μὴ καὶ παρ' ἐκείνῳ διὰ τοῦ η γραπτέον. ἔστι δὲ καὶ Ἀρσάμης, ἀνδρὸς ὄνομα, πάππου Δαρείου, ὡς φησιν Ἡρόδοτος (Α, σθ'). Ἀρσάκης δὲ ἐκαλεῖτο (Ἴδ. Πολύβιον, Ι, κέ) ὁ τὴν τῶν Πάρθων ἀρχὴν συστήσας, καὶ τοῦ γένους τῶν ἀπ' αὐτοῦ κληθέντων Ἀρσακιδῶν τὴν κρηπῖδα καταβαλόμενος. — Στ. 21, Ὑπέρογκος.] Κακῶς ἐν ταῖς ΑΑ, Ὑπέρογγος· ἐν δὲ τῇ Β, Ὑπέρογγον, ἡμαρτημένως καὶ τῇ Γραφῇ καὶ τῷ γένει· πλὴν εἰ μή τις μετοχὴν παραλελεῖφθαι τοῖς ἀντιγράφασι, τὴν, Ἔχουσα, ἢ, Κεκτημένη, ὑπολάβοι· καὶ τοῦτό πως ὑπονοεῖν παρέχει ἡ ἐχομένη λέξις, Οἷον· ἔσται γὰρ ὁ νοῦς τηνικαῦτα, Τό τε φρόνημα διὰ τὴν εὐγένειαν ὑπέρογκον ἔχουσα, καὶ τοιοῦτον, οἷον εἰκὸς ἔχειν τὴν τοῦ μεγάλου βασιλέως ἀδελφήν. — Στ. 25, Τῆς ἐκ Μέμφεως τότε φυγῆς ἐγεγόνει.] Οὕτως αἱ ΑΑ. ἡ δὲ Β, ὡς καὶ ἡ Κ, Ποτὲ, ἀντὶ τοῦ, Τότε, διαφόρῳ μέντοι τάξει, Τῆς ἐκ Μέμφεως φυγῆς ἐγεγόνει ποτέ.

Σελ. 255, στ. 6, Εἰσιτηρίους.] Ἐν ταῖς ΑΑ καὶ ΚΑ γράφεται, Ἱκετηρίους. — Στ. 14, Τοῦ ὑποπτεύειν.] Προσέθηκα τὸ ἄρθρον, ἵν' ἔχῃ συνάπτεσθαι πρὸς τὸ, Πόῤῥω· ὁ δὲ νοῦς, Πόῤῥω ἦν τοῦ ὑποπτεύειν, ὅπως (ἤγουν τίνος ἕνεκα) ἐδρᾶτο τὰ ὑπὸ τῆς Ἀρσάκης πρὸς αὐτὸν γιγνόμενα. — Στ. 20, Τἀδελφοῦ.] Οὕτως ἡ Β. — Στ. 24, Ὑποπεισθεὶς.] Ἐν τῇ Β, Πεισθεὶς, δίχα προθέσεως· ὃ καὶ κρεῖττον διὰ τὸ προηγησά-

μενον, Ῥαδίως, ὅπερ οὐ πάνυ τι συνᾴδει τῇ μειωτικῇ τῆς προθέσεως σημασίᾳ.

Σελ. 256, στ. 4, Οὐ πρότερον ἀνῆκεν.] Οὕτως αἱ ΚΑ, ΑΑ καὶ ΔΑ434· ὃ δὴ καὶ μακρῷ κομψότερον τοῦ, Προανῆκεν.—Στ. 7, Πρότερον.] Ἐκ τῶν ΔΑ434. ἐπιῤῥηματικῶς δὲ χρῆται τῇ φράσει, ὡς καὶ οἱ ἄριστοι τῶν συγγραφέων· οἷον καὶ (σελ. 98), « Χρό» νοις ὀλίγῳ πρόσθεν », (σελ. 200) « Οὐ πολλαῖς ὕστερον ἡμέ» ραις », (σελ. 245) « Δυσὶ ταύταις πρότερον ἡμέραις », καὶ ἀλλαχοῦ.—Στ. 9, Συῤῥυέντος.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Συῤῥέοντος. Στ. 12, Ταῦτα.] Λείπει τὸ, Ταῦτα, ἐκ τῶν ΚΑ, ἴσως οὐκ ἀλόπως. Στ. 24, Τούς τε σωματοφύλακας.] Ἐν ταῖς ΚΑ, Τοῦ τε σώματος φύλακας, ἐξ ἀμείνονος (οἶμαι) γραφῆς τῆς, Τούς τε τοῦ σώματος φύλακας. — Στ. 25, Ἐπιχρύσοις.] Ἔτρεψα τὸ, Ὑποχρύσοις, εἰς τὸ, Ἐπιχρύσοις, δι' ἃς πρόσθεν (σελ. 61) εἴρηκα αἰτίας.

Σελ. 257, στ. 5, Προὔτρεπεν.] Οὕτως αἱ ΚΑ. — Στ. 12, Παρανομηθείς.] Σημείωσαι τὸ Παρανομηθεὶς, καινῶς εἰρημένον ἀντὶ τοῦ, Παράνομα παθών· κατὰ τὸ Δυστυχηθῇ, καὶ Ἀσεβηθῇ, τοῦ Πλάτωνος, περὶ ὧν εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 192).

Σελ. 258, στ. 1, Ἐπιβεβουλευκώς.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Ἐπιβεβληκὼς, ἴσως οὐκ ἀτόπως· τὸ γὰρ Ἐπιβάλλειν φυγὴν, κυρίως ἐπὶ τῶν κατὰ νόμους κολαζόντων, ἢ ἄλλως πως ἀρχόντων, λεγόμενον, ἔχοι ἂν κομψῶς καὶ ἐπὶ τοὺς ἐπιβουλεύοντας τινὶ φυγὴν μεταφέρεσθαι, οἷον καὶ (σελ. 263) ἐπὶ τοὺς αὐθαιρέτως ἑαυτοὺς φυγαδεύοντας. — Στ. 4, Αὐτοῦ.] Ἔτρεψα τὴν δοτικὴν εἰς τὴν γενικήν. — Στ. 8, Περιεστοίχιστο. θυμοῦ μὲν γὰρ κ. τ. λ.] Ἔστιξα εἰς τὸ, Περιεστοίχιστο. εἶτα ἀπ' ἄλλης ἀρχῆς ἔγραψα, Θυμοῦ μὲν γὰρ, προσθεὶς τὸν, Γὰρ, σύνδεσμον, ὃν ἡρμήνευσαν καὶ οἱ μεταφράσαντες, ὁ μὲν Λ διὰ τοῦ, *Nam*, ὁ δὲ Α, διὰ τοῦ, *Car*. Στ. 11, Συνετάττετο.] Ἔτρεψα τὴν ἐνεργητικὴν εἰς τὴν μέσην διάθεσιν, τοῦ Ἑλληνισμοῦ τοῦτο ὑπαγορεύοντος. ἡ δὲ τῆς γραφῆς ἁμαρτία πρόδηλος· τὸ γὰρ ἐπιφερόμενον ἄρθρον, Τὸν, τοῦ παραλελεῖφθαι τὴν τελευταίαν τοῦ, Συνετάττετο, γέγονεν αἴτιον. — Στ. 15, Τῇ ψυχῇ] Οὕτως αἵ τε ΚΑ καὶ ΑΑ.

Στ.

Στ. 17, Διαλιποῦσα.] Ἐξήλειψα τὸν προηγούμενον, Δὴ, ὃς οὐδὲ ἐν τῇ Β ἐμφέρεται. — Στ. 18, Οἱ ἐξ ἐπιλήψεως.] Ἐπίληψιν ὀνομάζει, ὡς καὶ Ἀριστοτέλης, ἣν Ἱπποκράτης, Ἐπίλημψιν, Ἰωνικῶς, οἱ δὲ μεταγενέστεροι τῶν ἰατρῶν, Ἐπιληψίαν, ἐκάλεσαν. ὠνόμαζον δ' αὐτὴν καὶ, Ἱερὰν νόσον, κατ' εὐφημισμόν. καὶ ἔοικε τοιοῦτόν τινα εὐφημισμὸν ἐμφῆναι βούλεσθαι καὶ ἡ συνήθεια, Γλυκὺ (συνυπακουομένου τοῦ, Πάθος) ὀνομάζουσα τὴν Ἐπιληψίαν· καθὰ καὶ τοῖς Ἀρχαίοις Γλυκεῖαι, ἐπιθετικῶς, ἐκαλοῦντο αἱ Ἐριννύες (Σχολ. Σοφοκλ. Οἰδ. Τυρ. 106). οὐκ ἀφυῶς δὲ ἐπιληψίᾳ προσείκασε τὴν τῆς Ἀρσάκης ἐρωτομανίαν· ἐπεὶ καὶ αὐτὴν τὴν συνουσίαν, μικρὰν ἐπιληψίαν ἔλεγεν εἶναι Δημόκριτος, ὥς φησι Γαληνός (Ὑπομν. Γ, Ἐπιδημ. σελ. 398).

Σελ. 259, στ. 11, Μηδὲ ἀπροφάσιστον κ. τ. λ.] Μετενήνεκται ταῦτα ἐκ τῶν Φοινισσῶν (1233) Εὐριπίδου, ἐν αἷς Ἐτεοκλῆς παρακελεύεται ἀμφοτέροις τοῖς στρατοῖς ἡσυχίαν ἄγειν, ὡς αὐτῷ προσῆκον μόνῳ πρὸς μόνον μάχεσθαι τὸν ἀδελφὸν περὶ τῆς βασιλείας. τοιοῦτον δὲ καὶ τὸ τοῦ Ὁμήρου (Ἰλιάδ. Γ, 88,),

Ἄλλους μὲν κέλεται Τρῶας καὶ πάντας Ἀχαιοὺς
Τεύχεα κάλ' ἀποθέσθαι ἐπὶ χθονὶ πουλυβοτείρῃ·
Αὐτὸν δ' ἐν μέσσῳ καὶ Ἀρηΐφιλον Μενέλαον,
Οἴους ἀμφ' Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι.
Ὁππότερος δέ κε νικήσῃ, κρείσσων τε γένηται,
Κτήμαθ' ἑλὼν εὖ πάντα, γυναῖκά τε, οἴκαδ' ἄγεσθαι.

Στ. 14, Μονομαχήσαντας.] Ἔτρεψα τὸν μέλλοντα εἰς τὸν ἀόριστον.

Σελ. 260, στ. 10, Προστάξεως.] Ἐν ταῖς ΑΑ, Προτάξεως· ἐν δὲ ταῖς ΚΑ, αὐτό τε τοῦτο, καὶ, Τροτάσεως, ἀδιανοήτως ἀντὶ τοῦ, Προτάσεως. — Στ. 13, Τῷ γιγνομένῳ.] Τουτέστι τῷ προσήκοντι. οὕτω διώρθωκα ἐκ δύο ἡμαρτημένων γραφῶν, τῆς τε τοῦ Κ, Τῶν γιγνομένων, καὶ τῆς τῶν ΚΑ καὶ ΑΛ, Τῷ γενομένῳ. ἐρεῖ δὲ καὶ προϊὼν (σελ. 267), Χάριν τὴν γιγνομένην, ἤγουν τὴν προσήκουσαν, τὴν ὀφειλομένην. Στ. 15, Περιτιθέντος.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. — Στ. 16, Ἐπιχρύσῳ.] Διώρθωκα καὶ πάλιν τὸ, Ὑποχρύσῳ, δι' ἃ πρότερον εἰρήκειν. — Στ. 18, Ὑπ' ἀνάγκης.] Ἐξ-

ἤλειψα τὸν προηγούμενον, Καὶ, ὡς περιττόν. ὅτι δὲ τοῖς ἀντιγράψασιν ἡμάρτηται τὰ τοιαῦτα, δηλώσει καὶ τὰ ἑπόμενα. αἰνίττεται δὲ τὰ περὶ τὸν Ὁμηρικὸν Ἶρον (Ὀδυσσ. Σ, 75),

Ἀλλὰ καὶ ὣς δρηστῆρες ἄγον, ζώσαντες ἀνάγκῃ,
Δειδιότα, σάρκες δὲ περιτρομέοντο μέλεσσιν.

Στ. 19, Τῆς Ἀρσάκης.] Οὕτω δίχα τοῦ, Καὶ, ἥ τε Β καὶ αἱ ΑΑ. — Στ. 20, Εἰς παραίτησιν.] Κἀνταῦθα λείπει καὶ ἐκ τῆς Β, ὃν παρέλιπον Καί. — Στ. 24, Οὐ γὰρ ἁπλῶς πολέμιος κ. τ. λ.] Ἠθικῶς πάνυ καὶ τὰ τῷ Θεαγένει λεγόμενα πρὸς τὸν Θύαμιν περὶ τοῦ ἀδελφοῦ, καὶ ἃ Θύαμις ἀποκρίνεται πρὸς αὐτόν.

Σελ. 261, στ. 13, Κρατοίην.] Οὕτως αἱ ΚΑ.

Σελ. 262, στ. 1, Οὐ μὴν ὑπέστη γε.] Οὕτως ἡ Β καὶ αἱ ΑΑ. τὸ δὲ Μὲν, ἐκ τοῦ Κ εἰς τὰς λοιπὰς εἰσφρῆσαν, βάρβαρον, καίπερ ἐμφερόμενον καὶ ἐν ταῖς ΔΑ707. τὰ δὲ ἐχόμενα, Ἀλλὰ παρὰ τὴν πρώτην κίνησιν κ. τ. λ. ἐν μὲν τῇ Β γράφεται ἀπαραλλάκτως ὡς καὶ ἐν τῷ Κ· ἐν δὲ ταῖς ΚΑ, Ἀλλὰ τὴν πρώτην κίνησιν εἰς φυγὴν τραπεὶς ἐπὶ τὰς πύλας ἔβη εἰς τὸ εἰσφρῆσαι εἰς τὸ ἄστυ προθυμούμενος. ἐν δὲ ταῖς ΑΑ, Ἀλλὰ παρὰ τὴν πρώτην κίνησιν εἰς φυγὴν τραπεὶς ἐπὶ τὰς πύλας εἰς τὸ εἰσερρῆσαι εἰς τὸ ἄστυ προθυμούμενος· ἐν δὲ ταῖς ΔΑ294 καὶ 707, Ἀλλὰ παρὰ τὴν πρώτην κίνησιν εἰς φυγὴν τραπεὶς, ἐπὶ τὰς πύλας ἔβη, εἰς τὸ εἰσφρῆσαι εἰς τὸ κ. τ. λ. αὐτὸς δὲ Δορβίλλος, τὰ πλεῖστα τούτων ἐξηγητικὰς προσθήκας ἡγησάμενος, οὕτω γραπτέον εἶναι ἀποφαίνεται, Ἀλλὰ τὴν πρώτην κίνησιν τραπεὶς ἐπὶ τὰς πύλας, εἰσφρῆσαι εἰς τὸ ἄστυ προθυμούμενος· ἣν γραφὴν παρέλαβε καὶ ὁ Μ, οὐδενὶ ἄλλῳ διαφέρουσαν τῆς Β καὶ τῆς Κ, ἢ τῇ παραλείψει τῆς, Παρὰ, προθέσεως. καὶ ταῦτα μὲν οἱ Κριτικοὶ περὶ τῶν διαφόρων γραφῶν. ἡμεῖς μέντοι φυλάξαι δεῖν ἔγνωμεν καὶ τὴν, Παρὰ, πρόθεσιν, καὶ τὸ, Εἰς φυγὴν, καὶ τὸ Ἔβη, ὡς ἀναγκαῖα καὶ τῇ διανοίᾳ καὶ τῇ συνθήκῃ τοῦ λόγου· ἀντὶ δὲ τοῦ, Εἰς τὸ εἰσφρῆσαι, γεγράφαμεν μόνον, Εἰσφρῆσαι, ὥσπερ καὶ ἀλλαχοῦ (σελ. 364) ἐχρήσατο Ἡλιόδωρος. οὐδὲν δ' ἐκώλυε καὶ τὸ, Εἰσερρῆσαι, τῶν ΑΑ παραλαβεῖν ἀντὶ τούτου· ταὐτὸ γὰρ ἀμφότερα δύναται, τουτέστι τὸ μετὰ βίας εἰσπηδῆσαι. καὶ σημείωσαι ὅτι ἡ αὐτὴ

τῆς γραφῆς διαφορὰ εὕρηται καὶ παρὰ τῷ Κωμικῷ ἐν τούτοις (Ἱππ. 4),

Ἐξ οὗ γὰρ εἰσήῤῥησεν εἰς τὴν οἰκίαν·

ἐν οἷς ταῦτα φησὶν ὁ σχολιαστής· « Ἀντὶ τοῦ εἰσῆλθεν εἰσ-» επήδησεν ... Ἀττικὴ δὲ ἡ λέξις. ἐν ἐνίοις δὲ ἀντιγράφοις, » Εἰσέφρησε, γράφεται, δηλούσης τῆς λέξεως τὸ, Ἐπεπήδη-» σεν, ἔτι δὲ καὶ τὸ μετὰ φθορᾶς εἰσελθεῖν ». — Στ. 4, Ἀλλ' ἤνυέ γε οὐδέν.] Ἔτρεψα τὸν, Τε, εἰς τὸν, Γε. — Στ. 11, Οὐ φέρων.] Οὕτως ἅπασαι, πλὴν τῆς Β, ἐν ᾗ γράφεται, Μὴ φέρων. — Στ. 13, Τοῦ τείχους] Ἐκ τῆς Β καὶ τῶν ΑΑ. ἔοικε δὲ τὸ, Ποῦ, τυπογραφικῶς ἁμαρτηθὲν τὴν ἀρχὴν ἐν τῇ Κ, καὶ εἰς τὰς λοιπὰς ἔπειτα μεταβῆναι. — Στ. 22, Ἀλλ' ὅτε ὁ τρίτος κ. τ. λ.] Ἐν ταῖς ΑΑ γράφεται, Ἀλλ' ὅτε δὲ τρίτος, ἐξ ἀμείνονος οἶμαι γραφῆς τῆς, Ἀλλ' ὅτε δὴ ὁ τρίτος, ὡς αὐτίκα δῆλον γενήσεται. μετωχέτευται δὲ ἐκ τῶν Ὁμηρικῶν πηγῶν· εὐεπίφορος γὰρ ὁ ποιητὴς εἰς τὸ καταλέγειν τὸν ἀριθμὸν τῶν περιαγωγῶν ἐπὶ τῆς πολεμικῆς διώξεως· οἷον (Ἰλιάδ. Π, 705, καὶ Υ, 447),

Ἀλλ' ὅτε ΔΗ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος·

καὶ αὖθις ἐπὶ τοῦ Ἀχιλλέως διώκοντος καὶ καταλαμβάνοντος τὸν Ἕκτορα (Αὐτ. Χ, 208),

Ἀλλ' ὅτε ΔΗ τὸ τέταρτον ἐπὶ κρουνοὺς ἀφίκοντο.

δῆλον οὖν ὅτι καὶ ἐν τῷ προκειμένῳ τοῦ Ἡλιοδώρου χωρίῳ γραπτέον, Ἀλλ' ὅτε δὴ ὁ τρίτος.

Σελ. 263, στ. 2, Βεβλήσεσθαι.] Μετέβαλον τὸ σόλοικον, Βεβλῆσθαι, εἰς τὸ, Βεβλήσεσθαι· δῆλον δὲ καὶ ἐξ ὧν ἐν τοῖς πρόσθεν (σελ. 69) εἴρηκε, « Στῆθι ... οὗτος, ἢ βεβλήσῃ ». οὕτω δὲ καὶ Πλούταρχος (περὶ τοῦ Σωκρ. Δαιμον. § 30), « Ἐβόων ἀφεῖναι, καὶ σώζειν ἑαυτὸν, εἰ δὲ μὴ πεπλήξεσθαι ». ἀντὶ δὲ τοῦ ἐχομένου, Ὡς ἐκ θεάτρου, ἐν τῇ Β μόνῃ γράφεται, Ὥσπερ ἐκ θεάτρου. — Στ. 4, Εἴτε τι δαιμόνιον.] Ἐκ τῶν ΑΑ. — Στ. 23, Ὦ παῖδες.] Οὕτως ἡ Β καὶ αἱ ΑΑ, μετὰ τοῦ κλητικοῦ μορίου.

Σελ. 264, στ. 7, Ἐγυμνώθη μὲν τῶν ἐπιβεβλημένων ῥακῶν.] Ἐκ τοῦ Ὁμηρικοῦ Ὀδυσσέως καὶ ταῦτα (Ὀδυσσ. Χ, 1),

Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς.

Ee 2

Στ. 18, Ἄμφω.] Ἐν τῇ Β γράφεται, Ἅμα. — Στ. 20, Διηκρίβουν τὸν ἀναγνωρισμόν.] Ἔτρεψα τὸ μέσον, Διηκριβοῦντο, εἰς τὸ ἐνεργητικὸν, Διηκρίβουν. ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (σελ. 283), « Διακύψας, ἐπειρᾶτο διακριβοῦν τοὺς » ὁρωμένους ».

Σελ. 265, στ. 3, Ὑπ' ἀγνοίας.] Οὕτως ἡ Β καὶ αἱ ΑΑ. τὸ δὲ τυπογραφικῶς ἁμαρτηθὲν, Ὑπὲρ ἀγνοίας, παρὰ τῷ Κ, παρέλαβον συγκύψαντες ἅπαντες οἱ μετ' αὐτόν. τὸ ἑξῆς, Τοῖς γεγραμμένοις παραπλησίων, ἀπόζει τῆς Ἀριστοφανείου χάριτος· οὕτω γὰρ ἐκεῖνος, σκώπτων τοὺς κολακικοὺς καὶ παλιμβόλους, εἴρηκέ που (Βατρ. 536),

..................... Μετακυλινδεῖν αὑτὸν αἰεὶ
Πρὸς τὸν εὖ πράττοντα μᾶλλον τοῖχον, ἢ γεγραμμένην
Εἰκόν' ἑστάναι, λαβόνθ' ἓν σχῆμα ............

Στ. 5, Κατ' ἴχνος γὰρ ἐφεπομένη κ. τ. λ.] Παρείληφα τὸν, Γὰρ, ἐκ τῶν ΑΑ· οὗτος δὲ, παραληφθεὶς, καὶ τὴν μεταβολὴν τῆς στίξεως ὑπηγόρευε· — Στ. 9, Κἂν πόῤῥωθεν ᾖ.] Ἔτρεψα τὸν διαζευκτικὸν εἰς τὸ ὑποτακτικὸν ὑπαρκτικὸν ῥῆμα. Στ. 15, Ἰδών.] Λείπει τὸ, Ἰδὼν, ἔκ τε τῶν ΚΑ καὶ ΑΑ. — Στ. 20, Διεῤῥάπισεν.] Γραπτέον οἶμαι, Ἐῤῥάπισε· περιττὴ γὰρ ἐνταῦθα ἡ πρόθεσις, καὶ ἔοικεν ἐκ τοῦ προηγησαμένου, ΚΑΙ, συνδέσμου, ἀβλεψίᾳ τῶν ἀντιγραψάντων, προσκολληθῆναι τῷ ῥήματι. σημείωσαι δὲ τὸ ἄτεχνον ἅμα καὶ ἀπίθανον τῆς ῥαπίσεως· πῶς γὰρ εἰκὸς οὕτω βραδὺν γεγονέναι τὸν Θεαγένην εἰς τὸν τῆς ἐρωμένης ἀναγνωρισμὸν, ὀξύτατα καὶ ταῦτα γνωρισάσης αὐτὸν ἐκείνης; — Στ. 22, Καὶ τότε Θεαγένης.] Ἐν ταῖς ΑΑ, Καὶ τότε ὁ Θεαγένης, μετὰ τοῦ ἄρθρου. περιττὸς δὲ ὁ, Καί. λείπει δὲ καὶ ἐξ ἀμφοτέρων τῶν μεταφράσεων. — Στ. 23, Τῶν συγκειμένων αὐτοῖς συμβόλων.] Ὧν ἐμνημόνευσεν ἐν τοῖς πρόσθεν (σελ. 180).

Σελ. 266, στ. 2, Ὥσπερ ὑπ' ἀκτῖνος ἐκ νεφῶν διαττούσης.] Οὕτως αἱ ΔΑ362, ᾗ γραφῇ κατηκολούθησε καὶ ὁ Μ. Στ. 14, Αὐτοῖς.] Οὕτω διώρθωκα τὸ χωρίον. συνᾴδει δέ μου τῇ διορθώσει καὶ ὁ Α, *Leur fut autheur et mediateur de paix.* Στ. 23, Ἐπήκμαζον.] Ἐκ τῶν ΚΑ.

Σελ. 267, στ. 13, Τοὺς μὲν Βησσαεῖς.] Ἴσως ἡμάρτηται

γραφικῶς τὸ, Βησσαεῖς· ἴσως δὲ καὶ αὐτὸς Ἡλιόδωρος ἐπελάθετο τοῦ Ἀττικίζειν ἐνταῦθα. τὰς γὰρ αἰτιατικὰς πληθυντικὰς τῶν εἰς ευς διὰ τοῦ εας ἐκφέρουσιν οἱ Ἀττικοὶ, Βασιλέας, λέγοντες, καὶ, Ἱερέας, ἵνα μὴ συνεμπίπτωσι ταῖς ὀνομαστικαῖς, Βασιλεῖς, καὶ, Ἱερεῖς. ὤφειλεν οὖν εἰπεῖν καὶ, Βησσαέας, ὡς εἴρηκεν ἐν τοῖς πρόσθεν (σελ. 257), καὶ οὐ Βησσαεῖς, ᾧπερ ὀρθῶς ἐχρήσατο κατ' ὀνομαστικὴν ἀνωτέρω (σελ.258). — Στ. 14, Γινομένην.] Ἔτρεψα τὸν ἀόριστον εἰς τὸν ἐνεστῶτα, ἵνα τὸ, Γιγνομένην, σημαίνει τὸ, προσήκουσαν, ὀφειλομένην. εἴρηκα δὲ περὶ ταύτης τῆς σημασίας καὶ ἀνωτέρω (σελ. 225). — Στ.17, Καὶ εἰς πληρουμένην.] Περιττὸς ὁ, Καὶ· λείπει δὲ καὶ ἐκ τῆς Β. — Στ. 18, Ἀποστελεῖν.] Γραπτέον, ὡς διώρθωκα, Ἀποστελεῖν, ἢ γοῦν κατὰ τὸν ἀόριστον, Ἀποστεῖλαι, ὃν παρεμφαίνει πως καὶ ἡ ἡμαρτημένη γραφὴ τῆς Β, Ἀποστείλειν. — Στ. 22, Ἐκ θατέρων.] Σόλοικον τὸ, Ἐκ θατέρων, καίπερ ἐν ἅπασιν οὕτως ἐμφερόμενον· ἔστι γὰρ, Ἐκ τῶν ἑτέρων, ὅπερ οὐκ ἐπιδέχεται τὴν τοιαύτην συναίρεσιν. γραπτέον οὖν, Ἐκ θατέρου, συνυπακουομένου τοῦ, Μέρους.

Σελ. 268, στ. 6, Ἴσειον.] Ἐδιφθογγογράφηκα τὸ Ἴσειον, ἐπειδὴ καὶ ἐν τοῖς ἑξῆς (σελ. 273) διφθογγογραφεῖται. οὐδ' οὕτω μέντοι ἔρρωται ἡ λέξις· ὤφειλε γὰρ εἶναι, Ἰσίδειον, ὁ ναὸς τῆς Ἴσιδος, ὡς λέγεται, Θετίδειον, ὁ ναὸς τῆς Θέτιδος. τοὺς δὲ τοιούτους σχηματισμοὺς, οὐ τοῖς ἀντιγράψασι μᾶλλον ἢ αὐτοῖς τοῖς συγγράψασιν εἰκὸς κεκαινοτομῆσθαι. Στ. 10, Καθαρὸν τὸ ἡδόμενον.] Καθαρὰν τὴν ἡδονήν· τοῦτο γὰρ βούλεται λέγειν, μετοχὴν ἀντ' ὀνόματος παραλαβών. εἴρηκα δὲ περὶ τῆς τοιαύτης χρήσεως ἐν τοῖς πρόσθεν (141). παρέλιπον δὲ τὴν λέξιν, Εὐθύμημα τοῦ Κ, οὐχ ὡς τῷ σχηματισμῷ ξένην, ἐπεὶ καὶ Λουκιανὸς εἴρηκέ που (Εἰκόν. § 22), Εὐδαιμόνημα· ἀλλ' ὡς λείπουσαν ἔκ τε τῶν ΚΑ καὶ τῶν ΑΑ, ἄλλως τε ἐπεξήγησιν οὖσαν τοῦ, Ἡδόμενον. — Στ. 17, Ἐκθανεῖν.] Τουτέστι, λειποθυμῆσαι, ὡς ἐν τοῖς πρόσθεν (σελ. 171) ἐξηγησάμεθα. οἴεται δὲ ὁ Μ τὸν Ἡλιόδωρον ἐνταῦθα ἐξ Εὐριπίδου (Ἑκάβ. 246) μετενεγκεῖν τὴν λέξιν, εἰρηκότος,

Ὥστ' ἘΝΘΑΝΕΪΝ γε σοῖς πέπλοισι χεὶρ' ἐμήν.

ἀλλὰ τὴν Εὐριπίδειον ταύτην ῥῆσιν, ἡμαρτημένην τῇ γραφῇ, οὕτω διορθωτέαν εἶναι ὑπολαμβάνομεν,

Ὥστ' ἘΜΒΑΛΕΪΝ γε σοῖς πέπλοισι χεὶρ' ἐμήν.

ψυχρὸν γὰρ ἀτεχνῶς, καὶ Εὐριπίδου ἀλλότριον, ἡ τοῖς πέπλοις ἐνθνήσκουσα χείρ. — Στ. 22, Τὴν τελευταίαν.] Ἡ γραφὴ ἔκ τε τῶν ΚΑ καὶ ΑΑ. συνυπακουστέον δὲ τὸ, Ἡμέραν, ἣ δῆλον ἐξ Εὐριπίδου (Ἀνδρομ. 100),

Χρὴ δ' οὔποτ' εἰδέν' ὄλβιον βροτῶν,
Πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς
Ὅπως περάσας ἡμέραν ἥξει κάτω.

ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (σελ. 334) Ἡλιόδωρος ἐλλειπτικῶς, « Τῆς τελευταίας προσδοκωμένης ». — Στ. 23, Τὸν δὲ παῖδα . . . χρεωστεῖσθαι.] Εἴρηται περὶ ταύτης τῆς συντάξεως ἐν τοῖς πρόσθεν (192). — Στ. 25, Ἱκανῶς ἔχειν.] Οὕτως ἡ Β, δίχα τοῦ, Τε.

Σελ. 269, στ. 1, Τὰς τῆς ἱερωσύνης.] Προσέθηκα τὸ ἕτερον ἄρθρον, τοῦ Ἑλληνισμοῦ τὴν προσθήκην ὑπαγορεύοντος. Στ. 9, Ἑαυτοῦ.] Ἐκ τῶν ΚΑ. — Στ. 14, Ἦλθε.] Ἐν τῇ Β, Προῆλθε. — Στ. 15, Ἵεται.] Οὕτω κατ' ἐνεστῶτα αἱ ΚΑ καὶ ΑΑ. εἴρηκε δὲ καὶ ἐν τοῖς πρόσθεν (σελ. 265), « Ἐμμανὴς ἐπ' αὐτὸν ἵεται . . . καὶ ἐξήρτητο », ἐνεστῶτα τῷ παρῳχημένῳ συμπλέξας. — Στ. 20, Ἀνακαόμενον.] Ἐφύλαξα τὴν γραφὴν τῆς Β (ἣν φέρουσι καὶ αἱ ΔΑ 288), ὡς Ἀττικωτέραν. οἱ γὰρ Ἀττικοὶ, Κλάω, καὶ Κάω, φασὶν, οὐ Κλαίω, καὶ Καίω. ἐρεῖ δὲ καὶ προϊὼν (σελ. 312), Ἐξέκαε, ἀντὶ τοῦ, Ἐξέκαιε. ἀντὶ δὲ τῶν ἐχομένων, Παννύχιος γοῦν, ἐν ταῖς ΚΑ, γράφεται, Παννύχιον (ἐπιῤῥηματικῶς) οὖν. — Στ. 21, Στρέφουσα.] Τὸ ἡμαρτημένον Διαστρέφουσα (ὧπερ ὀρθῶς χρήσεται ἐν τοῖς ἑξῆς σελ. 297) διχῶς ἄν τις διορθώσαιτο, ἤτοι ἁπλῶς, Στρέφουσα, ἢ προθετικῶς, Μεταστρέφουσα. προειλόμην τὸ πρῶτον· ἐπεὶ καὶ ἔοικε παρῳδῆσθαι ἐκ τῆς ἐπὶ Πατρόκλῳ Ἀχιλλέως διὰ λύπην ἀϋπνίας (Ἰλιάδ. Ω, 3),

. . . . . . . . . . . . . . . . . . . . . . Αὐτὰρ Ἀχιλλεὺς
Κλαῖε φίλου ἑτάρου μεμνημένος· οὐδέ μιν ὕπνος
Ἥρει πανδαμάτωρ, ἀλλ' ἐστρέφετ' ἔνθα καὶ ἔνθα,

καὶ μετ᾽ ὀλίγα (Αὐτ. 10),

Ἄλλοτ᾽ ἐπὶ πλευρὰς κατακείμενος, ἄλλοτε δ᾽ αὖτε
Ὕπτιος, ἄλλοτε δὲ πρηνής. τότε δ᾽ ὀρθὸς ἀναστὰς
Δινεύεσκ᾽ ἀλύων κ. τ. λ.

εἴρηκε δὲ καὶ Ἀριστοφάνης (Νεφελ. 36),

Τί δυσκολαίνεις, καὶ στρέφει τὴν νύχθ᾽ ὅλην;

Σελ. 270, στ. 9, Καὶ οἷον συνεξάπτοντος.] Ψυχρὸν ἐπιεικῶς, ὁ συνεξάπτων λύχνος τὸν ἔρωτα. — Στ. 10, Τί σε νέον ἢ καινὸν κ. τ. λ.] Ταυτολογίαν ἡγησάμενος ὁ Τριλλέρος (Κριτ. Παρατηρ. σελ. 214) τὸ Καινὸν, παρατεθειμένον τῷ, Νέον, τετραχῶς ἐπεχείρησε διορθοῦν τὸ χωρίον, Νέον ἢ ξένον, Νέον ἢ καῖνον (τουτέστι, φονικὸν, παρὰ τὸ Καίνω τὸ φονεύω), Νέον ἢ καίριον, καὶ τέλος, Νέον ἢ αἰνὸν (τουτέστι δεινόν). βαβαὶ τῆς ἀφθονίας, ἢ μᾶλλον εἰπεῖν, τῆς ἀσωτίας τῶν διορθώσεων, φαίη τις ἂν ἐπερχόμενος ταῦτα οὐκ ἀπεικότως· ἡ μὲν γὰρ πρώτη οὐκ ἀναγκαία, ἐπεὶ καὶ αὐτὸ τὸ Καινὸν, τὸ ξένον καὶ παράδοξον σημαίνει, αἱ δὲ λοιπαὶ πρὸς τῷ περιττῷ καὶ ἀηδές τι καὶ βάρβαρον ὄζουσιν. ἀλλὰ τοιοῦτος ὁ Τριλλέρος ἐν ταῖς πλείσταις τῶν αὐτοῦ διορθώσεων, ἀνὴρ τἄλλα πολυμαθέστατος καὶ ἄριστος Ἰατροφιλόσοφος. — Στ. 14, Ἐράσμιον.] Ἐν ταῖς ΔΑ134, Ἐρασμίαν. — Στ. 22, Ὠσί.] Παρείληφα τὴν διόρθωσιν τοῦ Μ, ἱκανῶς αὐτὴν δόξας πιστοῦσθαι τοῖς τε πρόσθεν εἰρημένοις (σελ. 250) «Πολ-»λὰ τοῖς ὠσὶν αὖθις ἐπᾴδουσα», καὶ ᾧ φησι Θεόφραστος (Χαρακτ. κεφ. Β.) περὶ τῶν ἐπιτρίπτων κολάκων, ὁποία ἦν ἡ Κυβέλη, «Πρὸς τὸ οὖς προσπίπτων ψιθυρίζειν»· ἀλλ᾽ ὅμως νῦν, οἱονεὶ παλινῳδοῦντι, ἄμεινον εἶναί μοι δοκεῖ κατὰ χώραν ἐᾶν τὴν γραφὴν, ἢ γοῦν ἐπέχειν περὶ τῆς διορθώσεως. ἔοικε γὰρ μεταφορικῶς τὸ περὶ τῆς Κυβέλης εἰρῆσθαι ἀπὸ τῶν μετὰ κνυζηθμοῦ (τοῦτο δ᾽ ἐστὶ μεθ᾽ ὑλακῆς ὀδυρτικῆς) περισαινόντων κυνῶν. λέγει δὲ καὶ Φιλόστρατος ἐν προοιμίῳ τῶν Ἡρωϊκῶν (σελ. 662), «Ὁ κύων οὗτος τί ἐθέλει; περίεισι γάρ με »ΠΡΟΣΚΝΥΖΟΜΕΝΟΣ ΤΟΙΣ ΠΟΣΙ, καὶ παρέχων »τὸ οὖς ἁπαλόν τε καὶ πρᾶον». ταὐτὸ δὲ τοῦτο καὶ περὶ λέοντος εἴρηκεν, ἐν Ἀπολλωνίου βίῳ (Ε, μϐ᾽), «Προσελ-»θὼν δὲ τῷ Ἀπολλωνίῳ, καθημένῳ ἐς τὸ ἱερὸν, τοῖς τε »γόνασιν αὐτοῦ προσεκνυζᾶτο, καὶ ἐλιπάρει παρὰ πάντας

» ἀνθρώπους ». ἐκ τούτων δὲ δῆλον ὅτι ἐν τῷ προκειμένῳ τοῦ Ἡλιοδώρου χωρίῳ οὐκ ὀρθῶς Προσκνιζομένη διὰ τοῦ ι γράφεται, καίπερ ἐγκρίνοντος τὴν γραφὴν τοῦ Μ, καὶ ἑρμηνεύοντος τοῦ Α διὰ τοῦ, *En luy gratant les piedz*, παρὰ τὸ Κνίζω δηλονότι, ὃ συνωνυμεῖ πως τῷ Κνήθω. — Στ. 23, Παντοίαις κολακείαις ... ἐπαγομένη.] Οὕτως αἱ ΚΑ. — Στ. 25, Πρὸς σοῦ.] Ἐν ταῖς ΔΑ457, γράφεται, Προτοῦ· εἰκάζει δὲ Δορβίλλος, μήποτε ἀμφότερα ἐγέγραπτο τὴν ἀρχὴν, Προτοῦ πρὸς σοῦ, τουτέστι, πρότερον ὑπὸ σοῦ.

Σελ. 271, στ. 1, Εὖ παθοῦσα.] Κακῶς ἐν ταῖς ΔΑ457 διὰ μιᾶς λέξεως, Εὐπαθοῦσα. — Στ. 3, Ὀλίγου.] Κακῶς ἐν ταῖς ΔΑ85, Ὀλίγον. — Στ. 7, Οὐ μέρους μόνον ἢ μέλους.] Περιείργασται ἡ φράσις· εἰ γὰρ καὶ διαφέρει τὸ μέρος τοῦ μέλους, ὡς τὸ μὲν μέλος καὶ μέρος πάντως εἶναι τοῦ σώματος, οὐκέτι δ' ἔμπαλιν καὶ τὸ μέρος· ἀλλ' ἐνταῦθα τὸ τραῦμα τοῦ μέλους κακοζήλως ἀντιδιαστέλλεται πρὸς τὸ τραῦμα τοῦ μέρους. ἴσως δὲ καὶ τῶν ἀντιγραφέων ἀβλεψίᾳ παρεισέδυ τὸ Μέρους, προσγεγραμμένον τὸ πάλαι ὡς ἐπεξήγησις, ἢ διάφορος γραφή. — Στ. 10, Ὦ μῆτερ.] Ἐν ταῖς ΔΑ 238 γράφεται ὑποκοριστικῶς, Ὦ μητέριον· εἰκοτολογεῖσθαι δ' ἂν ἔχοι ἡ τοιαύτη γραφὴ ἐκ τῶν μικρὸν ἔπειτα (σελ. 271) ῥηθησομένων, Μαμμίδιον, καὶ, Κυβέλιον. — Στ. 11, Οὐδὲ γάρ.] Ἐκ τῶν ΑΑ. — Στ. 14, Μήτι γε.] Ἐκ τῶν ΚΑ. — Στ. 15, Ὥρα δέ σοι κινεῖν πᾶσαν μηχανὴν κ. τ. λ.] Ἐκ τοῦ Κωμικοῦ (Σφηκ. 346),

Ἀλλ' ἐκ τούτων ὥρα τινά σοι ζητεῖν καινὴν ἐπίνοιαν.

Στ. 24, Ἐπέραστον.] Προσέθηκα τὴν κακῶς παραλειφθεῖσαν ὑφ' ἁπάντων πρόθεσιν, ὡς δῆλον ἐξ ὧν ἐρεῖ μετ' ὀλίγον (σελ. 277), « Εὐσχήμων ὄψις ἅμα καὶ ἐπέραστος ».

Σελ. 272, στ. 5, Μαμμίδιον.] Μαμμίαν ἐκάλουν οἱ Ἀττικοὶ τὴν μητέρα, οἷον παρὰ τῷ Κωμικῷ (Λυσιστρ. 778),

......Οὗτος, οὐ καλεῖς τὴν μαμμίαν;

ἐλέγετο δὲ καὶ Μάμμη (ὅθεν τὸ τῶν Ἰταλῶν, *Mamma*, καὶ τὸ τῶν Γάλλων, *Maman*). ὕστερον δὲ τοῖς αὐτοῖς τούτοις ὀνόμασιν ἐκλήθη καὶ ἡ τῆς μητρὸς ἢ τοῦ πατρὸς μήτηρ, ἡ ἄλλως Τήθη λεγομένη. καὶ ἡ συνήθεια, δὲ Μάμμην ἢ Μαμμὴν καλεῖ

καλεῖ τὴν Τήθην· τὴν δὲ μητέρα ὡς ἐπὶ τὸ πολὺ Μάνναν ὀνομάζει, οὗ τὸ ὑποκοριστικὸν, Μαννάριον, εὕρηται παρὰ τῷ Λουκιανῷ (Ἑταιρ. διαλ. ϛ´ καὶ ζ´.). — Στ. 7, Ἀπ᾿ οἰκήματος, ἐπὶ μικρῷ κ. τ. λ.] Ἐν ἅπασιν, Ἀπ᾿ οἰκήματος, πλὴν τῶν ΑΑ, ἐν αἷς γράφεται, Ἀπ᾿ οἰκημάτων. τὸ δὲ, Ἐπὶ μικρῷ, παρείληφα ἐκ τῶν ΚΑ. συνέχεαν γὰρ οὐχ ἅπαξ οἱ Ἀντιγραφεῖς τὸ, Μικρὸν καὶ, Μακρὸν, ὡς καὶ ἐν τῷδε τοῦ Λουκιανοῦ τῷ χωρίῳ (Νιγρίν. 8), « Παῦε, ὦ θαυμάσιε, μικρὸν ἀνακρουό-» μενος », ὅπου γραπτέον, Μακρόν. ἀλλ᾿ ἐπὶ τὸν Ἡλιόδωρον ἐπανίωμεν. Οἴκημα ἐνταῦθα σημαίνει τὸ πορνεῖον, οὕτως ὀνομασθὲν τοῖς Ἀττικοῖς κατ᾿ εὐφημισμόν. διὰ δὲ τὸν αὐτὸν τοῦτον εὐφημισμὸν, Οἴκημα, προσέτι ἔλεγον καὶ τὸ δεσμωτήριον, καθὰ παρὰ τοῖς Γάλλοις, Οἰκημάτια (*Petites maisons*) πληθυντικῶς καλεῖται τὸ δεσμωτήριον τῶν μαινομένων. ἔστιν οὖν ὁ νοῦς τοῦ χωρίου, εἰ μὴ ἡμάρτηται ἡ γραφὴ, οὗτος· Τὴν ἀλιτήριον ἐκείνην, καὶ μίαν τῶν ἀπὸ τοῦ πορνείου, τὴν φανταζομένην μὲν, ἤγουν κομπάζουσαν καὶ ἐπαιρομένην, ἐπὶ κάλλει μικρῷ καὶ τῶν πολλῶν καὶ ἐπιτετηδευμένῳ, πλὴν ἀλλ᾿ ἐμοῦ κ. τ. λ. καὶ σημείωσαι τὸ, Φανταζομένην, τεθειμένον ἐπὶ τῆς αὐτῆς ταύτης σημασίας, ἐφ᾿ ἧς τέτακται καὶ ἐν τῇ συνηθείᾳ· φαμὲν γὰρ, Φαντάζεται εἰς τὸ κάλλος, εἰς τὸ γένος, εἰς τὸν πλοῦτόν του κ. τ. λ. ἀντὶ τοῦ, Ἐπαίρεται, μέγα φρονεῖ. τούτου δὲ χρῆσιν ἀρχαίαν παρ᾿ Ἡροδότῳ ἅπαξ ἔστιν εὑρεῖν (Ζ, ι´) « Ὁρᾷς τὰ ὑπερέχοντα ζῶα ὡς κεραυνοῖ » ὁ θεὸς, οὐδὲ ἐᾷ φαντάζεσθαι ». οὕτω δ᾿ ἐκληπτέον εἶναι καὶ παρ᾿ ἐκείνῳ τὸ, Φαντάζεσθαι, αὐτὸς Ἡρόδοτος ἐδήλωσε δι᾿ ὧν μετ᾿ ὀλίγα φησὶν, « Οὐ γὰρ ἐᾷ φρονέειν ἄλλον μέγα ὁ θεὸς » ἢ ἑωϋτόν ». — Στ. 9, Δὴ εὐτυχοῦσαν.] Ἐν ταῖς ΔΑ681, διὰ μιᾶς λέξεως ἡμαρτημένως, Διευτυχοῦσαν. τὸ δὲ, Ἢ τοιοῦτον, τοῦ Κ (ὃ χειρόνως ἔτι, Ἢ τοιοῦτον, παρά τισιν ἄλλοις γράφεται), ἔτρεψα εἰς τὸ, Εἰ τοιοῦτον, ταύτην δὲ τὴν γραφὴν ἐξέφρασε καὶ ὁ Α, *Si elle jouyst d'un tel amy*. — Στ. 14, Χρυσᾶ, φασι, χαλκείων.] Παροιμιῶδες, ᾧ χρήσεται καὶ αὖθις (σελ. 350), ἐξ Ὁμήρου λαβὼν (Ἰλιάδ. Ζ, 235),

......................Τεύχε᾿ ἄμειβε
Χρύσεα χαλκείων, ἑκατόμβοι᾿ ἐννεαβοίων.

Στ 15, Ἐθελάστειον.] Τουτέστιν, ἐπιτετηδευμένως ἀστειευόμενον. ἴσως δὲ περιγραπτέον τὸ προηγησάμενον ἄρθρον, ἵνα ᾖ τὸ ἑξῆς, Ὡς ἑταιρίδιον ἐθελάστειον. — Στ. 16, Εἰ γὰρ τοῦτο ποιήσειας.] Οὕτως αἱ ΔΑ536, Τοῦτο, ἀντὶ τοῦ, Οὕτω. ἀντὶ δὲ τοῦ παρὰ πᾶσι, Ποιήσειας, ἡ Β, Ποιήσεις, κατὰ μέλλοντα ὁριστικόν· ὃ καὶ ἄμεινον. ἀλλὰ τηνικαῦτα ὑποστιγμῇ μόνῃ διασταλτέον εἰς τὸ, Φίλτατον, ἵνα μὴ εὐκτικῶς, ἀλλὰ συναπτικῶς ἐκληφθῇ τὸ, Εἰ, οἷον, Εἰ γὰρ τοῦτο (ἤ, Οὕτω) ποιήσεις, γενήσῃ κ. τ. λ. καθάπερ ἐξεδέξαντο ὅ, τε Λ καὶ ὁ Α. — Στ. 19, Τὸν μέν.] Οὕτω διορθοῦν ἔγνωκα τὸ, Τοῦ μέν· τὸ γὰρ, Ἐμπλῆσαι τὴν Ἀρσάκην ἔρωτος, ἀκύρως ἂν λέγοιτο, ἐπεὶ οὐκ ἔρωτος ἔχρῃζεν, ἀλλὰ τοῦ Ἐμπλῆσαι τὸν ἔρωτα, διὰ τῆς τοῦ ἐρωμένου ἀπολαύσεως. — Στ. 22, Δυσθυμοῦσα.] Ἔτρεψα τὴν αἰτιατικὴν εἰς τὴν ὀνομαστικήν· τοῦτο γὰρ ὑπαγορεύει καὶ τὸ ἑπόμενον, Εὔελπις, καὶ ἁπλῶς τὰ ἀπαρέμφατα, ἡνίκα ἀντὶ προστακτικῶν λαμβάνεται. ἔστι γὰρ ταὐτὸν ὥσπερ ἂν εἰ ἔλεγε, Μηδὲ δυσθυχοῦσα προαπόκαμνε, ἀλλ' εὔελπις ἔσο. — Στ. 23, Εὔελπις εἶναι.] Παρείληφα τὴν γραφὴν ἐκ τῶν ΚΑ καὶ ΑΑ, δι' ἅπερ ἔφθην εἰρηκώς.

Σελ. 173, στ. 8, Ἔκ τινων ὀνειράτων τεταραγμένης.] Ἔθος γὰρ ἦν ἀποδιοπομπεῖσθαι τὰ ἐξ ὀνειράτων ὑπονοούμενα κακὰ, θυσίαις τε καὶ ἄλλαις τελεταῖς. οὕτω καὶ Κλυταιμνήστρα, τεταραγμένη δι' ὄνειρον, χοὰς πέμπει, διὰ τῆς ἰδίας θυγατρὸς εἰς τὸν τοῦ ἀνδρὸς τάφον (Σοφοκλ. Ἠλέκτρ. 425). καὶ Ἄτοσσα δὲ, καθ' ὕπνους ἰδοῦσα Δαρεῖον τὸν ἑαυτῆς ἄνδρα, Περσῶν δὲ βασιλέα, τῷ βωμῷ προστρέχει (Αἰσχύλ. Περσ. 203),

.................Ἀποτρόποισι δαίμοσι
Θέλουσα θῦσαι πέλανον............

Στ. 17, Ἄχρι τοῦ παρόντος ὄψονται τὸν πατέρα.] Ἴσως ταῦτα ἐκ τῆς Εὐαγγελιστικῆς ἰδέας (Ἰωάνν. ιϛʹ, 16), « Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν, καὶ ὄψεσθέ » με ». καὶ εἴη ἂν τοῦτο παρῳδίας κατάχρησις οὐ πάνυ τι πρέπουσα Ἡλιοδώρῳ. — Στ. 21, Γίγνηται.] Οὕτως ἔγραψα διὰ τὸν προηγησάμενον, Ἄν. — Στ. 25, Διαφορηθέν-

τος.] Τὸ, Διαφθαρέντος, τῶν ΑΑ, ἐπεξήγησίς ἐστι τοῦ, Διαφορηθέντος. σημαίνει δὲ παρ' ἰατροῖς ἡ διαφόρησις τὴν διασκέδασιν καὶ τὴν ἐξάτμισιν τῶν χυμῶν τοῦ σώματος, τὴν διὰ τῆς ἀδήλου γιγνομένην διαπνοῆς. διαφοροῦνται δὲ μάλιστα οἱ χυμοὶ ὑπὸ τῆς χαρᾶς, ἣν διὰ τοῦτο καὶ Διάχυσιν οἰκείως πάνυ καὶ φυσιολογικῶς ἐκάλεσαν οἱ Ἀρχαῖοι· καὶ Ἡλιόδωρος δὲ προϊὼν (σελ. 279) την τοῦ προσώπου διάχυσιν, ὡς ἡδομένης ψυχῆς τεκμήριον παραστήσει. ἐξ ἐναντίας δὲ τὸν σύννουν τε καὶ πρὸς τὸ σεμνότερον ἐῤῥυθμισμένον, Ἀδιάχυτον, ἐκάλεσεν Ἱπποκράτης (περὶ Εὐσχημοσ. Τομ. Α, σελ. 53), ὅπερ οὐδείς πω τῶν ἐξηγησαμένων τὰ Ἱπποκράτους συνῆκε. καὶ αὐτὴν δὲ τὴν Χαρὰν ὁ Πλάτων (Κρατύλ. σελ. 419) παρὰ τὸ, Χέειν, εἰρῆσθαι βούλεται, « Χαρὰ δὲ, τῇ διαχύσει καὶ εὐπορίᾳ τῆς ῥοῆς τῆς ψυχῆς » ἔοικε κεκλημένη ». ὅταν μὲν οὖν χαίρῃ μετρίως ἡ ψυχὴ, μετρίας γιγνομένης τῆς διαφορήσεως, εἰκὸς ὑγιαίνειν τὸ σῶμα· τῷ δὲ τῆς χαρᾶς ἀμέτρῳ ἀμέτρως εὐρυνομένων τῶν πόρων, καὶ τῶν χυμῶν ἀθρόον ἐκκενουμένων, ἐκλύεται ὁ τόνος τοῦ σώματος. εἰ δὲ καὶ ἀπροσδόκητος ἐμπέσοι, καὶ σώματι γηραλέῳ, καὶ λειποθυμίας, καὶ θανάτους αἰφνιδίους οἷά τε ἐπιφέρειν ἡ περιχάρεια.

Σελ. 274, στ. 4, Μετακαλέσοντας.] Ἔτρεψα τὸν σόλοικον ἀόριστον εἰς τὸν μέλλοντα. — Στ. 8, Οὐ γὰρ θέμις κ. τ. λ.] Φέρειν γάρ τι μιάσματος ὑπελάμβανον οὐ μόνον τοὺς νεκροὺς, ἀλλὰ καὶ αὐτοὺς τοὺς τὰ λοίσθια πνέοντας. διὸ καὶ ἡ παρὰ τῷ Εὐριπίδῃ Ἄρτεμις τὸν Ἱππόλυτον, ἀποθανούμενον ὅσον οὔπω, καταλιμπάνουσα, λέγει (Ἱππολ. 1437),

Καὶ χαῖρ'· ἐμοὶ γὰρ οὐ θέμις φθιτοὺς ὁρᾶν,
Οὐδ' ὄμμα χραίνειν θανασίμοισιν ἐκπνοαῖς.

καὶ τῆς Ἀλκήστιδος δὲ ψυχοῤῥαγούσης ἀπέρχεται τοῦ οἴκου ὁ Ἀπόλλων, καὶ τὴν αἰτίαν σημαίνει (Ἀλκ. 22),

Ἐγὼ δὲ, μὴ μίασμά μ' ἐν δόμοις κιχῇ,
Λείπω μελάθρων τήνδε φιλτάτην στέγην.

ὅθεν καὶ, Καταμιαίνεσθαι, ἔλεγον τὸ ἐν πένθει εἶναι, τὰ πένθιμον στολὴν ἀναλαμβάνειν (Ἡροδοτ. ς, 58), καὶ, Μιαρὰς ἡμέρας, ᾗ φησιν Ἡσύχιος, ἐκείνας τοῦ Ἀνθεστηριῶνος μηνὸς,

ἐν αἷς τὰς ψυχὰς τῶν κατοιχομένων ἀνιέναι ἐδόκουν. τὰς δὲ τοιαύτας δεισιδαιμονίας διασύρει Θεόφραστος ἐν τοῖς Χαρακτῆρσι (κεφ. ιϛʹ). — Στ. 10, Ἑπτὰ τούτων ... ἡμερῶν.] Παραπλήσιόν τι καὶ οἱ τῆς Συρίας θεοῦ ἱερεῖς, οἱ καλούμενοι Γάλλοι, ἐποίουν, ᾗ φησι Λουκιανὸς (περὶ τῆς Συρ. Θεοῦ § 52), « Ἐὰν ἀποθάνῃ Γάλλος, οἱ ἑταῖροί μιν ἀείραντες » εἰς τὰ προάστεια φέρουσι ... φυλάξαντες δὲ ἑπτὰ ἡμερέων » ἀριθμὸν, οὕτω ἐς τὸ ἱρὸν ἐσέρχονται· πρὸ δὲ τουτέων, ἢν » ἐσέλθωσι, οὐκ ὅσια ποιέουσι κ. τ. λ. ». — Στ. 12, Πλησίον.] Οὕτω διώρθωκα τὸ ἀδιανόητον, Πλεῖστον, ὃ καὶ παρέλιπεν ὅλως, καλῶς ποιῶν, ὁ Λ. ὁ δὲ Α τὴν ἡμετέραν διόρθωσιν ἐννοῆσαι καὶ αὐτὸς ἔοικεν, ἐκφράσας, *Qu'on leur accoustrast un logis icy au plus pres.* — Στ. 15, Προΐασι.] Ἐκ τῆς Β. σημαίνει δὲ τοῦτο, Ἐξίασι, ἐξέρχονται, τοῦ ναοῦ δηλονότι, ἀπὸ τοῦ Πρόειμι. ταύτῃ δὲ τῇ γραφῇ κατηκολούθησε καὶ ὁ Α, *Les voicy qui s'en sortent*, καίπερ τῶν ΑΑ τὸ παρὰ τοῖς λοιποῖς, Προσίασι, φερουσῶν. καὶ ὁ Λ δὲ τὸ Προΐασιν ἡρμήνευσε διὰ τοῦ *Cedunt.* — Στ. 16, Ἱερῶν.] Ἐν τῇ Β καὶ ταῖς ΑΑ γράφεται Ἰωνικῶς, Ἱρῶν. σεσημειώσθω δὲ τοῦτο δι' οὓς ἐν τοῖς πρόσθεν (σελ. 182 καὶ 183) ἐξήλειψα Ἰωνισμούς. Στ. 23, Κατὰ πρόσταγμα τοῦ Θυάμιδος ἐν ἡμετέρῳ κ. τ. λ.] Ἀντὶ τοῦ, Κατὰ πρόσταγμα, ἐν ταῖς ΑΑ γράφεται, Κατὰ τὸ πρόσταγμα. διώρθωκα δὲ τὸ παρὰ πᾶσιν, Ἡμετέρου, μεταβαλὼν εἰς τὸ, Ἡμετέρῳ, περὶ οὗ εἴρηται ἀρκούντως ἐν τοῖς πρόσθεν (σελ. 199). — Στ. 25, Βυσσοδομευομένων.] Ὁμηρικῶς καὶ τῇ λέξει καὶ τῇ διανοίᾳ· οὕτω γὰρ ἐκεῖνος περὶ τῶν τῆς Πηνελόπης μνηστήρων (Ὀδυσσ. Ρ, 66),

Ἔσθλ' ἀγορεύοντες, κακὰ δὲ φρεσὶ βυσσοδόμευον.

Σελ. 275, στ. 5, Καθικετεύσειν.] Ἐν ταῖς ΑΑ γράφεται κατὰ τὸν ἀόριστον, Καθικετεῦσαι. εἰκὸς δ' ἀμφοτέρας τὰς γραφὰς ἡμαρτῆσθαι· ἐν μὲν γὰρ τοῖς πρόσθεν (σελ. 242), « Πολλὰ τὸν πατέρα ἐπιτρέψαι καθικετεύσασα », καὶ (σελ. 250), « Πολλὰ τὸν Καλάσιριν καθικέτευε », τὸ Καθικετεύω, οὐδεμιᾶς ἔχρῃζεν ἑρμηνείας· ἐνταῦθα δὲ τὸ ξένως εἰρημένον, Τοῖς αἰτοῦσι τὴν χάριν καθικετεύσειν, αἰνίγματι ἔοικεν Οἰδίποδος χρῄζοντι. ὤφειλε γὰρ εἰπεῖν, Καταθήσεσθαι, Ὑπο-

ἄρξειν, ἢ γοῦν Καθυπουργήσειν, Καθυπηρετήσειν, ἢ ἄλλο τι τοιοῦτον. μήποτε οὖν Κατοικετεύσειν, ἐγέγραπτο τὴν ἀρχήν· ἔστι μὲν γὰρ οὐ πάνυ τι σύνηθες οὐδὲ τὸ, Κατοικετεύω· ἀλλ' οὖν τὸ ἁπλοῦν, Οἰκετεύομαι, κατὰ μέσην διάθεσιν, ἐξ Ἡσυχίου λαβὼν ὁ Στέφανος (Θησαυρ. Τομ. Β, σελ. 1220) ἐξηγεῖται διὰ τοῦ, Οἰκέτης εἰμὶ, δουλεύω, ὑπηρετῶ. καὶ σημείωσαι, ὅτι καὶ Ὑπηρέτημα, ἢ Ὑπούργημα, ἔλεγον τὴν χάριν αὐτὴν (ὡς καὶ ἐν τῇ συνηθείᾳ χρώμεθα τῷ, Δούλευσις, ὅπερ οἱ Γάλλοι Service ἐπὶ τῆς αὐτῆς σημασίας λέγουσι), καὶ Ἀνθυπηρετεῖν, ἢ Ἀνθυπουργεῖν, τὸ ἀντιχαρίζεσθαι. — Στ. 6, Ἰδών.] Παρείληφα τὴν μετοχὴν ταύτην ἐκ τῶν ΔΑ707, ἐξ ὧν ἔλαβε καὶ ὁ Μ. — Στ. 10, Ὃν χαίροντας καὶ εὐφημοῦντας κ. τ. λ.] Παρῴδηται ἐκ μὴ σωζομένου δράματος Εὐριπίδου ἡ διάνοια, ἧς μνημονεύει Πλούταρχος περὶ τὸ τέλος τοῦ, Πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν, καὶ ἄλλοι· ἔστι δε τὰ ἰαμβεῖα ταῦτα,

Τὸν φύντα θρηνεῖν, εἰς ὅσ' ἔρχεται κακά·
Τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον
Χαίροντας, εὐφημοῦντας, ἐκπέμπειν δόμων.

ταύτην δὲ τοῦ Τραγικοῦ τὴν ῥῆσιν παραινίξασθαι ἔοικε καὶ Σωκράτης, ἡνίκα, μετὰ τὸ πιεῖν τὸ κώνειον ἐν τῷ δεσμωτηρίῳ, τῶν περὶ αὐτὸν γνωρίμων τὸν θρῆνον καταστέλλειν βουλόμενος, ἔλεγε (Πλατ. Φαίδων. σελ. 117), « Οἷα ποιεῖτε, ὦ θαυμάσιοι . . . καὶ γὰρ ἀκήκοα ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾶν· ἀλλ' ἡσυχίαν τε ἄγετε, καὶ καρτερεῖτε ». — Στ. 11, Λήξεως.] Εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 90) περὶ τούτου τοῦ ὀνόματος. — Στ. 21, Μήτι γε δὴ ξένων, καὶ εὐτελέστερον τὸ νυνὶ κ. τ. λ.] Ἔτρεψα τὸ σόλοικον, Εὐτελεστέρων, εἰς τὸ ἐπιρρηματικὸν, Εὐτελέστερον, ἵνα ἔχῃ συνάπτεσθαι πρὸς τὸ, Πράττειν· οἷον καὶ ἐν τοῖς ἑξῆς ἐρεῖ (σελ. 277), « Πράττουσα δὲ τῶν οἴκοι βέλτιον » καὶ αὖθις (σελ. 279), « Τοῖς παρ' ἀξίαν ἔλαττόν τι πράττουσι ». τὰς δὲ λοιπὰς διορθώσεις ἔλαβον ἐκ τῶν ΚΑ.

Σελ. 276, στ. 4, Φυλαξάμενοι.] Ἐκ τῶν ΚΑ. — Στ. 7, Ὀλίγον ὡρῶν μέρος.] Ἀντὶ τοῦ, Ὀλίγον, ἐν ταῖς ΚΑ γράφεται, Ὀλίγων, ἐπιθετικῶς πρὸς τὸ, Ὡρῶν. οὐ μεμακι-

ντέα μέντοι ἡ γραφή· εἴρηκε γὰρ καὶ ἀνωτέρω (σελ. 268), Ὡρῶν ἐπὶ πλεῖστον, συνυπακουομένου τοῦ, Μέρος. — Στ. 14, Ξενιτεύουσιν.] Καὶ ἡ συνήθεια κέχρηται τῇ λέξει, ἀλλὰ συνεχέστερον μεταβατικῶς· τὸ δὲ, ἐπὶ ξένης πορεύομαι, ἢ διατρίβω, Ξενιτεύομαι, κατὰ μέσην διάθεσιν, φιλεῖ λέγειν.

Σελ. 277, στ. 7, Χώρᾳ.] Ἐν ταῖς ΔΑ127 γράφεται, Μοίρᾳ, ὅπερ οὐ χεῖρον· ἀμφότερα γὰρ λέγεται, καὶ, Ἐν πατρὸς μοίρᾳ, καὶ, Ἐν πατρὸς χώρᾳ, ὅπερ ἡ συνήθεια, Εἰς τόπον πατρὸς, λέγει. — Στ. 15, Ὑπὲρ συνοίσοντος τοῦ ὑμετέρου.] Σημείωσαι τὸν μέλλοντα, Συνοῖσον, ὀνομαλικῶς λαμβανόμενον, ὡς καὶ τὸ κατ' ἐνεστῶτα, Συμφέρον. — Στ. 19, Φίλαβρον.] Τουτέστι, Χαίρουσαν τοῖς ἁβροῖς, ὡς, αὐτὸς αὐτὸν ἐξηγούμενος, ἐρεῖ προϊὼν (σελ. 289). τὸ δὲ σύνθετον τοῦτο Φίλαβρος οὔπω κατακεχώρισται ἐν τοῖς Λεξικοῖς.

Σελ. 278, στ. 4, Καὶ τὸ πιστὸν διὰ πάντων ἀπορρήτων φυλάττουσα.] Τὰς ἑπτὰ ταύτας λέξεις παρείληφα ἐκ τῶν ΔΑ 552· οἰκείως δ' ἔχειν αὐτὰς τῷ χωρίῳ δηλοῖ καὶ τὰ ἑξῆς ῥηθησόμενα (σελ. 290), «Πάντα ἀπόρρητα διὰ χειρὸς ἐχούσης» καὶ (σελ. 301), «Τὸ πιστὸν ἔχει φυλακῆς τῶν ἀπορρήτων». — Στ. 14, Λέγῃς.] Ἔτρεψα τὸν εὐκτικὸν σχηματισμὸν εἰς τὸν ὑποτακτικὸν, ὡς οἰκειότερον τοῖς ἀοριστολογουμένοις. — Στ. 19, Κεχρήμεθα.] Ἐν ταῖς ΑΑ, Ἐκεχρήμεθα.

Σελ. 279, στ. 1, Πάντων ἔρημοι.] Ἐν ταῖς ΚΑ, Τούτων ἔρημοι. ἴσως δὲ (ὡς ὀρθῶς εἴκασεν ὁ Μ) εἰς ἓν ἀμφοτέρας τὰς γραφὰς συνάψαντας ἀναγνωστέον, Πάντων τούτων ἔρημοι. Στ. 8, Ἐπεισάγοις.] Οὕτω γραπτέον εἶναι, ὑπαγορεύει μὲν καὶ τὸ προηγησάμενον, Παράσχοις, ὑπαγορεύει δὲ καὶ ἡ σύνταξις τοῦ συναπτικοῦ, Εἰ. ἐπιλείψειεν ἂν ὁ χρόνος με λογιζόμενον τὰ τοῖς ἀντιγραφεῦσιν ἡμαρτημένα διὰ τὴν σύγχυσιν τοῦ η μετὰ τῆς οι διφθόγγου. οὐ παραθρεκτέον μέντοι τὸ τοῦ Πλουτάρχου (περὶ τῶν ὑπὸ τοῦ θείου βραδ. τιμωρουμ. § 5) τουτὶ, «Μὴ σὺν ὀργῇ... ἐπιπηδᾶν τοῖς λελυπηκόσιν, ἀλλὰ »... ἐν τάξει καὶ μετ' ἐμμελείας, τὸν ἥκιστα ΜΕΤΑΝΟΊΑ »ΠΡΟΣΟΙΣΟΜΕΝΟΝ χρόνον ἔχοντας σύμβουλον, ἅπτεσθαι »τῆς δίκης»· οἶμαι γὰρ εἶναι γραπτέον... Τὸν ἥκιστα

»ΜΕΤΑΝΟΙΑΝ ΠΡΟΣΗΣΟΜΕΝΟΝ χρόνον κ.τ.λ.» ἀπὸ τοῦ, Προσίεμαι, ῥήματος· τουτέστι τὸν χρόνον, ὃς ἐξεργασθέντος ἤδη τοῦ κακοῦ, οὐκ ἔτι μετάνοιαν ἐπιδέξεται. — Στ. 14, Διαχύσει.] Τουτέστι, χαρᾷ. εἰρήκαμεν δὲ περὶ τούτου καὶ ἐν τοῖς πρόσθεν (σελ. 255). — Στ 20, Ἔλθῃς.] Ἔτρεψα καὶ αὖθις τὸ οις εἰς τὸ ῃς. — Στ, 24, Τοῖς ἐντεῦθεν.] Τουτέστι τοῖς ἐκεῖθεν, ἐκ τῆς Ἑλλάδος δηλονότι· ὅπερ συνυπακούεται ἐκ τοῦ προηγησαμένου, Ἑλληνίζει. οὕτως ἀνωτέρω (σελ. 23), Ἐνταῦθα, εἴρηκεν ἀντὶ τοῦ, Ἐκεῖ. καὶ Ἀριστοφάνης δὲ τῷ Ἐντεῦθεν ἀντὶ τοῦ Ἐκεῖθεν ἐχρήσατο (Εἰρ. 147),

> Ἐκεῖνο τήρει, μὴ σφαλεὶς καταῤῥυῇς
> Ἐντεῦθεν..................

καὶ τοιαύτη μὲν ἡ γραφὴ τῆς Β, ᾗ συνᾴδουσι καὶ αἱ ΑΑ, καὶ οἱ μεταφρασταὶ ἀμφότεροι· οἱ δὲ λοιποὶ ἁπαξάπαντες, Τοῖς, οἷοι νῦν ὑμεῖς, ἢ τοῖς ἐντεῦθεν, ἀναγινώσκουσι, τὸ Ἐντεῦθεν ἐπὶ τῶν Περσῶν ἐκλαμβάνοντες.

Σελ. 280, στ. 2, Καθήκει.] Ἐκ τῶν ΚΑ, ἐν αἷς φέρεται καὶ ἡ ἑτέρα γραφὴ, ὡς καὶ ἐν ταῖς ΑΑ, Καθῆκοι, προπερισπωμένως· ἐν δὲ τῇ Β, Ἧκοι, δίχα προθέσεως. — Στ. 11, Ἀχαιμένης.] Περσικὸν τοὔνομα. καὶ πάντες δὲ οἱ Πέρσαι, Ἀχαιμενίδαι κοινῷ ὀνόματι ἐκαλοῦντο, ἀπὸ Ἀχαιμένους ἑνὸς τῶν προγόνων τοῦ Ξέρξου, ὅπερ οὐδὲν ἄλλο εἶναι βούλεται Ῥελάνδος (Διατριϐ. Η, σελ. 108) ἢ τὴν Περσικὴν αὐτὴν λέξιν Ἀντζεμιὰν, ἐξελληνισθεῖσαν εἰς τὸ Ἀχαιμενίδαι. καὶ οἱ ὑπὸ τοῖς Τούρκοις δὲ τελοῦντες τανῦν Ἀντζέμιδας καλοῦσι τοὺς Πέρσας. Ἡρόδοτος δὲ (Α, ρκε´), φρήτρην, τουτέστι, γένος τι ἴδιον παρὰ Πέρσαις γεγονέναι τοὺς Ἀχαιμενίδας φησὶν, ἐξ οὗ κατήγοντο οἱ τῶν Περσῶν βασιλεῖς. — Στ. 13, Ἐναλειψόμενος τῷ ὀφθαλμῷ.] Ἔτρεψα τὴν δοτικὴν (ἧς τὸ βάρϐαρον οὐδ᾽ αὐτοὶ οἱ μεταφράσαντες συνῆκαν) εἰς τὴν δυϊκὴν αἰτιατικὴν, τῆς τῶν ἀρίστων συγγραφέων χρήσεως τοῦτο κελευούσης. αὐτίκα Ἀριστοφάνης (Ἀχαρν. 1029),

> Ὑπάλειψον εἰρήνῃ με τὼ ᾽φθαλμὼ ταχύ·

Στ. 17, Φάσκε ἐμὲ κομίζειν.] Ἐκ τῶν ΚΑ. ὁ δὲ νοῦς, Λέγε τοῖς ἐρωτῶσί σε, ὅτι ἐγὼ κομίζω τὴν κλεῖν. ἀντὶ δὲ τοῦ ἐχομένου, Οὔπω τοι (ἀνθ᾽ οὗ ἐν τῇ Β γράφεται, Οὕτω τοι), ἔγραψα

διορθώσας Οὕτω τι. — Στ. 24, Ὁποίοις ποτ᾽ ἆρα.] Καὶ τοῦτο ἐκ τῶν ΚΑ, πλὴν ὅτι ἐν ἐκείναις γράφεται, Ποτε, ἄνευ ἐκθλίψεως, καὶ, Ἄρα, παροξυτόνως·

Σελ. 281, σ΄. 7, Χρηστόν.] Ἐν ταῖς ΚΑ, Χρηστότατον. Στ. 11, Τὸν δὲ θέμενον Χαρικλέα.] Οὕτως αἱ ΚΑ, ΑΛ, καὶ ΔΑ213, ἧς γραφῆς ἐπεξήγησίς ἐστιν ἡ παρὰ τοῖς λοιποῖς φερομένη, Τὸν δὲ ποιησάμενόν με θετὴν θυγατέρα. — Στ. 12, Τὸν διαδεξάμενον.] Οὕτω, δίχα τοῦ συμπλεκτικοῦ, αἱ ΑΑ. Στ. 18, Ἐκ τῶν ἐμαυτῆς πλοκάμων.] Ἐξηγησάμεθα ταῦτα ἀνωτέρω (σελ. 211). — Στ. 21, Ἐπιλαμβανόμενος.] Αἱ ΑΑ, Ἐπιλαβόμενος. — Στ. 22, Τί γὰρ δεῖ καὶ ζῆν ἔτι.] Προειλόμην τὴν τῆς Β γραφὴν διὰ τὸ εὐσημότερον.

Σελ. 282, σ΄. 3, Ἀμηχάνων.] Οὕτως ἄριστα αἱ ΑΑ· ἄλλως γὰρ ἂν,

Δὶς ταυτὸν ἡμῖν εἶπεν ὁ σοφὸς . . . . . . . . . . .

Ἡλιόδωρος, κατὰ τὸν Κωμικόν (Βατρ. 1154). — Στ. 4, Τῶν καθ᾽ ἡμᾶς.] Παρείληφα τὸ ἄρθρον ἐκ τῶν ΑΑ. — Στ. 5, Πηροὺς ὥσπερ τῶν πρακτέων.] Ἀντὶ τοῦ, Πηροὺς, ἐν ταῖς ΚΑ, Πηρόν. καλῶς δὲ ποιῶν ἐκόλασε διὰ τοῦ, Ὥσπερ, τὸ παρακεκινδυνευμένον τῆς μεταφορᾶς, Πηροὺς τῶν πρακτέων. Στ. 8, Μείλιχος.] Ἐν τῇ Β, Μειλίχιος. Ὁμηρικὸν δὲ τὸ τὸν ἀποιχόμενον θρηνοῦντας, Μείλιχον, ὅ ἐστι γλυκύθυμον, ἀποκαλεῖν ἐν ἐπαίνου λόγῳ. αὐτίκα περὶ Πατρόκλου (Ἰλιάδ. Ρ. 671) φησὶν ὁ ποιητὴς,

. . . . . . . Πᾶσιν γὰρ ἐπίσlατο μείλιχος εἶναι
Ζωὸς ἐών· νῦν δ᾽ αὖ θάνατος καὶ μοῖρα κιχάνει.

καὶ αὖθις περὶ τοῦ αὐτοῦ (Ἰλιάδ. Τ, 300),

Τῷ σ᾽ ἄμοτον κλαίω τεθνηότα, μείλιχον αἰεί.

Στ. 10, Τέλος ἀραμένη.] Ἴσως ἐγέγραπτο, Τέλος εὑραμένη. Τέλος γὰρ εὑρίσκειν, καὶ, Πέρας εὑρίσκειν, Εὐριπίδης εἴωθε λέγειν· καίπερ οὐδ᾽ αὐτοῦ τοῦ, Τέλος αἵρεσθαι, ἀδοκίμου ὄντος. τὸν δὲ Λ, *Conspiciens* ἑρμηνεύσαντα, ὑπολάβοι τις ἂν Ὁρωμένη ἀνεγνωκέναι. — Στ. 17, Ὡς δὲ τῆς κ. τ. λ.] Ἀπήλειψα τὸν ἕτερον τῶν συνδέσμων, ὡς παρέλκοντα. — Στ. 24, Ὡς ἔχει.] Οὕτως ἡ Β· Ἐν δὲ ταῖς ΑΑ, Ὡς ἔχω, πρωτοπροσωπικῶς.

Σελ. 283, στ. 5, Καὶ ποία, μὴ θρηνοῦσα.] Ἡμάρτηται ἡ τῶν ΑΑ γραφὴ, Καὶ ποία ἡ θρηνοῦσα. — Στ. 18, Καὶ ὡς οὐ βούλοιτο.] Καὶ αὖθις ἡμαρτημένως ἐν ταῖς ΑΑ, Καὶ ὅσα βούλοιτο. — Στ. 25, Ἐπεὶ δ' οὖν.] Αἱ ΑΑ, Ἐπεὶ δ' ἄν· οὐδὲ τοῦτο ὀρθῶς.

Σελ. 284, στ. 15, Σχεδόν τι.] Οὕτως αἱ ΚΑ, — Στ. 24, Ἴχνη τῶν θρήνων.] Ἐν τῇ Β, ἼΧΝΗ ΤΕ ΤΩ͂Ν ΝΕ΄ΩΝ, ὁ δὲ Α καὶ ὁ Α ἐξέφρασαν, ἼΧΝΗ ΤΩ͂Ν ΓΕΓΟΝΟ΄ΤΩΝ, ἀμφοτέρων τῶν γραφῶν τρίτην ἴσως ἄλλην ἐμφαινουσῶν, ἼΧΝΗ ΤΩ͂Ν ΓΟ΄ΩΝ.

Σελ. 285, στ. 8, Ἐφ' ὑμῖν.] Λείπει ἡ πρόθεσις ἐκ τῆς Β· ἐν δὲ ταῖς ΑΑ φέρεται ὡς γραφὴ διάφορος, Εὐφημεῖν, ἣν ἴσως προσγεγραμμένην τῷ προηγησαμένῳ, Εὐδαιμονίζειν, κακῶς ἐνταῦθα μετέθηκαν οἱ ἀντιγράψαντες. — Στ. 11, Ὑμῖν.] Ἐν ταῖς ΑΑ, Μὲν, ἀντὶ τοῦ, Ὑμῖν. — Στ. 12, Ὁρᾶν δὲ καὶ ῥυθμίζειν ἑαυτούς.] Οὐκ ἐῤῥῶσθαι τὸ Ὁρᾶν ἐνταῦθα ὑπονοήσειέ τις ἂν οὐκ ἀλόγως. μήποτε οὖν ἐγέγραπτο, Ὥρα δὲ καὶ ῥυθμίζειν ἑαυτούς. ἄλλως τε εὐεπίφορος εἰς τὸ, Ὥρα, ὁ Ἡλιόδωρος. — Στ. 18, Ὕθλοι.] Ἐν τῇ Β, Ὕθλος. — Στ. 23, Πείθεσθε.] Ἴσως κἀνταῦθα ἐγέγραπτο ἀντεγκλιτικῶς, Πείθεσθαι, καθὰ καὶ ἐν σελ. 144, καὶ ἀλλαχοῦ.

Σελ. 286, στ. 8, Χρυσῶν.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. — Στ. 13, Ἐνυβρίζειν τὴν δεξίωσιν.] Ἐν ταῖς ΚΑ, Ἐνυβρίζειν, μόνον· ὃ καὶ ἄμεινον· τὸ γὰρ Ἐνυβρίζειν τὴν δεξίωσιν, οὐ πάνυ τι τῇ χρήσει κατάλληλον, οὐδὲ ταυτὸν τῷ προειρημένῳ (σελ. 27) « Εὐνὴν τὴν σὴν ἐνυβρίζουσαν ». — Στ. 24, Ταυτηνί.] Οὕτως ἐναργῶς ἡ Β, ᾗ συνᾴδουσιν αἱ ΑΑ. τὸ δὲ, Ταύτην, τοῦ Κ (ὃ παρέλαβον καὶ οἱ λοιποὶ, πλὴν Βουρδελότου, ὃς ἔτρεψεν εἰς τὸ, Ταύτην) τυπογραφικῶς ἡμαρτῆσθαι δηλοῖ καὶ ὁ ὀξυτονισμός. — 25, Μόνον.] Οὕτως αἱ ΑΑ, δίχα τοῦ, Ὅτι.

Σελ. 287, στ. 4, Προσκύψας,] Ἐκ τῆς Β καὶ τῶν ΚΑ. — Στ. 6, Εἶπεν.] Ἔτρεψα τὴν μετοχὴν, διὰ τὸ εὐσυνάρτητον τῆς συντάξεως. — Στ. 12, Οὐδὲν μὲν ἀπεκρίνατο.] Ἴσως περιττὸς ὁ σύνδεσμος. — Στ. 18, Ἐπὶ δόξης.] Ἐν τῇ Β, Ἐπὶ δόξων, ἐξ ἑτέρας ὡς ἔοικε γραφῆς, Ἐπιδόξων. — Στ. 24, Οὔτε ὀκλάσας, οὔτε προσκυνήσας κ. τ. λ.] Εἰκότως· ἦν

γὰρ Ἕλλην. οὕτως ἐφρόνησαν μέγα, καὶ τοῦ γένους ἄξιον, καὶ οἱ Σπαρτιᾶται Σπερθίης καὶ Βοῦλις, ὡς ἱστορεῖ Ἡρόδοτος (Ζ, 136), «Τῶν δορυφόρων κελευόντων, καὶ ἀνάγκην σφι » προσφερόντων προσκυνέειν βασιλῆα προσπίπτοντας, οὐκ » ἔφασαν, ὠθεόμενοι πρὸς αὐτέων ἐπὶ κεφαλὴν, ποιήσειν ταῦτα » οὐδαμά· οὔτε γάρ σφι ἐν νόμῳ εἶναι ἄνθρωπον προσκυνέειν ».

Σελ. 288, στ. 3, Θρασέος.] Οὕτως ἡ Β. τὸ δὲ, Θρασέως, τοῦ Κ, τυπογραφικῶς ἡμαρτῆσθαι, οὐδεὶς τῶν μετ' αὐτὸν ἐνενόησε. — Στ. 10, Συνιεῖσα.] Ἔτρεψα τὸν ἀόριστον εἰς τὸν ἐνεστῶτα. — Στ. 22, Κατὰ τὸ εἰωθός.] Ἔθος γὰρ ἦν τοῖς βασιλεῦσι Περσῶν τὸ πέμπειν ἀπὸ τραπέζης ἐκείνοις, οὓς ἂν μάλιστα τιμᾶσθαι ἐβούλοντο, καθά φησι Ξενοφῶν (Κυρ. παιδ. Η, σελ. 123), « Καὶ νῦν γὰρ ἔτι οἷς ἂν ὁρῶσι » πεμπόμενα ἀπὸ τῆς βασιλέως τραπέζης, τούτους πάντες » μᾶλλον θεραπεύουσι, νομίζοντες αὐτοὺς ἐντίμους εἶναι, » καὶ ἱκανοὺς διαπράττειν, ἤν τι δέωνται ». — Στ. 23, Ἀπέστελλεν, ἀλλὰ καὶ δάπιδάς τινας.] Ἐν ταῖς ΚΑ, Ἀπεστειλεν, ἀλλὰ καὶ τάπητάς τινας. καὶ τὸ μὲν, Ἀπέστειλεν, οὐκ ἀναγκαῖον· ἐρεῖ γὰρ μετ' ὀλίγα, « Συναπέστελλε, ὁμοίως κατὰ τὸν παρατατικόν. τὸ δὲ, Τάπης ἀρχαιότερόν ἐστι τοῦ Δάπις, ἐπεὶ Ὅμηρος ἐκείνῳ, οὐ τούτῳ κέχρηται· Ἀττικώτερον μέντοι τὸ, Δάπις. ἀμφότερα δὲ οὐδὲν ἄλλο ἔοικεν εἶναι, ἢ Ἀσιανὴ λέξις ἄλλως ἄλλοτε ἐξελληνισθεῖσα· οὐδὲ γὰρ προσεκτέον ταῖς τῶν Γραμματικῶν Ἑλληνικαῖς ἐτυμολογίαις τῆς λέξεως. — Στ. 25, Καὶ ἀνδράποδα ὑπηρετησόμενα.] Καὶ μάλιστα στορέσοντα τὰς στρωμνάς· οἱ γὰρ Πέρσαι πρὸς τῇ ἄλλῃ τρυφῇ, καὶ τοὺς λεγομένους Στρώτας ἐφεῦρον πρῶτοι, ὥς φησιν Ἡρακλείδης (παρὰ Ἀθην. Β, σελ. 48). ἦσαν δὲ οὗτοι θεράποντες, ἐξαίρετον ἔχοντες διακόνημα τὸ ὑποστρωννύειν, ἵνα κόσμον ἔχῃ ἡ στρῶσις καὶ εὐάφειαν. τὸν οὖν Κρῆτα Τιμαγόραν τιμῶν Ἀρταξέρξης, στρώματα ἔπεμψεν αὐτῷ πολυτελῆ, καὶ τὸν ὑποστρώσοντα, φάσκων οὐκ ἐπίστασθαι τοὺς Ἕλληνας ὑποστρωννύειν. καὶ σημείωσαι τὴν ἠλίθιον τοῦ βαρβάρου βασιλέως ἀλαζονείαν, ὃς τοὺς ἐπισταμένους νικᾶν αὐτὸν ἐν πολέμοις, μονονουχὶ ὡς ἀγροίκους ἐλέγχει, ὅτι μὴ τρόπον τὸν Περσικὸν ὑποστρωννύειν ἠπίσταντο.

Σελ. 289, στ. 6, Ἐκπεριιοῦσαν τὸν Θεαγένην.] Ἀντὶ τοῦ, Τὸν Θεαγένην, ἐν ταῖς ΑΑ ἐμφέρεται κατὰ δοτικὴν, Τῷ Θεαγένει, ὅπερ ἔοικέ τις τῶν ἀντιγραψάντων, ὡς διόρθωσιν προσγράψαι, μὴ συνεὶς τὸ παρὰ πᾶσιν ἡμαρτημένον, Ἐκπεριοῦσαν. τοῦτο δ' ἡμεῖς εἰς τὸ, Ἐκπεριιοῦσαν (παρὰ τὸ, Ἐκπερίειμι), τουτέστιν ἐκπεριερχομένην, τρέψαντες καὶ σαφὲς καὶ κομψὸν κατεστήσαμεν τὸ χωρίον. μετενήνεκται δὲ ἡ λέξις ἐκ τῆς κυνηγεσίας· οἱ γὰρ κυνηγετοῦντες πολλάκις οὐ κατὰ πόδας μεταδιώκουσιν, ἀλλ' ἐκτρεπόμενοι τῆς ἐπ' εὐθὺ φερούσης ὁδοῦ περιθέουσι κύκλῳ τὰ θηρία. ἔστω παράδειγμα τὸ τοῦ Ξενοφῶντος (Κυνηγετ. σελ. 577) περὶ τοῦ λαγωοῦ εἰρημένον, ὅταν πρὸς εὐνάσιμα χωρία φέρηται, « Ἐπειδὰν » δὲ τὰ ἴχνη πρὸς τοιαῦτα φέρῃ, μὴ προσιέναι ἐγγὺς, » ἵνα μὴ ὑποκινῇ, ἀλλὰ κύκλῳ ἐκπεριιέναι ». οὕτω τοίνυν καὶ ἡ τῆς μαστροπικῆς κυνηγεσίας ἔμπειρος Κυβέλη, τῇ δεσποίνῃ τὸν Θεαγένην θηρωμένη, οὐκ ἐπ' εὐθείας ἐξαγορεύει τὸ πάθος, ἀλλ' ἐκπεριίεισι τὸν νεανίσκον εἰς τὰ τῆς Ἀρσάκης δίκτυα συνελάσαι σπεύδουσα. ἄριστα ὁ Α παρέφρασε τὸν νοῦν τοῦ χωρίου, *Cybelé de sa part n'omettoit rien à faire, ains assiegeoit et environnoit Theagenes de tous costez.* — Στ. 8, Κύκλῳ δὲ καὶ δι' αἰνιγμάτων.] Τοῦτο κατωτέρω (σελ. 296), Ἐκ περιόδων καὶ κυκλούμενον τοῖς λόγοις, ἐρεῖ· ὅπερ ἐστὶν ἴδιον τῶν ψευδομένων καὶ ἀπατᾶν βουλομένων. καὶ Εὐριπίδης δὲ, (Ἀνδρομ. 447) τῶν Σπαρτιατῶν καθαπτόμενος εἴρηκεν, ὡς εἰσὶ,

> Ψευδῶν ἄνακτες μηχανοῤῥάφοι κακῶν,
> Ἑλικτὰ, κοὐδὲν ὑγιὲς, ἀλλὰ πάντα πέριξ
> Φρονοῦντες.........................

Στ. 9, Προσβιβάζουσα.] Ἡμάρτηται τὸ Προσβιάζουσαν τῶν ΑΑ, οὐ μόνον διὰ τὴν αἰτιατικὴν, ἀλλ' ὅτι καὶ κυριολεκτικώτερον ἐνταῦθα τὸ, Προσβιβάζειν τοῦ Προσβιάζειν. σημείωσαι δὲ ὅτι ἐκ τοῦ Εἰς τὸ συνιέναι προσβιβάζω, δῆλον γίνεται ὅτι καὶ τὸ ἁπλῶς Προσβιβάζω, ἐπὶ τῆς σημασίας τοῦ διδάσκω, ἢ, πείθω, ἐλλειπτικῶς ἔξωθεν συνυπακουόμενον ἔχει τὸ, Εἰς τὸ συνιέναι, ἢ ἄλλο τι ἰσοδύναμον. εὕρηται δὲ ἡ χρῆσις παρὰ τοῖς Ἀττικωτάτοις τῶν συγγραφέων τε καὶ ποιητῶν.

αὐτίκα Ἀριστοφάνης (Ἱππ. 35),

Εὖ προσβιβάζεις με..................

οἱ δὲ μεταγενέστεροι καὶ μάλιστα οἱ τῆς Παλαιᾶς τε καὶ Νέας Διαθήκης συγγραφεῖς καὶ τὸ, Συμβιβάζω, ἐπὶ τῆς αὐτῆς ταύτης ἐννοίας ἔταξαν. — Στ. 14, Ἐρασμία τε καὶ Εὐόμιλος.] Οὕτως αἱ ΚΑ· ἐν ταῖς ΑΑ, Ἐρασμία τε εὐόμιλος, δίχα τοῦ, Καί· ἐν δὲ ταῖς ΔΑ134 καὶ 645, Ἐρασμία καὶ εὐόμιλος, δίχα τοῦ, Τε. — Στ. 22, Ἔλυζε τὴν καρδίαν.] Ἀντὶ τοῦ, Ἔλυζε, ἐν ταῖς ΔΑ208 γράφεται, Ἔλαζε. ὁ Λ ἔοικεν ἀναγνῶναι, ἢ ἀναγνωστέον ὑπολαβεῖν, Ἔνυσσε· ὅπερ ἄμεινον, οὐδὲ μεταποιητέον εἰς τὸ, Ἔνυξε, κατὰ τὸν ἀόριστον, ὡς ἐδόκει Δορβίλλῳ 680. ὁ Α παρέφρασεν οὕτως, *Et lui batoit le cueur de destresse et d'angoisse.* — Στ. 23, Ὡς συνίησι.] Ἐν ταῖς ΔΑ561, Ὡς συνίησι μὲν, ἣν γραφὴν ἐγκρίνει Δορβίλλος, καίπερ προηγησαμένου ἤδη ἑτέρου, Μέν.

Σελ. 290, σ. 1, Οἷά τε ἦν.] Προσέθηκα τὸ ὑπαρκτικὸν ῥῆμα λαβὼν ἐκ τῶν ΑΑ. — Στ. 4, Ἄλλοτε ἄλλαις.] Αἱ ΚΑ καὶ ΑΑ, Ἄλλοτε ἄλλως. — Στ. 16, Ἀτολμία.] Ἐν ταῖς ΑΑ, Ἀποτολμία· ἐν δὲ ταῖς ΚΑ αὐτό τε τοῦτο καὶ, Ἀποδειλία, ὅπερ ἐν τῇ Β Ἀποδειλίασις γράφεται, καὶ ἔστιν οὐδὲν ἄλλο ἢ ἐπεξήγησις τοῦ, Ἀτολμία, εἰσφρήσασα κακῶς εἰς τὸ κείμενον. — Στ. 18, Οὐχ ἅρπαγμα... ἡγεῖται τὸ πρᾶγμα.] Ἀντὶ τοῦ, Ἡγεῖται, ἐν ταῖς ΚΑ καὶ ΑΑ γράφεται, Ποιεῖται· ἃ προέχειν τῆς ἑτέρας γραφῆς (καίπερ οὐ καταχωρίσαντες εἰς τὰ κείμενον) διατείνονται, ὅ, τε Κ καὶ ὁ Μ, τῇ τοῦ ὁμοίου παραθέσει (σελ. 274 καὶ 321). ἐνδέχεται μέντοι τὸν Ἡλιόδωρον, ἐν ἄλλοις εἰπόντα Ἅρπαγμα ποιεῖσθαι, ἐνταῦθα, ἢ ποικίλαι βουλόμενον τὰ τῆς συνθέσεως, ἤ, ὃ καὶ μᾶλλον εἰκὸς, εἰς τὴν χριστιανικὴν ἰδέαν τοῦ λόγου λεληθότως ὑποφερόμενον εἰπεῖν, Ἅρπαγμα ἡγεῖσθαι, κατὰ τὸ (Φιλιππησ. Β, ϛ), « Οὐχ » ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ ». — Στ. 20, Τἀνδρὸς.] Προσέθηκα τὸ ἄρθρον, διότι ὡρισμένον ἐνταῦθα ἄνδρα λέγει, τὸν τῆς Ἀρσάκης.

Σελ. 291, σ. 1, Αὐτούς.] Ἐδάσυνα τὴν ἀντωνυμίαν, ἵνα ᾖ, Ἑαυτούς. — Στ. 9, Τοῦτο δὴ τὸ τῆς σῆς προσρήσεως.] Τὴν πρόσρησιν λέγει τὴν Θεαγένους (σελ. 287), Χαῖρε βασί-

λειον αἷμα. κακῶς ἐν τῇ Β καὶ ταῖς ΚΑ, Προρήσεως. — Στ. 12, Σὺ δὲ καὶ ξένος κ. τ. λ.] Ἐν ταῖς ΑΑ γέγραπται ἡμαρτημένως, Τὸ δὲ καὶ ξένος· ὅπερ ἔοικεν ἐξ ἀμείνονος γραφῆς ῥεῦσαι τῆς, Τὸ σὸν δὲ, καὶ ξένος κ. τ. λ. λέγεται γὰρ κομψῶς, Τὸ ἐμὸν, καὶ, Τὸ σὸν, ἢ, Τὰ ἐμὰ, καὶ, Τὰ σὰ, ἀντὶ τοῦ, Ἐγὼ, καὶ, Σύ. — Στ. 13, Προσθησόμενος.] Ἐνδέχεται τυπογραφικῶς ἡμαρτῆσθαι τοῦτο παρὰ τῷ Κ, καὶ τοῖς λοιποῖς ἅπασιν. ἐν γὰρ τῇ Β, ἐναργῶς ἐμφέρεται, Προστησόμενος (ἀπὸ τοῦ, Προΐσταμαι), ὃ καὶ ἄμεινόν πως ἂν δόξειεν ἐνταῦθα, εἰ μὴ καὶ αὐτὸ τὸ, Προστίθεμαι, κομψῶς πάνυ, ἐπὶ τοῦ συμμαχεῖν καὶ ἐπαρήγειν ἐτέτακτο. ἔστι δὲ πολὺ τοῦτο παρὰ τῷ Θουκυδίδῃ (Ἴδε Βιβλ. ς, ιή καὶ τὰ σχόλ.). Στ. 20, Ἐνήθλησεν.] Οὕτως ὀρθῶς ἡ Β, ᾗ συνᾴδουσιν αἱ ΑΑ. — Στ. 25, Τὸν οὐκ οἶδ᾽ ὅντινα.] Γελοίως πάνυ ἐν ταῖς ΚΑ γέγραπται, Τὸν ἀκατάδεκτον οὐκ οἶδ᾽ ὅντινα. τὸ γὰρ, Ἀκατάδεκτον, τὸν ὑπερήφανον καὶ ὑπερόπτην δηλοῦν ἐν τῇ συνηθείᾳ, οὐχ ὡς διάφορος γραφὴ, ἀλλ᾽ ὡς ἐπεξήγησις προσεγράφη τῷ χωρίῳ τούτῳ, ἢ μᾶλλον εἰπεῖν τοῖς μικρὸν ἀνωτέρω εἰρημένοις, Ἄτεγκτον καὶ ἀνήμερον.

Σελ. 292, σ7. 4, Μήτιγε.] Διώρθωκα καὶ πάλιν τὸ πλεισταχοῦ κακῶς εἰσφρῆσαν, Μήτοι γε. — Στ. 9, Δεύτερα γοῦν, ἐγκρατείᾳ κ. τ. λ.] Ἤλλαξα καὶ τὴν στίξιν τοῦ χωρίου, καὶ τὸν τόνον τοῦ, Δεύτερα. ὁ γὰρ νοῦς, Εὐκτὸν μὲν ἦν μηδ᾽ αἰσθέσθαι τὴν ἀρχὴν ἔρωτος τὴν Ἀρσάκην, ἐπεὶ δὲ ᾔσθετο, λείπεται δεύτερα ἄκη καὶ βοηθήματα, ἐγκρατείᾳ φέρειν τὸ πάθος. αἰνίττεται δὲ τὴν παροιμίαν, Ὁ δεύτερος πλοῦς, περὶ ἧς εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 31)· καὶ γὰρ καὶ παραπλήσιον ἐκείνῳ τὸ προκείμενον χωρίον. — Στ. 15, Ἐργασάμενος.] Ἐξώρισα τοῦ χωρίου τὸν σόλοικον μέλλοντα. — Στ. 16, Δεδραμένων.] Ἀφεῖλον τοῦ Δεδρασμένων (παρὰ τὸ, Διδράσκω) τὸ σ, ἵνα ᾖ παρὰ τὸ Δράω, τὸ ποιῶ.

Σελ. 293, στ. 3, Καὶ τὸ κακῶς πράττειν.] Ἴσως ἐξαλειπτέος ὁ σύνδεσμος. — Στ. 6, Βέλτιστον.] Ἐκ τῶν ΚΑ. Στ. 11, Ἀλλὰ σύ γε.] Ἔτρεψα τὸν, Τε, εἰς τὸν, Γε. ἀναγκαῖος γὰρ ἐνταῦθα ὁ μειωτικὸς ἢ περιγραφικὸς σύνδεσμος· ὁ δὲ συμπλεκτικὸς πρὸς τῷ πλεονασμῷ καὶ σόλοικος. — Στ.

22, Ποιεῖν γὰρ τὰ αἰσχρὰ καὶ λέγειν ὁμοίως ἀπρεπές.] Σωφρονοῦντος ἡ γνώμη, καὶ ἄλλως οἰκεία τῇ τοῦ Ἡλιοδώρου σεμνότητι. παρῴδηται δ' ἐκ Σοφοκλέους, οὗ τὴν ῥῆσιν παρεθέμεθα ἐν τοῖς πρόσθεν (σελ. 154).

Σελ. 294, στ. 13, Ἀπειπόντος δή.] Ἴσως τρεπτέον τὸν, Δὴ, εἰς τὸν, Δέ. — Στ. 14, Ἀποφήσαντος.] Ἐν τῇ Β, καὶ ταῖς ΚΑ, Ἀποφήναντος. — Στ. 17, Προστάξασα.] Προείλετο προσυπακούειν ἔξωθεν τὸ, Ἀρσάκη, χωρὶς εἰ μὴ παρελείφθη τοὔνομα ἀβλεψίᾳ τῶν Γραψάντων· σαφέστερον γὰρ ἂν ἦν τὸ ἀνελλιπές. — Στ. 24, Ἀπὸ τοῦ στρατοπέδου.] Προσέθηκα τὸ ἄρθρον· ὡρισμένον γὰρ στρατόπεδον σημαίνει, ἐν ᾧ διέτριβεν ὁ Σατράπης. — Στ. 25, Καταπονοῦσι.] Ὡς καὶ ἐν τῇ συνηθείᾳ, ἐπὶ τῶν παλαιόντων, Καταπονεῖν λέγομεν τὸν καταβάλλοντα, Καταπονεῖσθαι δὲ τὸν καταβαλλόμενον. χρῆται δὲ καὶ Πλούταρχος (Ἀλεξάνδρ.) τῇ λέξει, « Οὐ μνημονεύον» τας ὅτι τῶν καταπονηθέντων οἱ καταπονήσαντες ἥδιον καθ» εύδουσι »· καὶ ἄλλοι τῶν κατὰ τοὺς αὐτοὺς Πλουτάρχῳ χρόνους γενομένων.

Σελ. 295, στ. 3, Ἀνίει.] Διώρθωκα τὴν παρὰ πᾶσιν ἡμαρτημένην γραφήν, Ἀνήει. — Στ. 9, Ἐξεῖπον.] Ἐν ταῖς ΚΑ, Ἐξείπω. — Στ. 12, Ἀνία καὶ μανία.] Ἐν ταῖς ΑΑ ἔμπαλιν, Μανία καὶ ἀνία. — Στ. 14, Παραγαγούσῃ.] Ἐν τῇ Β, Παραγούσῃ· ἐν ταῖς ΑΑ, Προσαγούσῃ· ἐν ταῖς ΔΑ308, Προσαγαγούσῃ· ἐν δὲ ταῖς ΚΑ, αὐτό τε τοῦτο, καὶ, Προαγαγούσῃ, ὃ καὶ ἄμεινον. — Στ. 15, Τουτοισί.] Ἔτρεψα τὸ βάρβαρον, Τουτοισὶν, τῆς Β καὶ τῶν ΑΑ, εἰς τὸ Τουτοισί· τὸ γὰρ Ἀττικῶς προστιθέμενον ῑ ταῖς δεικτικαῖς, πρὸς μείζω δείξεως ἔμφασιν, οὐκ ἐφέλκεται τὸ ν̄ ἐν τῇ ἐπαγωγῇ τῶν φωνηέντων· ὡς γὰρ οὐ φαμὲν, Οὑτοσὶν ἐξέθρεψέ με, οὕτως οὐδὲ, Τουτοισὶν ἐκθρεψαμένῃ, λεκτέον. ὁ δὲ Κ καὶ οἱ μετ' αὐτὸν ἐξέδωκαν, Τούτοισιν, (ὅπερ ἐν ταῖς ΔΑ308 γράφεται, Τουτέοισιν) προπαροξυτόνως, ὀρθῶς μὲν διὰ τὸ ἐφελκυστικὸν (οὐ γάρ ἐστιν ἐμφατικὸν μείζονος δείξεως τὸ ῑ ἐν τῷ, Τούτοισιν), οὐκ ὀρθῶς δὲ διὰ τὸν Ἰωνισμόν, περὶ οὗ εἰρήκαμεν ἤδη καὶ ἐν τοῖς πρόσθεν (σελ. 182-183). καὶ γὰρ καὶ ἐν τῇ ἐχομένῃ σελίδι (295, στίχ. 2) ἀντὶ τοῦ, Μῆτερ, ἐν τῇ Β καὶ

ταῖς ΑΑ γράφεται, Μᾶτερ· μῶν διὰ τοῦτο Δωρίζειν φήσομεν τὸν Ἡλιόδωρον. — Στ. 16, Ἐρᾷ οὐ φορητὸν. . . ἀλλ' ἀνίατον ἔρωτα.] Τοῦτο δὴ τὸ τῷ Θεοκρίτῳ (ΙΑ, 10) κομψῶς πεποιημένον,

Ἤρατο δ' οὔτι ῥόδοις, οὐ μάλοις, οὐδὲ κικίνοις,
Ἀλλ' ὀλοαῖς μανίαις . . . . . . . . . . . . . . . .

Σελ. 296, σ7. 15, Τὰ κατὰ γνώμην.] Ὡς κατωτέρω (σελ. 299), Τὰ κατὰ νοῦν. ἐν δὲ ταῖς ΑΑ, Κατὰ γνώμην, ἀνάρθρως, ᾗ γραφῇ κατηκολούθησε καὶ ὁ Λ. — Στ. 20, Τοσοῦτον.] Ἡ Β, Τοσοῦτο. — Στ. 21, Μηδὲν ἀμφίβαλλε.] Αἱ ΑΑ, Μηδὲ ἀμφίβαλλε. — Στ. 25, Εἰπέ.] Λέξον, προστακτικῶς, πρὸς τὸν Ἀχαιμένην· ἐν δὲ τῇ Β, καὶ ταῖς ΑΑ, Εἶπε, τουτέστιν, ἔφη ἡ Κυβέλη.

Σελ. 297, σ7. 15, Πῶς τοῦτο λέγεις; ἐρωτώσης.] Ἐν τῇ Β, Πῶς οὕτω λέγεις; ἐρωτησάσης· ἐν δὲ ταῖς ΑΑ, Πῶς τοῦτο λέγεις; ἐρωτησάσης. — Στ. 23, Προηυτρεπισμένος.] Προσέθηκα τὴν χρονικὴν αὔξησιν.

Σελ. 298, σ7. 1, Οὐδὲ ὅσον μελλήσασα.] Ἐν τῇ Β, Οὐδὲν ὅσον μελλήσασα. τοῦτο ἐν ἄλλοις ἄνευ τοῦ, Ὅσον, ἐξήνεγκεν, οἷον (σελ. 217) Μηδὲν μελλήσας, (σελ. 327) Οὐδὲ μελλήσαντες. ἐν δὲ τῷ προκειμένῳ χωρίῳ τὸ, Οὐδὲ ὅσον, ἴσον ἔοικε δύνασθαι τῷ, τῷ, Οὐδὲ ὅλως, ἤ, Οὐδ' ὀλίγον· καθὰ καὶ τὸ παρὰ τῷ Ἀπολλωνίῳ (Ἀργοναυτ. Δ, 1700),

Αὐτοὶ δ' εἴτ' ἀΐδῃ, εἴθ' ὕδασιν ἐμφορέοντο,
Ἠείδειν οὐδ' ὅσσον. . . . . . . . . . . . . . . .

τοιοῦτόν ἐστι καὶ τὸ τοῦ Θεοκρίτου (Θ, 20),

. . . . . . . . . . . . . . . Ἔχω δέ τοι οὐδ' ὅσον ὤραν
Χείματος . . . . . . . . . . . . . . . . . . . . . .

καίπερ τινῶν ἄλλως ἐκδεξαμένων τὸ Θεοκρίτειον, οὐδ' ὅσον. ἐνδέχεται μέντοι καὶ ἡμαρτῆσθαι παρ' Ἡλιοδώρῳ τὴν γραφὴν, παραλειφθέντος μετὰ τὸ, Ὅσον, τοῦ, Ἐλάχιστον, (ὡς σελ. 148) ἢ, πρὸς βραχὺ (ὡς σελ. 225), ἢ ἄλλου του τοιούτου, ἢ αὐτοῦ τούτου τοῦ, Ὅσον, κακῶς πλεονάσαντος. — Στ. 4, Ἐπεὶ δὲ ἤχθη.] Διέλυσα τὸν σύνδεσμον, τρέψας καὶ τὸ, Δὴ, εἰς τὸ, Δέ. — Στ. 9, Ἡμέτερος ὢν ἴσθι.] Γίνωσκε τυγχάνων ἡμέτερος δοῦλος. λείπει τὸ, Ὢν, ἐκ τῆς Β, ἣ

κατηκολούθησε καὶ ὁ Λ. — Στ. 25, Αἱρουμένης δέ σε θεραπεύειν.] Οὕτως αἱ ΑΑ, μετὰ τῆς ἀντωνυμίας.

Σελ. 299, στ. 10, Καταμωκώμενος.] Ἡσύχιος ἐξηγεῖται τὸ, Μωκᾶται, διὰ τοῦ, Χλευάζει. ἐκ τούτου δὲ παραλαβεῖν ἐοίκασιν οἱ Γάλλοι τὸ, *Se moquer*, κατὰ μέσην καὶ αὐτοὶ διάθεσιν ἐκφέροντες. λέγουσι δὲ καὶ τὸν παρὰ τοῖς Ἕλλησι, Μῶκον, τουτέστι τὸν χλευαστὴν, ἢ σκώπτην, *Moqueur*. Στ. 12, Ὁ τὴν κεφαλὴν νεύειν εἰς τὸ προσκυνεῖν οὐκ ἀνεχόμενος.] Ὁ ταπεινὰ φρονῶν καὶ ἀνδραποδώδης Ἀχαιμένης οὐ φέρει τὸ Ἑλληνικὸν καὶ ἐλεύθερον φρόνημα τοῦ Θεαγένους. εἰρήκαμεν δὲ περὶ τούτου καὶ ἐν τοῖς πρόσθεν (σελ. 241). Στ. 13, Νῦν που τάχα.] Ἐν τῇ Β, Νῦν ποιὸς τάχα· ἐν ταῖς ΚΑ, Νῦν ποι τάχα· ἐν δὲ ταῖς ΑΑ, Νῦν τῶν τάχα. — Στ. 14, Ὑφέξῃ.] Μήποτε ἐγέγραπτο, Ὑφέξεις, μεταβατικῶς. Στ. 18, Τὰ κατὰ νοῦν.] Λείπει τὸ ἄρθρον ἐκ τῆς Β, ἀλλ' οὐκ ἐκ τῶν ΑΑ. — Στ. 20, Ἀφθόνως ἐν εὐπορίᾳ.] Αἱ ΑΑ, Ἀφθόνως ὡς ἐν εὐπορίᾳ.

Σελ. 300, στ. 1, Λυσιτελεῖν.] Ἡμάρτηται τὸ τῆς Β, Λυσιτελῆ, κατ' οὐδέτερον πληθυντικὸν ἀριθμόν. — Στ. 3, Ἰδιάσας.] Κατ' ἰδίαν ὁμιλήσας, ὡς ἐξηγεῖται Ἡσύχιος (λέξ. Ἰδιάσαι). τὸ δὲ μέσον, Ἰδιάζομαι, ἐστὶ ταὐτὸν τῷ Ἰδιοποιοῦμαι, οὐ μόνον ἐπὶ τῆς σημασίας τοῦ, Σφετερίζομαι, ἀλλὰ καὶ ἁπλῶς τοῦ, Μεταποιοῦμαι, ἢ, Μιμοῦμαι καὶ ἴδια ποιοῦμαι τὰ παρ' ἄλλοις. τὴν δὲ χρῆσιν, τέως λανθάνουσαν, εὑρηκέναι μοι δοκῶ παρ' Ἡροδότῳ (Θ, 41), « Τά τε σφάγια » τὰ Ἡγησιστράτου ἐᾶν χαίρειν, μηδὲ ΒΙΑΖΕΣΘΑΙ, ἀλλὰ » νόμῳ τῷ Περσέων χρεωμένους συμβάλλειν ». ὅπου γραπτέον, οὐχ, ὥς τῶν τις Κριτικῶν εἴκαζε, Φράζεσθαι, ἀλλ', ἸΔΙΑΖΕΣΘΑΙ, ἀντιδιεσταλμένως πρὸς τὸ, Ἐᾶν χαίρειν. εὐεπίφορος δὲ ὁ Ἡρόδοτος εἰς τὸ ταὐτὰ δὶς λέγειν, τὰ ἀντιδιεσταλμένα εἰς συνώνυμα μεταποιῶν τῇ προσθήκῃ τοῦ ἀρνητικοῦ μορίου· καὶ γὰρ ἐν αὐτῷ τούτῳ τῷ χωρίῳ μικρὸν ἀνωτέρω εἰρήκει, « Ἀγνωμονεστέρη, καὶ οὐδαμῶς συγγινωσκομένη ». περὶ δὲ τοῦ τοιούτου σχήματος ἱκανῶς εἴρηκα καὶ ἐν ταῖς εἰς τὸν Ἱπποκράτην σημειώσεσι (Τομ. Β, σελ. 250-252). — Στ. 4, Πεῖσμα.] Τὸ πρὸς τὴν γῆν δεσμοῦν σχοινίον τὴν ναῦν,

παρὰ

παρὰ τὸ Πείθω, ὡς τῆς νηὸς πειθομένης αὐτῷ, καθά φασι Γραμματικῶν παῖδες. ἡ δὲ συνήθεια, Πεῖσμα, εἴρηκε τὴν ἰσχυρογνωμοσύνην (ὃ δὴ καὶ ὁ Ἐτυμολόγος καὶ ὁ Εὐστάθιος παρεσημειώσαντο). καὶ δοκεῖ μὲν εἰς ἀντικειμένην σημασίαν μεταπεσεῖν τὸ Πεῖσμα, εἴγε παρὰ τοῖς Ἀρχαίοις κυρίως καὶ πρώτως αὐτὴν τὴν Πεῖσιν ἐδήλου, ἢ γοῦν δηλοῦν ὤφειλε, παρ' ἡμῖν δ' ἐκ τοῦ ἐναντίου ὁ μὴ πειθόμενος, Πεῖσμα ἔχειν, Πεισματάρης, ἢ Πεισματώδης εἶναι, λέγεται. οὐ μετέπεσε μέντοι· ἐπεὶ καὶ ὁ παρὰ τοῖς Παλαιοῖς Ἀμετάπειστος οὐδὲν ἄλλο δηλοῦν βούλεται, ἢ τὸν ἐμμένοντα οἷς ἅπαξ ἐπείσθη, ὁ φυλάττων τὸ πρότερον πεῖσμα (καθὰ καὶ τὰ συνώνυμα Ἀμετάθετος, ὁ φυλάττων τὴν προτέραν θέσιν, Ἀμετανόητος, ὁ φυλάττων τὸν πρότερον νοῦν, Ἀμετάτροπος, ὁ φυλάττων τὸν πρότερον τρόπον, ἐστί). καὶ ῥῆμα δὲ πρὸς τούτοις ἐσχημάτισεν ἡ συνήθεια, τὸ Πεισματεύω, ἢ Πεισματίζω, ἢ Πεισμόνω (καὶ χυδαιέστερον Πεισματόνω)· Κρῆτες δὲ καὶ Πεισματολογεῖν μεταβατικῶς φασί, τὸ παροξύνειν διὰ συνεχοῦς ἀντιλογίας καὶ οἷον εἰς πεῖσμα ἐμβάλλειν. ἔοικε δὲ τὸ Πεῖσμα καὶ τὰ συγγενῆ ὀνόματα ἀπὸ τῶν Καισαρικῶν ἤδη χρόνων εἰς ταύτην μετενεχθῆναι τὴν σημασίαν· Παῦλος γὰρ ὁ Ἀπόστολος πρῶτος ἐχρήσατο τῷ τῆς Πεισμονῆς ὀνόματι, ἐπιστέλλων Γαλάταις (Γαλάτ. Ε, ζ'), « Τίς ὑμᾶς ἀνέκοψε τῇ ἀληθείᾳ » μὴ πείθεσθαι; ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς ». τὸ τοίνυν πολλὰ τοῖς Κριτικοῖς παρασχὸν πράγματα χωρίον τοῦτο, εἴ τις μετὰ προσοχῆς ἐξετάσοι, εὑρήσει τὸν Παῦλον οὐδὲν ἄλλο διὰ τῆς Πεισμονῆς, ἢ αὐτὸ τὸ ἐν τῇ συνηθείᾳ Πεῖσμα δηλῶσαι βουλόμενον· καὶ γὰρ τοὺς Γαλάτας, διὰ τὸ μόλις τὴν εἰς Χριστὸν παραδεξαμένους πίστιν ἐπὶ τὰ πρότερα πάλιν ἐπιστραφῆναι δόγματα, ἐλέγχων ὁ Ἀπόστολος, εἰκότως Πεισμονὴν αὐτοὺς ἔχειν λέγει, ἤγουν ἀμεταπείστως οἷς πρότερον ἐδόξαζον ἐμμένειν βούλεσθαι. καὶ ταῦτα μὲν ὁ Παῦλος. εὕρηται δὲ καὶ παρὰ τῷ Πλουτάρχῳ (Παραμυθ. πρὸς Ἀπολλών.) ἐπὶ τῆς αὐτῆς σχεδόν τι σημασίας εἰλημμένον τὸ Πεῖσμα, « Μέγα γάρ ἐστι τὸ μετὰ πείσματος τεθαῤῥηκότως εἰ» πεῖν — Τίς δ' ἐστὶ δοῦλος τοῦ θανεῖν ἄφροντις ὤν »· ἐν οἷς ὑπονοήσειεν ἄν τις γεγραφέναι τὸν Πλούταρχον « Μετὰ πείσ-

» ματος τεθαῤῥηκότος », ἵνα ᾖ Μετὰ πείσματος θαῤῥαλέου. ὅπως ποτὲ μέντ' ἂν ἔχοι τὰ τῆς γραφῆς, δῆλον ὅτι τὸ Πεῖσμα ἐνταῦθα τὸ ἀμετάπεισον τοῦ ἅπαξ πεισθέντος ἐμφαίνει. — Στ. 5, Ἄγκυρα παντοίως.] Ἐν ταῖς ΚΑ, Ἄγκυρα καὶ παντοίων· ἐν δὲ ταῖς ΑΑ οὕτως, Ἄγκυρα καὶ παντίων παντοίως. ἔοικε δὲ ὑποικουρεῖν τι νόσημα τῷ χωρίῳ. — Στ. 23, Ὁμιλίᾳ παρανόμως.] Ἡ Β καὶ αἱ ΑΑ, Ὁμιλίας, κατὰ γενικὴν, ὃ καλῶς ἂν εἶχεν, εἰ ἀντὶ τοῦ ἐχομένου Μιανθῆναι ἐγέγραπτο Πειραθῆναι. ὁ δὲ Λ ἔοικεν ἀναγνῶναι, Ὁμιλίᾳ παρανόμῳ. Στ. 24, Εὑρετὶς ἄρα ἐστὶ λογισμῶν ἡ ἀνάγκη.] Καὶ πάντων μὲν οὖν τῶν τεχνῶν. ὅθεν φασί (παρὰ Στοβ. ΜΓʹ) τινα, ἀναγνοντα τὸν Ἐρατοσθένους Ἑρμῆν, ἀναφωνῆσαι τὸ ἔπος τοῦτο,

Χρειὼ πάντ' ἐδίδαξε· τί δ' οὐ χρειώ κεν ἀνεύροι;

Σελ. 301, στ. 12, Ἐπεῖχε.] Οὐκ ὀρθῶς αἱ ΚΑ καὶ ΑΑ, Ἀπεῖχε. — Στ. 16, Ἀπαυθαδιαζόμενος.] Οὕτω γραπτέον, ὡς καὶ ἀνωτέρω (σελ. 289) γέγραπται.

Σελ. 302, στ. 2, Γένοιτό τι.] Τὸ τυπογραφικῶς ἡμαρτημένον παρὰ τῷ Κ, Γένοιτό τε, παρέλαβον ἀσκέπτως οἱ μετ' αὐτὸν, πλὴν τοῦ Μ. — Στ. 4, Διαχρησάμενον.] Ἐν ταῖς ΔΑ693, Διαχειρισάμενον. εἰρήκαμεν δ' ἐν τοῖς πρόσθεν (σελ. 22) περὶ τῆς διαφορᾶς τοῦ Διαχρῶμαι καὶ τοῦ Διαχειρίζομαι.—Στ. 8, Εὖ ἂν ἔχοι, ἔφη, ὦ κ.τ.λ.] Τὸ, Ἂν ἔχοι, παρείληφα ἐκ τῶν ΚΑ, ἐξ ὧν λείπει τὸ ἑπόμενον, Ἔφη. — Στ. 9, Εἴ τις ἐστίν.] Οὕτω διώρθωκα τὸ βάρβαρον καὶ ἀδιανόητον, Ἤ τις ἐστίν. ὁ δὲ νοῦς, Ἐκδίδου τὴν ἀδελφὴν, εἴ ἐστι μοι ἀληθῶς τις ἀδελφή. — Στ. 10, Οὔτε θελήσεις.] Τὸ μετὰ τὸ, Θελήσεις, ἑπόμενον, Ἐκδοῦναι, οὐκ ἐμφέρεται οὔτε ἐν ταῖς ΚΑ, οὔτε ἐν ταῖς ΑΑ. ταύταις οὖν ἠκολούθηκα, διὰ τὸ κομψότερον οὕτως ἀπεργάζεσθαι τὸν λόγον τῇ ἐλλείψει τοῦ ἀπαρεμφάτου, ὑπακούεσθαι ἔχοντος ἐκ τοῦ ἑπομένου, Ἐκδώσεις.—Στ. 16, Εὐωχοῦσα.] Ἄμεινον ἂν εἶπεν, Εὐωχοῦσαν, κατ' αἰτιατικὴν, ἵν' ᾖ, Ἔξεστί σοι καὶ ἄλλην ἔχειν ἀπόδειξιν, εὐωχοῦσαν· κομψῶς γὰρ τὰ μετὰ ἀπαρεμφάτου συντασσόμενα ἀπὸ τῆς δοτικῆς εἰς τὴν αἰτιατικὴν φιλεῖ μεταβαίνειν. τὸ δ' ἐχόμενον Ὑπεκνίσθη, σημαίνει τὸ μικρὸν ἐλυπήθη ὑπὸ

ζηλοτυπίας· ὅθεν καὶ Κνισμὸς (παρ' Ἡσυχίῳ) μεταφορικῶς, ἡ ζηλοτυπία· οἷόν ἐστι καὶ τὸ τοῦ Κωμικοῦ (Πλούτ. 974),

..........Ἐγὼ δὲ κατακέκνισμαι δειλάκρα.

Κνίζειν γὰρ κυρίως σημαίνει, τὸ περιξύειν καὶ περιτέμνειν. Στ. 23, Προσκύψασα.] Μετέβαλον καὶ πάλιν, ὡς πολλάκις, εἰς τὸ Προσκύψασα τὸ Προκύψασα.

Σελ. 303, στ. 4, Τῶν ἀτόπων τῆς ἐπαγγελίας τὸν σκοπόν.] Ἡ γραφὴ ἐκ τῶν ΚΑ, αἷς αἱ ΑΑ κατὰ τοῦτο μόνον συνᾴδουσιν, ὅτι, Τὸν σκοπὸν, ἐνάρθρως ἔχουσιν, ἡμαρτημέναι καὶ αὐταὶ τὰ λοιπά. ὁ νοῦς, Προσέθηκε τὸν σκοπὸν τῆς ἐπαγγελίας τῶν ἀτόπων, ἤγουν, εἶπε τῇ Χαρικλείᾳ ἐπὶ τίνι σκοπῷ ἐπηγγείλατο τὰ ἄτοπα τῇ Ἀρσάκῃ. καὶ σημείωσαι τὸ, Σκοπὸν, ἀντὶ τοῦ Τέλος, ὡς καὶ ἡ συνήθεια μέχρι καὶ δεῦρο λέγει. καὶ ταύτης μὲν τῆς ἐκδοχῆς ἔστι μέν τινα καὶ ἐκ τῶν Ἀρχαίων, πολλῷ δὲ πλείω ἐκ τῶν μεταγενεστέρων, παραθέσθαι μαρτύρια· τῆς ἑτέρας δὲ, καθ' ἣν Σκοπὸν καλοῦμεν, ἐπὶ τῆς Μουσικῆς, τὸν ἄλλως λεγόμενον, Ἦχον, ἤγουν τὸν ποιὸν τῆς φωνῆς ῥυθμὸν, ὃν οἱ Ἀρχαῖοι Νόμον ἐκάλουν (Ἰταλιστὶ *Aria*), οὐ πάνυ τι πρόδηλος ἡ γένεσις. ἐνδέχεται μὲν οὖν καὶ ταύτην ἀπὸ τοῦ παρὰ τοῖς Ἀρχαίοις εἰρημένου, Ἐπισκόπου μέλους, τὴν ἀρχὴν εἰληφέναι, τῆς συνηθείας, οἷα φιλεῖ γίνεσθαι, παρατρεψάσης τὴν σημασίαν πρὸς τὸ οἰκεῖον χρήσιμον· οἷόν ἐστι τὸ παρὰ τῷ Σοφοκλεῖ (Αἴαντ. 975),

...............Αὐδὴν γὰρ δοκῶ Τεύκρου κλύειν,
Βοῶντος ἄτης τῆσδ' ΕΠΙΣΚΟΠΟΝ ΜΕΛΟΣ.

ὅπερ ὁ Σχολιαστὴς ἐξηγεῖται, «Σημαντικὸν, ἔφορον, οὐχ » ἡμαρτηκὸς τῆς συμφορᾶς, ἀλλ' ἐστοχασμένον». ἴσως δὲ καὶ Σκωπὸν, διὰ τοῦ ω, γραπτέον τε καὶ λεκτέον τὸν μουσικὸν νόμον, ἀπὸ τῆς γενικῆς, Σκωπὸς, εἰς ὀνομαστικὴν μεταπεσούσης (ὡς ὁ Μάρτυρος καὶ ὁ Φύλακος, παρὰ τὸ Μάρτυρ καὶ Φύλαξ)· ὃ γὰρ τῷ Πολυδεύκει Σκὼψ καὶ Σκωπίας λέγεται, εἶδος ὂν ὀρχήσεως, τοῦτο, Σκοπὸς ἰσοσυλλάβως τε καὶ διὰ τοῦ ο εὕρηται παρὰ Φωτίῳ καὶ ἄλλοις τῶν Λεξικογράφων, ἡμαρτημένον μὲν ἴσως τῇ γραφῇ, ἀλλ' οὔ γε τῇ κλίσει. — Στ. 14, Προὐνόησα.] Ἐν τῇ Β, Προὐνοησάμην, κατὰ μέσην διάθεσιν, τῆς τελευταίας συλλαβῆς προσπλασθείσης, ἢ καὶ ἀποσπασθείσης.

διὰ τὴν πρώτην τῆς ἐχομένης λέξεως. — Στ. 17, Ἀρκεῖ μὲν γὰρ... τὸν ἐπίκαιρον τοῦτον βίον διάγειν.] Ἀρίστη τε καὶ βιωφελεστάτη Γνώμη· οὐ γὰρ μόνον καλὸν κἀγαθὸν εἶναι τὸν εὐδαιμονήσοντα, ἀλλὰ καὶ τοιοῦτον ὑπειλῆφθαι παρὰ τοῖς ἄλλοις προσήκει. καὶ ἔστιν ἐνταῦθα τὸ τοῦ Εὐριπίδου (Μηδ. 542) φάναι,

Εἴη δ᾽ ἔμοι γε μήτε χρυσὸς ἐν δόμοις,
Μήτ᾽ Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,
Εἰ μὴ ᾽πίσημος ἡ τύχη γένοιτό μοι.

ὡς γάρ φησι Πλούταρχος (περὶ τοῦ ἑαυτ. ἐπαιν. ἀνεπιφθ. § 2), « Τὴν δόξαν ὁ πολιτικὸς ἀνὴρ οὐχ ὥς τινα μισθὸν ἢ » παραμυθίαν τῆς ἀρετῆς ἀπαιτεῖ, καὶ ἀγαπᾷ ταῖς πράξεσι » παροῦσαν· ἀλλ᾽ ὅτι τὸ πιστεύεσθαι καὶ δοκεῖν χρηστὸν εἶναι » πλειόνων καὶ καλλιόνων πράξεων ἀφορμὰς δίδωσι. πειθο» μένους γὰρ ἅμα καὶ φιλοῦντας ἡδὺ καὶ ῥᾴδιον ὠφελεῖν » κ. τ. λ. ». — Στ. 25, Ἐρῶντα δέ.] Ἔτρεψα τὸ Ὁρῶντα, εἰς τὸ Ἐρῶντα· ἴσως δὲ καὶ τὸν Δὲ σύνδεσμον τρέψαι ὤφειλον εἰς τὸν Τε.

Σελ. 304, στ. 1, Πυθόμενον.] Οὕτω διώρθωκα τρέψας τὸ ἀπροσδιόνυσον Πειθόμενον (ὃ καὶ παρέλιπεν ὅλως ὁ Λ), εἰς τὸ Πυθόμενον, ὅ ἐστιν, ἀκούσαντα, ἢ μαθόντα παρὰ τῆς μητρὸς, ἢ δῆλον καὶ ἐκ τῶν μικρῷ πρόσθεν εἰρημένων, « Μηνυθῆναί τε ταῦτα τῷ Ἀχαιμένει βουλόμενος ». — Στ. 4, Ἀνιαθέντες.] Αἱ ΚΑ, Ἀνιασθέντες. — Στ. 8, Παρασκευάσας.] Ἐν τῇ Β, Παρακελεύσας. — Στ. 13, Λιθοκολλήτοις.] Διώρθωκα τὴν βάρβαρον λέξιν Λιθοκόλλοις, μεταθεὶς εἰς τὸ Λιθοκολλήτοις, ᾧ καὶ προϊὼν (σελ. 382 καὶ 436) χρήσεται. — Στ. 15, Ὑφηγεῖσθαι.] Τουτέστι, διδάσκειν· ὡς καὶ ἐν τοῖς πρόσθεν (σελ. 97) εἴρηκεν, « Ὡς ἂν αὐτὸς ὑφηγήσωμαι ». εἰκότως οὖν ἔγραψα, Ὑφηγεῖσθαι, ἀντὶ τοῦ, Ἀφηγεῖσθαι, ὅπερ σημαίνει τὸ διηγεῖσθαι· — Στ. 18, Ἀνελόμενος.] Οὐκ ὀρθῶς αἱ ΚΑ, Ἀφελόμενος. — Στ. 22, Ἐμοὶ δέ.] Οὕτως ἐν ταῖς ΚΑ. — Στ. 24, Ἄκροις τοῖς δακτύλοις ἐποχῶν τὴν φιάλην.] Περὶ πλείστου γὰρ ἐποιοῦντο Πέρσαι καὶ Μῆδοι τὸ τοὺς οἰνοχόους εὐρύθμως προσφέρειν τὸ ποτὸν, καθὰ δηλοῖ καὶ Ξενοφῶν λέγων (Κύρ. Παιδ. Α, σελ. 6), « Οἱ δὲ τῶν βασι-

» λέων τούτων οἰνοχόοι κομψῶς τε οἰνοχοοῦσι, καὶ καθαρίως » ἐγχέουσι· καὶ διδόασι τοῖς τρισὶ δακτύλοις ὀχοῦντες τὴν » φιάλην, καὶ προσφέρουσιν ὡς ἂν ἐνδοῖεν τὸ ἔκπωμα εὐληπτότατα τῷ μέλλοντι πίνειν ». οὐ μόνοι δὲ Πέρσαι τε καὶ Μῆδοι, ἀλλ' ἁπλῶς οἱ βάρβαροι πάντες, ἐν τοῖς μικροῖς μεγάλοι τε καὶ περίεργοι φιλοῦσιν εἶναι, ἀπειρίᾳ τῶν ἀληθῶς μεγάλων τε καὶ καλῶν. ἔοικε δὲ Ἡλιόδωρος ἐνταῦθα τὸν Θεαγένην ἀναιρούμενον τὴν φιάλην καὶ τῇ Ἀρσάκῃ προσφέροντα πλάσαι πρὸς τὸν παρὰ τῷ Ξενοφῶντι (Αὐτ.) Κῦρον, λαμβάνοντα καὶ αὐτὸν παρὰ τοῦ οἰνοχόου Σάκα τὸ ἔκπωμα, καὶ τῷ Ἀστυάγει προσφέροντα.

Σελ. 305, στ. 3, Κράματος.] Σημείωσαι τὴν λέξιν, Κρᾶμα, ἀπ' αὐτῶν ἤδη τῶν τοῦ Πλουτάρχου χρόνων συνωνύμως τῷ, Οἶνος, ἐκλαμβάνεσθαι ἀρξαμένην· οὗτος γὰρ (Ὑγιειν. παραγγέλμ.) τάδε φησὶ, « Τὸ κρᾶμα, καίτοι ὕδατος μετ» έχον πλείονος, οἶνον καλοῦμεν ». ἐντεῦθεν ὁρμηθεῖσα ἡ συνήθεια Κρᾶσιν, θηλυκῶς, ἐκάλεσε πρῶτον τὸν οἶνον, ἔπειτα χυδαΐσασα τὴν λέξιν ἐπὶ πλέον, Κρασίον, καὶ, Κρασὶν, ὑποκοριστικῶς καὶ οὐδετέρως ὠνόμασεν, οἱονεὶ Κρασίδιον (ὡς Λεξίδιον καὶ Πολίδιον παρὰ τὸ Λέξις καὶ Πόλις). — Στ. 6, Ἐκ θατέρων.] Ἄμεινον γράφειν, Ἐκ θατέρου, ὅ ἐστιν, Ἐκ τοῦ ἑτέρου μέρους· σόλοικον γὰρ τὸ Θατέρων. — Στ. 9, Καί τι καὶ πρός.] Προσέλαβον τὸν δεύτερον, Καὶ, ἐκ τῶν ΔΑ506. Στ. 18, Εἰ δὲ ἐπιμένοι...οὐ χαιρήσει.] Ἐν τῇ Β γράφεται, Ἐπιμένεις· ἐν ταῖς ΑΑ Ἐπιμένει· ἐν δὲ ταῖς ΚΑ παρὰ τοῦτο καὶ, Ἐπιμένοι, ὃ καὶ προειλόμην. τὸ δὲ Χαρίσῃ (ἀνθ' οὗ ἐν τῇ Β ἐμφέρεται, Χαρήσῃ), ἔτρεψα εἰς τὸ, Χαιρήσει. ὡσαύτως καὶ ἐν τοῖς ἑξῆς (σελ. 316) εὑρήσομεν τὸ, Χαιρήσετε, συγκεχυμένον μετὰ τοῦ, Χαρίσετε. — Στ. 20, Συμβουλεύοι.] Αἱ ΚΑ καὶ ΑΑ, Συμβουλεύω, πρωτοπροσωπικῶς. — Στ. 23, Τοιαῦτα ἐκεῖνος μέν.] Οὕτως αἱ ΑΑ τὸν Μὲν μετὰ τὸ, Ἐκεῖνος· ἡ δὲ Β πρὸ τοῦ Τοιαῦτα τίθησι.

Σελ. 306, στ. 6, Ἀρχιοινοχόοις.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ· καὶ γὰρ καὶ ἀνωτέρω (σελ. 296), Ἀρχιοινοχόον ἐκάλεσε τὸν Ἀχαιμένην. — Στ. 11, Διότι καὶ κακῶς ποιοῦντες.] Ἀντίκειται τῷ, Καλῶς ποιοῦντες, περὶ οὗ ἐν τοῖς πρόσθεν (σελ.

59) εἰρήκαμεν. ἀντὶ δὲ τοῦ, Διότι καὶ, ἐν ταῖς ΚΑ γράφεται, Διότι γε. — Στ. 17, Καὶ περὶ μὲν τούτων δεύτερος λόγος.] Ἀριστοφάνης (Ὀρνισ. 336),

Πρὸς μὲν οὖν τὸν ὄρνιν ἡμῖν ἐστιν ὕστερος λόγος.

Στ. 21, Ποίαν μνηστὴν, ὦ τέκνον.] Ἐμπαθῶς τε καὶ γραφικῶς ἅμα διατετύπωται τοῦ γραϊδίου ἡ ἀπόκρισις.

Σελ. 307, στ. 1, Ἑαυτοῦ.] Ἐν ταῖς ΚΑ, Ἐμαυτοῦ. εἰρήκαμεν δέ (σελ. 45) περὶ τῆς τριπροσωπικῆς ἐκδοχῆς τοῦ, Ἑαυτοῦ. — Στ. 8, Λαμπρὸς αὐτῆς Ἐρώμενος.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ, μετὰ τῆς ἀντωνυμίας. — Στ. 14, Γάμους αὐτῶν.] Περιέγραψα τὸν, Τε, ὃν οὐδὲ ἡ Β ἔχει. — Στ. 16, Ἄλλην συνοικεῖν ἀντὶ ταύτης ἐπηγγέλετο.] Οὕτω διώρθωκα τὸ χωρίον, λαβὼν τὸ, Ἄλλην, ἐκ τῶν ΚΑ, ἐν αἷς διπλῆ φέρεται γραφὴ, Ἄλλην συνοικεῖν εἶναι ἐπήγγελτο (δίχα τοῦ, Ἀντὶ ταύτης), καὶ, Ἄλλη συνοικεῖν εἶναι ἀντὶ τῆς σῆς ἐπηγγέλλετο. ἐνδέχεται μέντοι καὶ ἑτέρως διορθοῦν, Ἄλλη συνοικεῖν ἀντὶ ταύτης ἐπήγγελτο, τοῦ, Ἐπήγγελτο, οὐ μέσως, ἀλλὰ παθητικῶς τηνικαῦτα λαμβανομένου. — Στ. 18, Ἐγὼ, ἔφη, πικρογάμους θήσω σύμπαντας.] Εἰρήκαμεν καὶ ἐν τοῖς πρόσθεν (σελ. 192) περὶ τοῦ, Πικρόγαμος· ἐνταῦθα δὲ παρῳδεῖ τὸ τοῦ Εὐριπίδου (Μηδ. 399),

Πικροὺς δ' ἐγώ σφι καὶ λυγροὺς θήσω γάμους.

τοῦτο δὲ πρὸ τοῦ Ἡλιοδώρου ὁ χαριέστατος Ἀριστοφάνης, Εὐριπίδου καταμωκώμενος, οὕτω παρῳδήκει (Ὀρν. 1045),

Πικροὺς ἐγώ σοι τήμερον δείξω νόμους.

Στ. 21, Κακοῦσθαί με κατ' ἀγρόν που συμπεσόντα ἀπάγγελλε.] Λείπει τὸ, Που, ἐκ τῆς Β. ὁ δὲ Βερνάρδος, ἐν ταῖς εἰς τὸν Νόννον σημειώσεσι (Τόμ. Β, σελ. 324), οὕτω διορθοῦν ἐπεβάλετο τὸ χωρίον, «Κακοῦσθαί με κατ' ἀγρόν που συμ» πέσοντα τα ἀπάγγελλε», προπαροξύνων μὲν τὸ, Συμπεσόντα (πλὴν εἰ μὴ τυπογραφικῶς ἡμάρτηται), τὸ δὲ προστιθέμενον Τα, διὰ τοῦ Τινὰ, ἐξηγούμενος. τί δ' ἐβούλετο αὐτῷ ἡ βάρβαρος αὕτη καὶ ἀδιανόητος διόρθωσις, Οἰδίποδος ἂν δεήσειε φράσοντος. ἴσως μὲν οὖν ἐκδεκτέον καταχρηστικώτερον ἀντὶ τοῦ νοσήσαντα τὸ Συμπεσόντα, ᾧ δεόντως καὶ τῇ χρήσει τῶν ἰατρῶν καταλλήλως ἐπὶ τοῦ σωματικοῦ ἰσχνασμοῦ

καὶ τῆς τοῦ ὄγκου καθαιρέσεως, ἀντιδιεσταλμένως πρὸς τὴν εὐεξίαν, ἐχρήσατο Πλούταρχος (περὶ πολυπραγμ. § 2) « Οὕτως ἐμπαθῶς ἔσχεν (Ἀρίστιππος), ὥστε τῷ σώματι » συμπεσεῖν, καὶ γενέσθαι παντάπασιν ὠχρὸς καὶ ἰσχνός ». ἐνδέχεται δὲ καὶ τοῖς ἀντιγράψασιν ἡμαρτῆσθαι τὸ Συμπεσόντα, ἢ καὶ τὸν Ἡλιόδωρον τῷ συνθέτῳ χρήσασθαι ἀντὶ τοῦ ἁπλοῦ Πεσόντα, τούτῳ δὲ, ἀντὶ τοῦ Εἰς κλίνην πεσόντα διὰ τὴν κάκωσιν, ἤγουν τὴν ἀῤῥωστίαν, ὡς καὶ ὁ Λ ἐξεδέξατο, οὐκ ἀντὶ τοῦ, Τραυματισθέντα ἐκ πτώματος, ὡς ἐξέφρασεν ὁ Α, *Dictes que je me suis blecé d'une cheute, m'estant allé esbatre aux champs.* ὅτι δὲ τὸ Πίπτειν εἰς κλίνην, ὅπερ σώζεται καὶ ἐν τῇ συνηθείᾳ (φαμὲν γὰρ, Ἔπεσε νὰ κοιμηθῇ), οὐκ ἠλλοτρίωται τῆς ἀρχαίας φωνῆς δηλοῖ μὲν καὶ τὸ σύνθετον, Κλινοπετὴς, ἀνθ' οὗ ἡ συνήθεια προείλετο τὸ Κατάκοιτος (καὶ οὐ Κατάκειτος, ὡς ἐμφέρεται ἐν τῷ ὀλίγοις ἔτεσι πρόσθεν ἐκδοθέντι τριγλώσσῳ λεξικῷ), δηλοῖ δὲ καὶ ἡ τῶν δοκίμων χρῆσις, τοῦτο μὲν Αἰσχύλου λέγοντος (Ἀγαμέμν. 577),

. . . . . . Εὖτε πόντος ἐν μεσημβριναῖς
Κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσών,

τοῦτο δὲ Εὐριπίδου (Ἑκάβ. 927),

Ἐπιδέμνιος ὡς πέσοιμ' ἐς εὐνάν.

καὶ Ἀριστοφάνης δὲ εἴτε παρῳδῶν, εἴτε καὶ ζηλώσας ἄλλως τὸν Εὐριπίδην, εἴρηκε (Θεσμοφ. 1122),

Πεσεῖν εἰς εὐνὴν καὶ γαμήλιον λέχος.

ἡ αὐτὴ δὲ συνήθεια καὶ Πλαγιάζω, ἀμεταβάτως λέγει ἐπὶ τῆς αὐτῆς σημασίας, διὰ τὸ πλαγίους ὡς ἐπὶ τὸ πολὺ ἀνακλίνεσθαι τοὺς καθευδήσοντας· ὅθεν καὶ ὁ Λουκιανὸς εἴρηκέ που (Συμποσ. ἢ Λαπίθ. § 47), « Ἐπεὶ ἅπαξ καταβαλὼν » ἑαυτὸν ἐπὶ τῆς κλίνης ΠΛΑΓΙΏΣ ἐκάθευδε ». — Στ. 24, Μόνῃ.] Ἐν τῇ Β, Μόνον, καὶ τεθειμένον μετὰ τὸ, Ταῦτα· ἐν δὲ ταῖς ΑΑ γράφεται ἐκ περιττοῦ, Μόνῃ τῇ ἐμῇ ταῦτα μόνον.

Σελ. 308, στ. 1, Εἰ γὰρ φιλοίη, καθάπερ ΔΉ ΚΑῚ ΝΥ͂Ν, ΕἸ καὶ συγκαθεύδοι κ. τ. λ.] Ἡμάρτηται πάντως ἡ τοῦ χωρίου γραφὴ, καίπερ οὕτως ἔχουσα παρὰ πᾶσι πλὴν τῆς Β, ἐξ ἧς λείπει μόνον τὸ Δὴ μόριον. ὁ Α, παραμυθού-

μενος τὸ δυσνόητον, παρέφρασεν, ὡς εἴπερ ἐγέγραπτο, Εἰ γὰρ φιλοίη, καθάπερ δὴ καὶ νῦν ποιήσει κ. τ. λ. ὁ δὲ νοῦς τῆς αὐτοῦ μεταφράσεως οὗτος, Εἰ περιέβαλλε καὶ ἐφίλει τὴν Χαρίκλειαν, καὶ συνεκάθευδεν αὐτῇ ἐν τῷ παρελθόντι χρόνῳ (καθάπερ ποιήσει νῦν ἕνεκα τοῦ ἐξαπατῆσαί με), δῆλον ὅτι μνηστὴ αὐτοῦ καὶ οὐκ ἀδελφή ἐστιν. ὁ δὲ Λ τὴν ῥῆσιν ὅλην ἐρωτηματικῶς, ἢ ὡς ἐρωτηματικῶς, ἐξεδέξατο οὕτως, Εἰ γὰρ καὶ περιβάλλει, καὶ φιλεῖ, καὶ συγκαθεύδει, καθάπερ ποιεῖ νῦν, μὴ παρὰ ταῦτα δῆλόν ἐστιν ὅτι μνηστὴ αὐτοῦ καὶ οὐκ ἀδελφή; ἴσως ἐγέγραπτο τὴν ἀρχὴν ὧδέ πως, Εἰ γὰρ περι-
» βάλλοι, εἰ γὰρ φιλοίη, καθάπερ ΔΙΚΑΙΟΝ ΝΥΜ-
» ΦΗΝ, Ἢ καὶ συγκαθεύδοι κ.τ.λ. ὁ δὲ νοῦς, οὕτω παραφράζουσι, γενήσεται πρόδηλος, Εἰ γὰρ ἑώρων αὐτὸν περιβάλλοντα, φιλοῦντα, καθάπερ ἐστὶ δίκαιον, τουτέστι καθὰ νενόμισται ποιεῖν τοὺς μνηστῆρας, ὅταν συνῶσι ταῖς νύμφαις, ἢ καὶ συγκαθεύδοντα, καθαρὸν ἂν εἶχον ἔλεγχον τοῦ μνηστὴν αὐτοῦ καὶ οὐκ ἀδελφὴν εἶναι τὴν Χαρίκλειαν· ἀλλ᾽ οὐδὲν τούτων ποιεῖ, δηλονότι διὰ τὸ ἀδελφὴν αὐτοῦ εἶναι. — Στ. 7, Μή τι γε.] Διωρθωσάμην καὶ πάλιν τὸ ἡμαρτημένον, Μή τοι γε.

Βιβλίῳ Η, Σελ. 309, στ. 5, Ἀμηχανίαν.] Ἴσως παρελείφθη τὸ, Κατέστησεν, ἢ ἄλλο τι ἰσοδύναμον ῥῆμα, ἵνα ᾖ Εἰς πᾶσαν ἀμηχανίαν κατέστησε, τὸν Ὀροονδάτην δηλονότι χωρὶς εἰ μή τις ἀρκοῦν οἴοιτο τὸ ἐχόμενον, Κατηνάγκαζεν. — Στ. 8, Ἡ γὰρ πόλις αἱ Φίλαι.] Ὀρθῶς γεωγραφεῖ τὰ κατὰ τὰς Φίλας· καὶ Στράβων γὰρ (ΙΖ, σελ. 818) μικρὸν ἐπάνω τοῦ μικροῦ Καταῤῥάκτου τὰς Φίλας εἶναι φησὶ, σταδίους ὁμοῦ τι ἑκατὸν ἀπεχούσας Συήνης, κοινὴν κατοικίαν Αἰθιόπων τε καὶ Αἰγυπτίων. ὁ δὲ Στέφανος (περὶ Πόλ.), Φίλαν, ἑνικῶς αὐτὰς ὀνομάζει. Βοχάρτος δε (Ἱερ. Γεωγραφ. Μερ. Α, Βιβλ. Δ, κεφ. κϛ) τοὔνομα Φίλας, ἢ Φίλαν, ἐπιχώριον εἶναι βούλεται Αἰθιόπων παρὰ τὸ Φὶλ, ὃ παρὰ τοῖς πλείστοις τῶν Ἀσιανῶν καὶ Λιβύων ἔθνεσιν, Ἐλέφαντα σημαίνει· εἶναι τε τὰς Φίλας ἐξελληνιζομένας, Ἐλεφαντίνην, οὐ τὴν αὐτὴν ἀλλ᾽ ὁμώνυμον τῇ ἑτέρᾳ Ἐλεφαντίνῃ πόλιν. προσσημειωτέον δὲ τοῖς εἰρημένοις περὶ τῶν Φιλῶν, ὡς Ἡλιόδωρος,

δωρος, κατοικεῖσθαι ταύτας ὑπὸ φυγάδων Αἰγυπτίων λέγων, ἔοικέ πως συγχέειν τῇ ἰδίως οὕτω καλουμένῃ Νήσῳ τῶν φυγάδων, μικρὸν ὑπὲρ τῆς Μερόης κειμένῃ, ἣν εἶχον οἱ Αἰγυπτίων φυγάδες οἱ ἀποστάντες ἐπὶ (γρ. ἀπὸ) Ψαμμιτίχου, καθά φησι Στράβων (Α, 118, ΙϚ, 770 καὶ ΙΖ, 786). Ἡρόδοτος δὲ τοὺς ἀποστάντας ἀπὸ Ψαμμιτίχου, οὓς Αὐτομόλους ἰδίως ὀνομάζει, ἀπέχειν φησὶ (Β. λ′) τῆς Μερόης ὁδὸν ἡμερῶν ἓξ καὶ πεντήκοντα. — Στ. 17, Ἑαυτοῖς.] Διόρθωκα τὸ, Ἑαυτοὺς, τρέψας εἰς τὸ, Ἑαυτοῖς, διὰ τὸ, Προσνέμειν.

Σελ. 310, σλ. 5, Ἐξῄτει μὲν καὶ τὰς Φίλας, ἐξῄτει δὲ καὶ τὰ σμαράγδεια μέταλλα.] Οὕτως αἱ ΚΑ, αἷς κατηκολούθησαν ὁ Λ, Α, καὶ Μ. μνημονεύει δὲ τῶν σμαραγδείων τούτων μετάλλων καὶ Ὀλυμπιόδωρος (Φωτ. Κωδ. π′), παρὰ τούτους τοὺς τόπους (τὰς Φίλας καὶ τὴν Συήνην) σμαράγδου μέταλλα εἶναι πυθέσθαι φάσκων, ἐξ ὧν τοῖς Αἰγυπτίων βασιλεῦσιν ἡ σμάραγδος ἐπλεόναζε. — Στ. 8, Προφθῆναι.] Αἱ ΑΑ, Προοφθῆναι. — Στ. 11, Στρατείας.] Ἄμεινον ἴσως ἐνταῦθα γράφειν, Στρατιᾶς· Στρατιὰ μὲν γάρ ἐστιν αὐτὸς ὁ Στρατὸς, Στρατεία δὲ, ἡ ἐξόρμησις τοῦ στρατοῦ, καθὰ καὶ ἐν τοῖς ἑξῆς δηλώσομεν. — Στ. 13, φρουροῖς.] Αἱ ΚΑ, Φρουραῖς αἱ δὲ ΑΑ, Φρουρᾶς. — Στ. 14, Καὶ φιλίας.] Ἐξεῖλον τὸν διαζευκτικὸν, ὃν παρέλιπον καὶ οἱ μεταφράσαντες. — Στ. 21, Πεπυσμένον.] Οὕτως αἱ ΔΑ 634, αἷς κατηκολούθησε καὶ ὁ Μ. καὶ οἱ μεταφράσαντες δὲ τοῦτο ἡρμήνευσαν. — Στ. 24, Γεγόνοι.] Ἐκ τῶν ΚΑ, ἐν αἷς καὶ ἑτέρα γραφὴ, Ἐγεγόνει, φέρεται.

Σελ. 311, σλ. 6, Τῆς βασιλείας αὐλῆς.] Ἄμεινον γράφαν, Τῆς βασιλείου αὐλῆς, ἢ γοῦν τῆς βασιλέως αὐλῆς, ὡς καὶ ἐν τοῖς ἑξῆς (σελ. 346), ἧς γραφῆς ἡ ἐν ταῖς ΔΑ12, Τῆς αὐλῆς βασιλέως, τῇ τάξει μόνῃ διαφέρει. — Στ. 16, Νεανίου κ. τ. λ,] Τὸ, Νεανίου, παρείληφα ἐκ τῶν ΑΑ. τὸ δὲ ἐχόμενον Προαχθῆναι, ἔτρεψα εἰς τὸ Πραχθῆναι, ὁρμηθεὶς ἀπὸ τοῦ προηγησαμένου, Πέπρακται. — Στ. 18, Προαναρπάζων.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Προαρπάζων. — Στ. 23, Ἐνεγκών.] Εἰς τοῦτο ἔτρεψα τὸ, Ἐξενεγκὼν, ὅπερ ἀνοίκειον

ὅλως τοῦ προκειμένου χωρίου. — Στ. 25, Ἐνεπεπλήκει, καὶ ὅλως.] Ἐκ τῶν ΔΑ481, τὸ Ὅλως, ἐν αἷς καὶ Ἐμπεπλήκει, ἀντὶ τοῦ, Ἐνεπεπλήκει, φέρεται.

Σελ. 312, σἰ. 1, Ἐξῆγε.] Καὶ τοῦτο ἐκ τῶν ΔΑ481. καλῶς ἐνταῦθα τὸ ἡμαρτημένον Ἐξήει, εἰς τὸ, Ἐξήτει, τρέπειν παρήνει τις τῶν Κριτικῶν (Πρακτ. τῆς Ῥηνοπεραίας Ἀκαδημ. Τομ. Α, σελ. 100). — Στ. 5, Μικρά] Ἐκ τῶν ΚΑ καὶ ΑΑ· συνυπακουστέον δὲ τὸ, Πράγματα, ἤ τι τοιοῦτον. — Στ. 15, Τῶν πεπιστευμένων εὐνούχων.] Σημείωσαι τὴν μετοχὴν ἐπιθετικῶς λαμβανομένην ἀντὶ τοῦ, Πιστῶν, ὡς καὶ ἐν τῇ συνηθείᾳ φαῖμεν ἄν, Προσκαλέσας ἕνα ἀπὸ τοὺς ἐμπισἰευμένους εὐνούχους. τὸ δὲ τοῦ εὐνούχου ὄνομα, Βαγώας, ἐνἰαῦθα μὲν ὡς κύριον τέθειἰαι, καθὰ καὶ παρὰ τῷ Πλουἰάρχῳ, καὶ παρ' ἄλλοις, εὐνούχους ἔσἰιν εὑρεῖν τῷ αὐτῷ τούτῳ καλουμένους ὀνόματι· εἰκὸς δέ ποτ' αὐτὸ καὶ προσηγορικῶς κοινὸν πᾶσι τοῖς Εὐνούχοις ὑπάρξαι παρὰ τοῖς Πέρσαις, ὥς φησι Πλίνιος (ΙΓ, δ'), *Bagoü : ita enim vocant spadones.* — Στ. 20, Γράμματα.] Οὕτω διώρθωκα, διὰ τὸν ἐχόμενον ἐπιμερισμὸν, « Τὸ μὲν ... πρὸς δέ ».

Σελ. 313, σἰ. 8, Ἀφαιρησόμενος.] Ἐν ταῖς ΔΑ127 γράφεται, Ἀφαιρεθησόμενος, ὃ προκρίνει Δορβίλλος, ἐπιλαθόμενος, ὡς ἔοικεν, ὅτι τῶν Ἀττικῶν ἐστι τὸ τοῖς μέσοις μέλλουσιν ἀντὶ τῶν παθητικῶν χρῆσθαι. εἰς δέον δὲ παρεσημειώσατο τὸν Λ ἐνταῦθα ἀνεγνωκέναι ἡμαρτημένως, Τῆς χώρας ἀφαιρησόμενος, ἀντὶ τοῦ, Τῆς δορᾶς ἀφαιρησόμενος. — Στ. 13, Ὀροονδάτης.] Ἐν τῇ Β, Ὀροονδάτης αὐτός· ἴσως οὐ καλῶς· ἔχει γὰρ τὴν ἀναφορὰν εἰς τὸ προηγούμενον, Ἐξώρμησαν, ὡσανεὶ ἔλεγεν, Ἐξώρμησεν οὐ μόνον ὁ Βαγώας, ἀλλὰ καὶ Ὀροονδάτης αὐτός. — Στ. 23, Ἐν ἡμέραις ταῖς τεταγμέναις.] Ταῖς ἑπτὰ δηλονότι, ὧν ἐμνήσθη ἀνωτέρω (σελ. 274)· — Στ. 25, Ὅτε δὴ παραιτεῖσθαι καὶ τοῖς θύραθεν κ. τ. λ.] Τουτέστιν, ὅτε δὴ καὶ τοῖς θύραθεν, ἤγουν τοῖς εἰργομένοις τέως, διὰ τὴν κηδείαν (σελ. 274), τοῦ ἱεροῦ, συγχωρεῖσθαι τὴν εἰς αὐτὸ εἴσοδον διετέτακτο ὑπὸ τοῦ προφιλικοῦ νόμου. καὶ ὁ μὲν νοῦς τοιοῦτος· τὴν δὲ κατὰ λέξιν γραφὴν, Τοῖς θύραθεν, τρεπτέον ἴσως εἰς τὸ, Τοὺς θύραθεν.

Σελ. 314, στ. 3, Ἐζήτει.] Εἰς τὸ Ἐξήτει κἀνταῦθα τρέπει ὁ Μ τὸ, Ἐζήτει. παραπλησίως δὲ διώρθου τὸ χωρίον πρὸ αὐτοῦ καὶ ἕτερός τις τῶν Κριτικῶν (Πρακτ. τῆς Ῥηνοπεραίας Ἀκαδημ. Τόμ. Α, σελ. 99). οὐ μέντοι δοκεῖ ἀναγκαῖον ἐνταῦθα τὸ Ἐξήτει, ὡς ἐν τοῖς πρόσθεν (σελ. 310). τῶν δὲ ἐχομένων, Νέους ξένους, θάτερον ὁποτερονοῦν παρέλκειν οἴεται ὁ Μ. — Στ. 10, Νεῷ.] Ἀπεκατέστησα τὸν Ἀττικισμὸν τῆς λέξεως, ᾧ χαίρει ὁ Ἡλιόδωρος. ἀντὶ δὲ τοῦ ἐχομένου, Ἀπηγόρευτο, ἐν ταῖς ΚΑ γράφεται, Ἀπηγορεύετο. — Στ. 11, Τὴν αὐτὸς αὐτοῦ.] Καὶ τοῦτο τῶν Ἀττικῶν, τὸ ὑπερβιβάζειν τῆς ἀντωνυμίας τὸ ἄρθρον. αὐτίκα Σοφοκλῆς (Οἰδ. Κολ. 929),

Σὺ δ' ἀξίαν οὐκ οὖσαν αἰσχύνεις πόλιν
Τὴν αὐτὸς αὐτοῦ. . . . . . . . . . . . . . . .

Στ. 23, Ὧν εἰς τὴν σύλληψιν κ. τ. λ.] Ἤγουν, ἧς ἀνακομιδῆς τοῦ ἰδίου γένους, καὶ εἰς τὴν πατρίδα ἀποκαταστάσεως, συλλήπτορα καὶ συμβοηθὸν ἐμὲ καταλέλοιπεν ὁ πατήρ.

Σελ. 315, στ. 3, Μεθ' ἡμῶν ὂν φαίνεται.] Ἅπαντες, Μεθ' ἡμῶν ἂν φαίνηται, πλὴν τοῦ πέμπτου ἐκδότου καὶ τοῦ Μ, οἳ γράφουσιν, οὐκ οἶδ' ὅθεν λαβόντες, Μεθ' ἡμῶν ἂν φαίνεται. εἴτε μέντοι καθ' ὑποτακτικὴν, Φαίνηται, εἴτε καθ' ὁριστικὴν ἔγκλισιν, Φαίνεται, ἀναγιγνώσκοις, ἡ τοῦ Ἂν σύνταξις σολοικισμοῦ οὐκ ἀπήλλακται. γραπτέον οὖν, ὡς διώρθωκα. Μεθ' ἡμῶν ὂν φαίνεται, ἢ γοῦν, Μεθ' ἡμῶν ἂν φαίνοιτο. — Στ. 13, Βούλημα.] Αἱ ΑΑ, Βούλευμα. — Στ. 14, Ἡ τῶν ὀνομάτων ἀξίωσις.] Ψυχρῶς πάνυ καὶ κακοζήλως παρῴδησε τὸν Θουκυδίδην· ἐκεῖνος μὲν γὰρ, τὰ ἐκ τῶν κατὰ τὰς Ἑλληνικὰς πόλεις στάσεων κακὰ διηγούμενος, καὶ τοῦτο πρὸς τοῖς ἄλλοις προστίθησιν (Γ, πβ´), ὅτι ἐξαγριωθέντες οἱ ἄνθρωποι τοῖς κακοῖς, καὶ αὐτὴν τὴν τῶν ὀνομάτων ἀξίωσιν, τουτέστι τὴν δύναμιν, μετέβαλον, ἐκδεχόμενοι τὰς λέξεις, οὐκ ἐφ' ἧς ἐτετάχατο σημασίας, ἀλλ' ὡς αὐτοὶ δίκαιον ἔκρινον· « Ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων, καὶ τὰ » ἐφυστερίζοντά που πύστει τῶν προγενομένων, πολὺ ἐπέφερε τὴν » ὑπερβολὴν τοῦ καινοῦσθαι τὰς διανοίας, τῶν τ' ἐπιχειρήσεων » περιτεχνήσει, καὶ τῶν τιμωριῶν ἀτοπίᾳ. καὶ τὴν εἰωθυῖαν

» ΑΞΙΩΣΙΝ ΤΩΝ ΟΝΟΜΑΤΩΝ εἰς τὰ ἔργα ἀντήλλαξαν τῇ » δικαιώσει. τόλμα μὲν γὰρ ἀλόγιστος, ἀνδρία φιλέταιρος ἐνο- » μίσθη· μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπής· τὸ δὲ σώ- » φρον τοῦ ἀνάνδρου πρόσχημα κ. τ. λ. »· ἐξ ὧν δῆλον ὅτι Θουκυδίδης κακὸν οἴεται, καὶ κακὸν μέγιστον, τὸ ἀνταλλάσ- σειν τὴν ἀξίωσιν τῶν ὀνομάτων, εἰκότως· εἰ γὰρ καὶ τὰ σῦκα, σῦκα λέγειν, καὶ τὴν σκάφην, σκάφην, χρὴ τοὺς ἀλλήλων συνήσοντας καὶ μετ᾽ ἀλλήλων βιωσομένους, ἥπου τοῦ παν- τὸς ἄξιον, τῶν τὰς ἀρετὰς ἢ κακίας δηλούντων ὀνομάτων τὴν ἀξίωσιν τηρεῖν ἀπαράλλακτον. ὁ δὲ Ἡλιόδωρος τοὐ- ναντίον ἔοικε λέγειν ἐπὶ τοῦ προκειμένου χωρίου, φάσκων, ὅτι εἰρήνην καὶ πόλεμον οὐχ ἡ τῶν ὀνομάτων ἀξίωσις, ἀλλ᾽ ἡ τῶν χρωμένων διάταξις ἀληθέστερον γνωρίζειν πέφυκε. τὸ μὲν γὰρ τῆς Εἰρήνης ὄνομα, φιλίας ἀξίωσιν ἔχει, καὶ τοὺς εἰρήνην συνθεμένους, φιλικῶς ἀλλήλοις προσφέρεσθαι δεῖν ὑπαγορεύει· τὸ δὲ τοῦ Πολέμου ἔχθραν σημαίνει, καὶ τοὺς πολεμοῦντας ἀλλήλοις, εἰκὸς καὶ κατ᾽ ἔχθος ἅπαντα λέγειν τε καὶ πράττειν τὸ πρὸς ἀλλήλους. καὶ ἡ μὲν Ἀρσάκη ἐν εἰρήνῃ οὖσα μετὰ τῶν Βισσαέων, καὶ πολέμου νόμῳ, τοῦ καταλυθέν- τος ἤδη, τὸν Θεαγένην ὡς αὐτῇ προσήκοντα κατέχειν πειρω- μένη, ἀντήλλασσε τὴν τῶν ὀνομάτων ἀξίωσιν, εἰκότως· τύραν- νος γὰρ ἦν καὶ βάρβαρος. ὁ δὲ Θύαμις τὸν μηδὲν αὐτῇ προσ- ήκοντα παρ᾽ αὐτῆς ἐξαιτούμενος ἐν εἰρήνῃ, τῆς τῶν ὀνομάτων ἀξιώσεως ὤφειλε μάλιστα προΐστασθαι, καὶ ταύτην προβάλ- λεσθαι. ὅτι δὲ Ἡλιόδωρος ἠτύχησε περὶ τὴν τοῦ Θουκυδίδου μίμησιν, δῆλον μάλιστα γενήσεται παραθεμένοις τὰ τοῦ Πλουτάρχου, ὃς αὐτὰ ταῦτα τὰ τῷ Θουκυδίδῃ περὶ τῶν ἀντ- αλλασσόντων τὴν τῶν ὀνομάτων ἀξίωσιν εἰρημένα προσφυῶς ἅμα τε καὶ φιλοσόφως ἐπὶ τοὺς ἐπιτρίπτους κόλακας μετήνεγ- κεν, οὑτωσὶ λέγων (Πῶς ἄν τις διακρίν. τὸν Κόλ. τοῦ φίλ. § 18), « Ἐν μὲν γὰρ ταῖς στάσεσι καὶ τοῖς πολέμοις ὁ Θουκυ- » δίδης φησὶν, ὅτι τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων εἰς » τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει ... ἐν δὲ ταῖς κολα- » κείαις ὁρᾶν χρὴ καὶ παραφυλάττειν, ἀσωτίαν μὲν, ἐλευθε- » ριότητα καλουμένην, καὶ δειλίαν, ἀσφάλειαν· ἐμπληξίαν » δὲ, ὀξύτητα, μικρολογίαν δὲ, σωφροσύνην κ. τ. λ. ». καὶ

ταῦτα μὲν ὁ Πλούταρχος, ἀμείνω μακρῷ καὶ βιωφελέστερα τῆς Ἡλιοδώρου παρῳδίας· ἡμεῖς δὲ ἐπὶ τὰ ἑξῆς μεταβῶμεν. Στ. 25, Ὁ μὲν ἀγνοούμενος, ὀκνηρότερος, ὁ δὲ πεφωραμένος, θρασύτερος.] Παρεμβεβλῆσθαι τοῦθ᾽ ὅλον ἔοικεν, ἢ καὶ ὡς ἑρμηνεία τοῖς προηγησαμένοις προσγεγράφθαι, ὑπὸ ψυχροῦ τινος καὶ ἀπειροκάλου Γραμματικοῦ.

Σελ. 316, στ. 13, Πρὸς ταῦτα ῥητόρευε κ. τ. λ.] Τῆς Σοφοκλέους μούσης ἀπόζει ταῦτα· οὕτω γὰρ ἐκεῖνος (Οἰδ. Τυρ. 343),

.........Πρὸς τάδ᾽, εἰ θέλεις,
Θυμοῦ δι᾽ ὀργῆς, ἥτις ἀγριωτάτη.

καὶ αὖθις (426),

Πρὸς ταῦτα καὶ Κρέοντα καὶ τοὐμὸν σ͂τόμα
Προπηλάκιζε.....................

Στ. 16, Τούτων ἕκαστος ποιούμενος.] Ὁ Λ ἔοικεν ἀντὶ τοῦ, Ἕκαστος, ἀνεγνωκέναι, Ἕκαστον, ὃ καὶ ἄμεινον· ὁ γὰρ νοῦς, Ποιούμενος τὸ ἴδιον βούλημα ἕκαστον τούτων τῶν προειρημένων δικαίων, πρεπόντων, συμφερόντων, τουτέστι, Πᾶν ὅ, τι βούλεται, δίκαιον πρέπον καὶ συμφέρον ἡγούμενος.—Στ. 24, Μίαν ὁρῶ προφητείαν ἔρως κ.τ.λ.] Ἀντὶ τοῦ Ἔρως, ἐν ταῖς ΚΑ γράφεται, Ἔρωτος· καὶ ἴσως ἦν ἡ ἀρχαία γραφὴ, Μίαν ὁρῶ προφητείαν, ἔρωτος τὴν ἐπιτυχίαν.

Σελ. 317, στ. 11, Ὕλη.] Ἔτρεψα τὴν παρὰ πᾶσιν ὀνομαστικὴν εἰς τὴν δοτικὴν, ἣν ἐξέφρασε καὶ ὁ Α. — Στ. 17, Διαταράττει.] Ἐν τῇ Β, Καταράττει. — Στ. 18, Πέπυσται.] Ἐν ταῖς ΚΑ, Πεπίστηται. ἐν δὲ ταῖς ΑΑ, Πεπίστευται. Στ. 20, Ὃς νῦν μηνυτὴς ὡς κ.τ.λ.] Προσέθηκα τὸ, Μηνυτὴς, ἐκ τῶν ΚΑ καὶ ΑΑ, ἐν αἷς ἡμαρτημένως γράφεται, Οὐχὶ μηνύτης. — Στ. 21, Ἄπιστα.] Παρείληφα τοῦ Καντέρου τὴν εἴτε γραφὴν εἴτε διόρθωσιν. ὁ δὲ νοῦς, Ἢ πείσει Ὀροονδάτην Ἀχαιμένης ἀληθῆ εἶναι τὰ ὑπ᾽ αὐτοῦ κατηγορούμενά μου, ἢ γοῦν εἰς ὑπόνοιαν αὐτὸν ἐμβαλεῖ τοῦ μὴ πάντως ἄπιστα εἶναι, τουτέστι τοῦ ἐνδέχεσθαι καὶ ἀληθῆ εἶναι· ἔστι γάρ τι μέσον ἀπιστίας καὶ πίστεως, ἐφ᾽ οὗ σαλεύει πολλάκις ὁ λογισμὸς διστάζων. τοιοῦτόν τι βούλεται καὶ Φιλόστρατος ἐν τῇ ΙΑ τῶν ἐπιστολῶν, λέγων, « Καὶ γενοῦ περὶ αὐτὸν οἷον εἰκὸς ἢ τὸν

» πεπεισμένον, ἢ τὸν μὴ ἀπιστοῦντα». — Στ. 22, Μίαν θεραπείαν καὶ δάκρυον Ἀρσάκειον κ. τ. λ.] Ἐν τῇ Β, Μία θεραπεία, καὶ δάκρυον Ἀρσάκης. καὶ παρέλαβον ἂν τὸ, Ἀρσάκης, εἰ μὴ καὶ ἐν τοῖς πρόσθεν (σελ. 61), Δακρύων Θεαγενείων, εἰρήκει. οὐκ ἀπιθάνως δὲ τὴν αὐτῆς παρουσίαν καλακρατήσειν τῆς Ὀροονδάτου ὀργῆς προσδοκᾷ· τοῦτο γὰρ καὶ Πηλεὺς ὀνειδίζει τῷ Μενελάῳ ὡς μαλθακισθέντι ὑπὸ τῆς ὄψεως τῆς προδεδωκυίας αὐτὸν Ἑλένης (Εὐριπίδ. Ἀνδρομ. 628),

Οὐκ ἔκτανες γυναῖκα χειρίαν λαβών·
Ἀλλ', ὡς ἐσεῖδες μαστὸν, ἐκβαλὼν ξίφος,
Φίλημ' ἐδέξω, προδότιν αἰκάλλων κύνα.

Στ. 23, Μεγάλην εἰς πειθὼ κ. τ. λ.] Αἰνίττεται τὸ τοῦ Εὐριπίδου (Ἰφιγ. ταύρ. 1053),

Ἀλλ' ἀντίαζε, καὶ λόγους πειστηρίους
Εὕρισκ'· ἔχει τοι δύναμιν εἰς οἶκτον γυνή.

Σελ. 318, στ. 3, Ἐνlυχεῖν.] Οὕτως ἅπαντες, πλὴν τῆς Β, ἐν ᾗ Εὐτυχεῖν γράφεlαι, ὅπερ ἀκολούθως τοῦ Κ ἐχαράχθη ὑπὸ τοῦ τυπογράφου εἰς τὴν αὐτοῦ ἔκδοσιν. — Στ. 9, Ἠγνόηκας.] Οὕτω κατὰ παρακείμενον αἱ ΔΑ722.

Σελ. 329, στ. 10, Λυπῆσαι.] Ἐν ταῖς ΚΑ, Λυπηθῆναι. Στ. 12, Ἐπεστραμμένον.] Τουτέστι, μετανενοηκότα. καὶ σημείωσαι τὴν λέξιν, ὡς τῆς Γραφικῆς ἐχομένην ἰδέας· οἷόν ἐστι τὸ (Ἰωάν. ΙΒ, μ'.), «Πεπώρωκεν αὐτῶν τὴν καρδίαν, ἵνα » μὴ... ἘΠΙΣΤΡΑΦΩΣΙ καὶ ἰάσωμαι αὐτούς». — Στ. 13, Ἀπελπισθεὶς γὰρ ὁ ἔρως ... εἰς τιμωρίαν.] Παράθες τὴν βραχεῖαν ταύτην καὶ ἀληθῆ γνώμην (ἣ λείπει ἔκ τε τῆς Β καὶ τοῦ Λ) τοῖς εἰρημένοις διὰ μακρῶν Ἀχιλλεῖ τῷ Τατίῳ (ϛ, ιθ') περὶ τῆς αὐτῆς ταύτης ἀπογνώσεως τοῦ ἔρωτος, ἵν' ἔχῃς διακρίνειν αὐτοφυὲς κάλλος τοῦ μὴ τοιούτου.

Σελ. 320, στ. 5, Ἔχοι.] Οὕτως αἱ ΚΑ. — Στ. 10, Λυποῦσα.] Ἐκ τοῦ Λ καὶ τοῦ Α ἡ διόρθωσις, ἣν παρείληφε καὶ ὁ Μ. — Στ. 22, Ἀλλ' ἀπηγόρευτο καὶ αὐτῇ παρ' ἐλπίδας ἡ πεῖρα, συνεῖσα οἷ κακῶν ἦν.] Ἐν τῇ Β (ᾗ κατηκολούθησεν ὁ Λ) γράφεται καὶ στίζεται οὕτω, Ἀλλ' ἀπηγόρευτο, καὶ αὐτὴ παρ' ἐλπίδα τῇ πείρᾳ συνεῖσα οἷ κακῶν ἦν· ἐν δὲ ταῖς ΔΑ

340, Ἀλλ᾽ ἀπηγορεύετο καὶ αὐτῇ παρ᾽ ἐλπίδας ἡ προσβολὴ ὅπου, καὶ εἰς ποῖον μέρος ἡ πεῖρα κ. τ. λ. ταῦτα ὁ ἀγαθὸς ἡμῖν Δορβίλλος, καίπερ ἐσχάτης ἀπόζοντα βαρβαρότητος, ὡς οἰκεῖα τῷ Ἡλιοδώρῳ ἐγκρίνει, οὐ συνεὶς ὅτι εἰσὶν ἐπεξηγήσεις (ἃς ἡ συνήθεια ψυχαγωγίας καλεῖ), τὸ μὲν, Προσβολὴ, τοῦ, Πεῖρα, τὸ δὲ, Ὅπου καὶ εἰς ποῖον μέρος, τοῦ τοπικοῦ ἐπιῤῥήματος, Οἷ.

Σελ. 321, σ7. 2, Ὡς παιχθεῖσα εἰς τὴν τοῦ ἔρωτος σύλληψιν.] Τουτέστιν, ὡς παιξάσης καὶ χλευασάσης αὐτὴν τῆς Κυβέλης, καὶ μὴ ἀληθῶς συλλαβομένης, ἤγουν βοηθησάσης αὐτῇ εἰς τὸν ἔρωτα. τοῦτο ὁ Λ οὐ συνῆκεν· ἐξέφρασε γὰρ *Territa amoris deprehensione*, ἀντὶ μὲν τοῦ, Παιχθεῖσα, ἀναγνωστέον εἶναι ὑπολαβὼν, Πτοηθεῖσα, ἢ Πτήξασα, τὸ δὲ, Εἰς τὴν τοῦ ἔρωτος σύλληψιν, ἐκδεξάμενος ἀντὶ τοῦ, Ἐπὶ τῷ συλληφθῆναι ἐρῶσα. — Στ. 6, Διαδῦναι.] ἐν ταῖς ΑΑ, Διαδοῦναι· ἴσως ἐξ ἑτέρας γραφῆς, ἢ ἐπεξηγήσεως, τῆς Διαδρᾶναι. — Στ. 10, Ἀλλ᾽ ἀεὶ γίγνεται καὶ πλέον θρασύτερος.] Σύναπτε τὸ, Ἀεὶ, πρὸς τὸ, Καὶ πλέον. ἔστι δὲ, τὸ, Ἀεὶ καὶ πλέον (ὃ καὶ, Ἀεὶ καὶ μᾶλλον, λέγεται), τὸ ἐν τῇ συνηθείᾳ οὐκ ἀκόμψως λεγόμενον, Ὅσον ὑπάγει περισσότερον. — Στ. 20, Ἐπιτείνασα.] Ἐν ταῖς ΑΑ, Ἐπιτείνουσα. — Στ. 23, Τὸ ἀναιρεῖν δίχα κρίσεως ... ἀπηγόρευται.] Ἐμφανεῖ καὶ ἐν τοῖς ἑξῆς, σελ. 325 καὶ 326, ὅτι οὐκ ἐξῆν τοῖς Πέρσαις καταδικάζειν εἰς θάνατον ἄνευ κρίσεως τῶν ἐν τέλει· ὅπερ ἦν ἂν ἄριστον τυραννίας ἔμφραγμα, εἰ ἀληθὲς ἐτύγχανεν ὄν. μόνῃ καὶ γὰρ τῇ παραθέσει τῶν τριῶν τούτων χωρίων τοῦ Ἡλιοδώρου, καὶ οὐδαμόθεν ἄλλοθεν, κατασκευάζει τοῦτο ὁ Βρισσόνιος ἐν τῷ περὶ τῆς Περσῶν Βασιλείας συντάγματι (Β, § 211).

Σελ. 322, σ7. 1, Πρόσεστι.] Εἰς τοῦτο δεῖν ἔγνων μεταβαλεῖν τὸ πρὸς τὰ λοιπὰ ἀσυνάρτητον, Προσέτι. ἔχεται δὲ ἡ διόρθωσις τῆς ὁμοίας ἐννοίας τε καὶ συντάξεως τῷ ἐν τοῖς ἑξῆς (σελ. 331), « Προσῆν δὲ καὶ τὸ προσομιλεῖν ἀλλήλοις ». Στ. 4, Γεγοητευμένῳ.] Ἐν τῇ Β, Γεγοητευσαμένῳ· ἐν δὲ ταῖς ΚΑ, Γοητευομένῳ. — Στ. 9, Ὅπως αὐτὴν.] Ἐξήλειψα τὸ, Ποικίλως, ὅπερ λείπει ἐν ταῖς ΑΑ, τῷ Λ, καὶ τῷ Α. — Στ. 10, Ποικίλως αὐτήν.] Προσέθηκα ἐνταῦθα τὸ, Ποικίλως αὐτὴν,

ἐκ τῶν ΑΑ, τοῦ Λ καὶ τοῦ Α. — Στ. 14, Καὶ Ὦ δαιμονία.] Ἴσως περιττὸς ὁ, Καὶ, ὃν οὐδὲ ὁ Λ ἐξέφρασε. — Στ. 22, Μικρᾶς.] Ἐξήλειψα τὸν, Καὶ, σύνδεσμον, ὃν οὐδὲ ὁ Λ ἡρμήνευσεν. ἀντὶ δὲ τοῦ ἐχομένου, Σὺν ἡμῖν νῦν γοῦν ποτε, ἐν τῇ Β γράφεται, Σὺν ἡμῖν γοῦν ποτε· ἐν δὲ ταῖς ΑΑ, Σὺν ἡμῖν γε νῦν ποτε.

Σελ. 323, ςί. 6, Οὖσα.] Λείπει τὸ, Οὖσα, ἐκ τῶν ΑΑ, ἐξ ὧν παρείληφα τὸ ἐχόμενον, Ἤκουσα. τοῦτο δέ ἐστιν, Ἐρχομένη εἰς τὸν ἐμὸν οἶκον· εἰκὸς γὰρ ἐν Κυβέλης ηὐτρεπίσθαι τὸ δεῖπνον. — Στ. 11, Κατακλινεῖσαι.] Ἐν ταῖς ΚΑ, Κατακλιθεῖσαι. — Στ. 12, Τῆς διακονουμένης.] Οὕτως ὀρθῶς αἱ ΚΑ. — Στ. 14, Μετ᾽ ἐκείνην αὐτὴ λαβοῦσα ἔπινε.] Τὸ, Λαβοῦσα, εἴληπται ἐκ τῶν ΚΑ. τοιαύτην δέ τινα φαρμάκου δόσιν ἐνηλλαγμένην ἁμαρτίᾳ τοῦ οἰνοχοοῦντος ἐπλάσατο καὶ Λου ιανὸς ἐν τοῖς Νεκρικοῖς αὐτοῦ διαλόγοις (Ζ, β΄).— Στ. 23, Δεδευμένου.] Ἐκ τοῦ Α· ὅπερ, σημειωθὲν ἐν ταῖς ΚΑ, παρέλαβε καὶ ὁ Μ. ἀναφέρεται γὰρ εἰς τὸ, Τοξεύματος, καὶ ἔςι τὸ, Φθοροποιῷ δεδευμένου, περιφραστικῶς εἰρημένον, ἀντὶ τοῦ, Πεφαρμαγμένου.

Σελ. 324, ςί. 4, Ἐμπίμπρατο.] Τυπογραφικῶς ἡμάρτηται τὸ, Ἐμπίμπρατο· ἐγεγράφειν γὰρ, ἐκ τῶν ΚΑ, Ἐπίμπρατο, κατὰ τὸν παρατατικὸν, ἀπὸ τοῦ ἁπλοῦ Πίμπραμαι. εἰ δὲ βούλει παρὰ τὸ σύνθετον, Ἐμπίμπραμαι, γραπτέον, Ἐνεπίμπρατο. — Στ. 10, Ἐπιβουλευσαμένην.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Ἐπιβουλεύσασαν. — Στ. 12, Δεσμῶτις.] Ἐξήλειψα τὸν προηγούμενον, Δὲ, ὃν ἐκ τῆς πρώτης συλλαβῆς τοῦ Δεσμῶτις γεννηθῆναι, ὀρθῶς συνῆκεν ὁ Μ, καίπερ ὀκνήσας ἀπαλεῖψαι τοῦ χωρίου. — Στ. 17, Γέλων ἐφαίνετο καὶ χλεύην κ. τ. λ.] Σημείωσαι τὸ πρὸς τὰς ἀπειλὰς μετὰ γέλωτος ὑπεροπτικὸν τῆς Χαρικλείας ὡς ἐκ τῶν παρὰ Χριςιανοῖς Μαρτυρολογίων μετενηνεγμένον ἐνταῦθα. — Στ. 25, Ἀνοσίων.] Οὕτως ἡ Β, αἱ ΑΑ, ὁ Λ καὶ ὁ Α. οὐ δὲ γὰρ χώρα ἐνταῦθα εἰρωνείᾳ, ὡς ᾠήθη ὁ Κ· ἐρεῖ γὰρ μετ᾽ ὀλίγα (σελ. 325), Ἀνόμων βουλευμάτων.

Σελ. 325, στ. 1, Φαρμακίδα.] Τὸ ἑπόμενον, Καὶ πολλῷ μᾶλλον, περιέγραψα ὡς παρέλκον, καί πως καὶ ἀδιανόητον.

λείπει

λείπει δὲ καὶ ἐκ τῆς Β, καὶ τῶν ΑΑ, καὶ ἀμφοτέρων τῶν μεταφραστῶν. — Στ. 4, Μελλήσασα.] Ἐν τῇ Β, Μέλλουσα. ἀντὶ δὲ τοῦ ἐχομένου, Ἐφίλει, ὁ Α ἔοικεν ἀνεγνωκέναι Φιλεῖ, κατ᾽ ἐνεστῶτα, ὅπερ ἄμεινον. — Στ. 7, Διαῤῥαπισθῆναι.] Περιττὴ ἡ πρόθεσις· καὶ ἡ λέξις δὲ Διαῤῥαπίζω ἄγνωστος τοῖς Λεξικογράφοις. ὁ Α, *Après luy avoir faict donner une couple de soufletz*, ἐξέφρασεν, ὑπολαβὼν, ὡς ἔοικε, γραπτέον εἶναι, Δὶς ῥαπισθῆναι. εἴρηκε μέντοι καὶ ἀνωτέρω (σελ. 265) Διεῤῥάπισεν. — Στ. 8, Εἶπε.] Προσέθηκα τὸ, Εἶπε, ὡς ἀναγκαῖον· παραλέλειπται δὲ τοῖς ἀντιγράψασι, διὰ τὴν πρὸς τὰ τελευταῖα τοῦ, Ἄγετε, στοιχεῖα ὁμοιότητα. — Στ. 15, Θάτερον.] Ὅ ἐστι, Τὸ ἕτερον. οὕτω διώρθωκα, ἐπεὶ τὸ, Ἅτερος ἐπὶ ἀρσενικοῦ μόνου τέθειται. ἡ δὲ τῶν ΑΑ γραφὴ, Ἀστέρων, ἐπιεικῶς γελοία. περὶ δὲ τοῦ ἐχομένου, Διακονίαν, αἰνίγματι ἀτεχνῶς ἔοικεν ὅ φησιν ὁ Μ, ὅτι παρ᾽ ἅπασι γράφεται, Διάνοιαν· ἐκ τοῦ ἐναντίου γὰρ παρ᾽ ἅπασιν ὀρθῶς γράφεται, ὅτι μὴ ἐν τῇ πέμπτῃ ἐκδόσει, ἐν ᾗ, Διανοίαν, παροξυτόνως εὕρηται, ᾧ καὶ δῆλον, ὅτι τυπογραφικῶς ἡμάρτηται. — Στ. 24, Εἰληφέναι δὲ.] Οὕτως αἱ ΚΑ. — Στ. 25, Τῇ Χαρικλείᾳ.] Αἱ ΑΑ ἄνευ ἄρθρου, κακῶς αὐτὸ προσγράψασαι τῷ προηγησαμένῳ Εἰληφέναι (Εἰληφέναι τῇ παρ᾽ αὐτῆς).

Σελ. 326, στ. 1, Συγχεθεῖσαν.] Τουτέστι ταραχθεῖσαν. Οὕτω διώρθωκα τὸ ἀντιφάσκον τῷ νῷ τοῦ χωρίου, Συσχεθεῖσαν· καὶ ὁ Α δὲ οὕτως ἔοικεν ἐκδέξασθαι τὴν λέξιν. οἶδε δὲ καὶ ἡ συνήθεια, τὸ Συγχύζω, οὐ μόνον ἐπὶ ταύτης τῆς σημασίας, ἀλλὰ καὶ ἐπὶ τοῦ Παροξύνω, εἰς ὀργὴν ἢ λύπην διεγείρω· λέγει γὰρ, Μή με συγχύζῃς, καὶ, Μή μου συγχύζῃς τὴν καρδίαν, ταυτοσήμως τῷ παρ᾽ Ὁμήρῳ, «Μή μοι σύγχει θυμὸν», ὃ καὶ παρῳδήσει προϊὼν (σελ. 415) εὐφυέστατα. — Στ. 10, Ἀλλ᾽ Ἦ καὶ αὐτὴ κ. τ. λ.] Ἔτρεψα τὸ διαζευκτικὸν μόριον εἰς τὸ βεβαιωτικόν. — Στ. 21, Καὶ ὡς ξένην.] Προσέθηκα τὸν σύνδεσμον ἐκ τῶν ΑΑ.

Σελ. 327, στ. 1, Διεχρήσατο ἂν] Οὕτως αἱ ΑΑ. — Στ. 2, Προείληπται.] Ἐπελαθόμην διορθῶσαι τὴν σόλοικον γραφὴν Προείληπται, καίπερ ἐμφερομένην ἐν ἅπασι· χρεία καὶ γὰρ ἐνταῦθα οὐ παρακειμένου, ἀλλ᾽ ὑπερσυντελικοῦ, Προείληπτο, ὡς

ἡρμήνευσαν ἀμφότεροι οἱ μεταφρασταί. — Στ. 3, Τὴν Ἀρσάκην.] Ἐξήλειψα τὸν περιττὸν, Μέν. — Στ. 6, Κατὰ τὸ δεσμωτήριον.] Διέγραψα κἀνταῦθα τὸν, Καί. — Στ. 7, Ὡς, εἰ δεήσει.] Περιττὸν ἔοικε τὸ Ὡς. — Στ. 17, Οὐδὲ μελλήσαντες.] Γραπτέον ἴσως, Οὐδὲν μελλήσαντες, ὡς καὶ ἐν ἄλλοις. μέτιθι δὲ καὶ ἃ περὶ τούτου ἀνωτέρω (σελ. 247) εἰρήκαμεν. — Στ. 18, Περσικῇ τιμωρίᾳ ὑποβαλεῖν.] Οὕτω σαφῶς ἡ Β. τὸ δὲ ἡμαρτημένον, Ὑπερβαλεῖν, τυπογράφων ἀβλεψίᾳ παρεισδεδυκὸς εἰς τὸν Κ, συγκύψαντες ἐδέξαντο πάντες οἱ μετ' αὐτόν. ἦσαν δὲ Πέρσαις ἴδιαι τιμωρίαι τῶν κολαζομένων ἀπηνέσταται, καθὰ καὶ πᾶσι τοῖς τυράννοις· ἀνεσταύρουν γὰρ (Ἡρόδοτ. ϛ, λ'), προσεπαττάλευον σανίδι (Αὐτ. Ζ, λγ'), ἀπεδειροτόμουν, ἐνέβαλον εἰς σποδὸν, ᾗ φησι Κτησίας, ἢ ἐσκάφευον, ὡς λέγει Πλούταρχος (Ἀρταξ. § 16). εἰκὸς δὲ ἐνταῦθα αἰνίττεσθαι τὸν Ἡλιόδωρον τὴν τιμωρίαν, ᾗ Πέρσαι ἐκόλαζον τοὺς φαρμακέας· ἔστι δὲ αὕτη, ἵνα ταῖς Πλουτάρχου χρήσωμαι λέξεσι (Αὐτ. § 19), « Λίθος πλατὺς, ἐφ' οὗ τὴν » κεφαλὴν καταθέντες αὐτῶν ἑτέρῳ λίθῳ παίουσι καὶ πιέζου- » σιν, ἄχρις οὗ συνθλάσωσι τὸ πρόσωπον καὶ τὴν κεφαλήν ». Στ. 23, Εἰς πυρὰν ἄγοιτο, συνεχὲς ἐκβοῶντος.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ γράφεται, Εἰς πῦρ ἀνάγοιτο, οὐκ ὀρθῶς. τὸ δὲ, Συνεχὲς, ἔλαβον ἐκ τῶν ΚΑ.

Σελ. 328, στ. 1, Ἐγεγόνεισαν.] Ἐπελαθόμην καταχωρίσαι εἰς τὸ τῆς σελίδος ἄκρον τὴν γραφὴν τοῦ Κ, Γεγόνεισαν, ἀναυξήτως, τὴν αὐτὴν οὖσαν τῇ ἐν τῇ Β, ἐν ταῖς ΑΑ καὶ παρὰ τῷ Βουρδελότῳ. μόνη δὲ ἡ πέμπτη ἔκδοσις, καὶ ὁ ἐξ αὐτῆς λαβὼν Μ, ἔχουσι τὸ Ἐγεγόνεισαν· ἴσως διότι καὶ ἐν τοῖς ἑξῆς (σελ. 339) οὕτως εὕρηται γεγραμμένον. ἄμεινον δὲ ἐν ἀμφοτέροις τοῖς χωρίοις, καὶ εἴπου ἀλλαχοῦ εὕρηται, γράφειν διὰ μονοφθόγγου, Ἐγεγόνεσαν. εἰρήκαμεν δὲ περὶ τῆς γραφῆς τῶν Ὑπερσυντελικῶν ταύτης καὶ ἐν τοῖς πρόσθεν (σελ. 173). — Στ. 8, Ὑποβαλλόντων.] Ἴσως, Ὑποβάλλοντες. δύναται μέντοι καὶ τὸ κατὰ γενικὴν, τοῦτο σημαίνειν, ὅτι ἕτεροι ἦσαν οἱ ὑποβάλλοντες τῶν δημίων. — Στ. 12, Ἐπέβαλλεν.] Ἔτρεψα τὸν ἀόριστον εἰς τὸν παρατατικόν. — Στ. 13, Ἥλιε, ἀνεβόησε, καὶ γῆ . . . ὑμεῖς ἐστὲ μάρτυρες.]

Ὁμηρικὴ καὶ ἀρχαία ἡ προσευχὴ (Ἰλιάδ. Γ, 277),

Ἠέλιος θ᾽ ὃς πάντ᾽ ἐφορᾷς, καὶ πάντ᾽ ἐπακούεις,
Καὶ ποταμοὶ, καὶ γαῖα, καὶ οἱ ὑπένερθε καμόντας
Ἀνθρώπους τίνυσθον, ὅ τις κ᾽ ἐπίορκον ὀμόσσῃ,
Ὑμεῖς μάρτυροί ἐστε.........................

Στ. 18, Ἐμὲ μὲν οὖν.] Προσέθηκα τὸν, οὖν, χωρὶς εἰ μή τις βούλοιτο μᾶλλον γράφειν, Κἀμὲ μέν· ὁ δὲ Α, εἰπὼν, *Et pource*, ἄδηλον εἴασεν ὁποτέραν προῃρεῖτο τῶν διορθώσεων.

Σελ. 329, σl. 2, Περιῤῥέοντος αὐτὴν μᾶλλον τοῦ πυρὸς κ. τ. λ.] Ὅρα πῶς λεληθότως μετήνεγκεν ἐνταυθοῖ τὴν περὶ τοὺς τρεῖς παῖδας θαυματουργίαν (Δανιήλ. Γ) ὁ φιλοπαρῳδὸς Ἡλιόδωρος. τοῦτο δὲ τὸ χωρίον ἐμιμήσατο πάνυ ψυχρῶς καὶ βαρβάρως, ὡς εἴωθε, καὶ Θεόδωρος ὁ Πρόδρομος, ἐν τοῖς κατὰ Ῥοδάνθην καὶ Δοσικλέα (Α, σελ. 37), Κράτανδρον πλασάμενος ἐξερχόμενον ἀπαθῆ τῆς καμίνου, εἰς ἣν ὡς φονεὺς ἐνεβέβλητο. — Στ. 9, Ἐνήλλετο.] Ἔτρεψα πολλάκις τὸν παρατατικὸν ἢ ἐνεστῶτα εἰς τὸν ἀόριστον τοῦ ῥήματος τούτου· ἐνταῦθα δὲ τοὐναντίον εἰς τὸν παρατατικὸν, Ἐνήλλετο (ὅ ἐστιν, ἐνεπήδα), τρέψαι δεῖν ἔγνων τὸν ἀόριστον. πιστοῦνται δὲ τὴν διόρθωσιν ἥτε γραφὴ τῆς Β, Ἐνήλλατο, ἡμαρτημένη μὲν τῷ ᾱ, ἀλλ᾽ ὅμως τὸν παρατατικὸν ἐμφαίνουσα διὰ τοῦ διπλοῦ λ̄, καὶ ἀμφότεροι οἱ Μεταφρασταὶ, ἐν παρατάσει τὴν λέξιν ἑρμηνεύσαντες. — Στ. 16, Ὡς δὲ ἠνύετο οὐδὲν, ἔτι καὶ πλέον κ. τ. λ.] Ἀντὶ τοῦ, Ἠνύετο, ἐν ταῖς ΑΑ γράφεται, Ἤνυστο. ἡμάρτηται δὲ παρὰ πᾶσιν ἡ σlίξις· ἔστιξα τοίνυν εἰς τὸ, Οὐδέν. ἴσως δ᾽ ὤφειλον ἐξαλεῖψαι καὶ τὸν ἑχόμενον, Καί· εἴρηκε γὰρ καὶ ἐν τοῖς πρόσθεν (σελ. 310), Ἔτι πλέον ἐξετάραξεν. — Στ. 25, Ἐξάλλεσθαι.] Ἡμάρτηται τὸ Ἐξελέσθαι τῆς Β· ἐν δὲ ταῖς ΚΑ καὶ ΑΑ γράφεται, Ἐξάλεσθαι, ἴσως ἐξ ἀμείνονος γραφῆς τῆς, Ἐξάλασθαι· ἀδιάφορον γὰρ ἐνταῦθα τὸ κατ᾽ ἐνεστῶτα, ἢ ἀόριστον.

Σελ. 330, σl. 7, Μέγα τι.] Οὕτω δεῖν ἔγνων διορθοῦν, ὡς καὶ ἐν ἄλλοις (σελ. 95 καὶ 98) εἴρηκεν Ἡλιόδωρος. — Στ. 10, Καθάλασθαι.] Μετέβαλον τὸν ἐνεστῶτα εἰς τὸν ἀόριστον. — Στ. 12, Ἐπιβάλλειν.] Ἴσως καὶ τοῦτα τρε-

πλέον εἰς τὸ, Ἐπιβαλεῖν. — Στ. 21, Ἀπατώμενοι.] Ἄμεινον ἂν εἶπε μακρῷ, Ὑπαγόμενοι· ἀλλὰ χαίρει τῇ ξενιζούσῃ χρήσει τοῦ, Ἀπατῶμαι, ὡς καὶ ἐν τοῖς πρόσθεν (σελ. 30 καὶ 51) εἰρήκαμεν. εἴη δ᾽ ἂν οὖν ἐνταῦθα τὸ, Εἰς ἔλεον ἀπατώμενοι, ταυτόν πως τῷ, Ἐλεητέον εἶναι ταύτην κακῶς οἰόμενοι.

Σελ. 331, σ1. 5, Ἐπέταττεν.] Οὕτως αἱ ΑΑ. — Στ. 7, Διεσκοποῦντο.] Διώρθωκα μεταβαλὼν εἰς τὴν μέσην διάθεσιν τὸ ῥῆμα, καθ᾽ ἣν ἐχρήσατο αὐτῷ ἤδη (σελ. 316), καὶ χρήσεται μετ᾽ ὀλίγα (σελ. 332). — Στ. 15, Ἐπινενόητο.] Προειλόμην τὴν γραφὴν τῆς Β, διὰ τὸ ὡς ἐπὶ τὸ πολὺ τὸν Ἡλιόδωρον ἀναυξήτως φιλεῖν γράφειν τὰ τρίτα πρόσωπα τῶν παθητικῶν ὑπερσυντελικῶν. ὁ δὲ νοῦς τῶν λεγομένων ἀπίθανος· ἀβελτηρίαν γὰρ ἄντικρυς καταγινώσκει τῆς Ἀρσάκης, ὑποτιθέμενος αὐτὴν οἴεσθαι πλέον ἀνιάσειν τοὺς νέους, εἰς τὸ αὐτὸ δεσμωτήριον ἀμφοτέρους ἐμβάλλουσαν. καὶ ἔοικεν ὁ χρηστὸς Ἡλιόδωρος ἐπιλελῆσθαι ὧν φθὰς εἴρηκεν ἀνωτέρω (σελ. 324)· ἐκεῖ γὰρ εἰκότως θανατῶσαν ἐπλάσατο τὴν Χαρίκλειαν διὰ τοῦτο μάλιστα, ὅτι μὴ βλέπουσα τὸν Θεαγένην, ὑπὸ τῆς Ἀρσάκης ὑπελάμβανεν ἀνῃρῆσθαι.

Σελ. 332, σ1. 9, Πυρκαϊάν.] Ἐν τῇ Β, Πυράν. — Στ. 10, Θαυματουργίας.] Σημείωσαι τὴν λέξιν, ᾗ χρήσεται καὶ ἐν τοῖς ἑξῆς, ὡς ἐκ τῶν Χριστιανικῶν βίβλων ἠρανισμένην. — Στ. 18, Ποικίλαις.] Ἐν ταῖς ΚΑ, Ποικίλως· ὃ καὶ μᾶλλον εὐσυνάρτητον ἀπεργάζεται τὸν λόγον.

Σελ. 333, σ1. 4, Εἴτε καταδαρθούσῃ φανεὶς, εἴτε καὶ ἐναργῶς ὀφθείς.] Λείπει ταῦτα πάντα ἐκ τῆς Β καὶ ἐκ τῶν ΑΑ. ἐοίκασι δὲ καὶ περιττὰ εἶναι· ταὐτὸ γὰρ ἐπιεικῶς λέγουσι τοῖς πρὸ μικροῦ εἰρημένοις, « Οἷον γάρ μοι νῦν ὄναρ, εἰ » καὶ ὕπαρ ἦν ». παρείληφα μέντοι ἐκ τοῦ Κ, τὸν σολοικισμὸν μόνον διορθώσας τῷ τρέψαι τὸ, Καταδαρθεῖν Λαθούσῃ, εἰς μίαν λέξιν τὴν, Καταδαρθούσῃ· Ἔλαθον γὰρ καταδαρθὼν, καὶ οὐκ, Ἔλαθον καταδαρθεῖν, φασὶν οἱ Ἕλληνες. κατὰ ταύτην οὖν τὴν σύνταξιν, ἐνδέχεται γεγραφέναι τὸν Ἡλιόδωρον, Καταδαρθούσῃ λαθούσῃ· ἀλλὰ παρῃτησάμην τὸ ἐκ τῆς τῶν δύο μετοχῶν συνδρομῆς ἀηδές. — Στ. 9, Ῥηϊδίως Μοίραις

κ. τ. λ.] Οὕτως ἡ Β καὶ αἱ ΑΑ, κατὰ δοτικὴν, Μοίραις· ᾗ γραφῇ κατηκολούθησαν οἱ μεταφρασταὶ ἀμφότεροι, καὶ ὁ Μ. ἀντὶ δὲ τοῦ, Ῥηϊδίως, ὤφειλεν εἰπεῖν Ῥηΐδια, εἰ μὴ τὸ μέτρον ἐκώλυεν· ὅθεν ἐκληπτέον τὸ, Πέλει, ἀντὶ τοῦ, Γίγνεται (σημαίνει γὰρ καὶ τοῦτο), ἵνα ᾖ ὁ νοῦς, Ῥαδίως ὑπὸ τῶν Μοιρῶν γίγνεται καὶ τελεῖται καὶ αὐτὰ τὰ ἀπροσδόκητα, ἢ δοκοῦντα ἀδύνατα. καὶ ἔοικε παρῳδεῖν τὸ ἐπὶ τέλει τῆς Εὐριπίδου Μηδείας,

Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·
Καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
Τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.

Στ. 18, Ἀρσακείων.] Ὁ Μ διορθοῖ, Ἀρσακέων, διὰ τὸ μέτρον. οὐδὲ τὰ περὶ τῶν καθ' ὕπνους δὲ φανταζομένων ἀκούεσθαι ἐπῶν ἢ στίχων ἄκριτα καὶ ἀνεξήγητα κατέλιπεν ὁ σοφὸς μὲν, ἀλλὰ τοῖς μὴ σοφοῖς ἀτυχῶς συνασοφήσας, Ἀρτεμίδωρος (Ὀνειροκριτ. Δ, ξα'). — Στ. 20, Γῆν μὲν γὰρ κ. τ. λ.] Οὕτω κατ' αἰτιατικὴν, Γῆν, ἡ Β καὶ αἱ ΑΑ. ἐπλανήθη δὲ ὁ Θεαγένης, τὸν θεωρηματικὸν ὄνειρον, ὡς ἀλληγορικὸν ἐκδεξάμενος. καλοῦνται δὲ, Θεωρηματικοὶ ὄνειροι, ὥς φησιν Ἀρτεμίδωρος (Ὀνειροκριτ. Δ, β'), οἱ οὕτως ἀποβαίνοντες, ὡς θεωροῦνται· Ἀλληγορικοὶ δὲ, οἱ τὰ σημαινόμενα δι' αἰνιγμάτων ἐπιδεικνύντες.

Σελ. 334, στ. 3, Ἡ συνήθειά σε τῶν δυστυχημάτων κ. τ. λ.] Εἰκότως τοῦτο· καὶ γὰρ ὥς φησιν Αἰσχύλος (Πέρσ. 597),

.....Κακῶν μὲν ὅστις ἔμπειρος κυρεῖ,
Ἐπίσταται βροτοῖσιν ὡς ὅταν κλύδων
Κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ.

Στ. 5, Φιλεῖ γὰρ ἄνθρωπος πρὸς κ. τ. λ.] Ἡ γνώμη ἐκ τοῦ Μενάνδρου (παρὰ Στοβ. Ἐκλ. Φυσ. ι'.),

Πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα.

ὃς καὶ αὐτὸς ἐξ Ὁμήρου (Ὀδυσσ. Σ, 135) παρείληφεν, εἰρηκότος,

Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
Οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε.

Στ. 14, Ἐκείνων.] Ἐκ τῶν ΚΑ, διὰ τὸ προηγησάμενον πλη-

θυντικὸν, Θεοῖς. — Στ. 21, Περὶ τῇ γαστρὶ ζωσαμένη κ. τ. λ.] Σημείωσαι ὅπως ἐντέχνως, οἱονεὶ ὁδοῦ πάρεργον, ἠνίξατο καὶ τὴν τῶν ἐν Σαμοθράκῃ σωτήριον ζώνην. οἱ γὰρ ἐκεῖ τοῖς Καβείροις μυούμενοι, ἐν τοῖς κατὰ θάλασσαν χειμῶσι διεσώζοντο. ἐζώννυντο δὲ, ὥς φησιν ὁ σχολιάσας τὸν Ἀπολλώνιον (Ἀργοναυτ. Α, 917), οἱ μεμυημένοι περὶ τὴν κοιλίαν ταινίας πορφυρᾶς. καὶ τὸν Ὀδυσσέα δέ φασι μεμυημένον ἐν Σαμοθράκῃ, τῷ κρηδέμνῳ (Ὀδυσσ. Ε, 346–373) ἀντὶ ταινίας χρήσασθαι, καὶ οὕτω καλισχῦσαι διανήξασθαι πρὸς τοὺς Φαίακας. — Στ. 22, Εἰ μὲν σωζοίμην, εὐπορίαν κ. τ. λ.] Ἔτρεψα τὸ σόλοικον, Εὐπορία, εἰς τὸ κατ' αἰτιατικὴν, Εὐπορίαν· ἤρτηται γὰρ, ὡς καὶ αἱ λοιπαὶ οὐδέτεραι αἰτιατικαὶ, ἐκ τοῦ, Ζωσαμένη. τὸ δὲ χωρίον ἔχει τι μιμήσεως Εὐριπιδικῆς (Ἑκάβ. 10),

Πολὺν δὲ σὺν ἐμοὶ χρυσὸν ἐκπέμπει λάθρα
Πατὴρ, ἵν', εἴποτ' Ἰλίου τείχη πέσοι,
Τοῖς ζῶσιν εἴη παισὶ μὴ σπάνις βίου.

σημείωσαι δὲ καὶ τὸ ἐχόμενον, Εἰ δέ τι πάσχοιμι, ἀντὶ τοῦ, Ἢν δ' ἀποθάνω· τοῦτο γὰρ ἐδήλου παρὰ τοῖς Ἀρχαίοις. καὶ ἡ συνήθεια δὲ, τηρήσασα τὴν φράσιν, Ἂν πάθω τίποτε, λέγει, ἐπὶ τῆς σημασίας τοῦ, Ἐὰν ἀποθάνω.

Σελ. 335, σΊ. 4, Παντάρβῃ.] Εἴρηται ἐν τοῖς πρόσθεν (σελ. 152) περὶ τῆς Παντάρβης. — Στ. 6, Δύναμίν τινα ἐνοικεῖν τῇ λίθῳ.] Ἐτόλμησα τὸ παρ' ἅπασιν ἀπαραλλάκτως φερόμενον Εἴκειν (πλὴν τοῦ Λ, ὅστις ἐκφράσας διὰ τοῦ *Accedere*, ἔοικεν ἀνεγνωκέναι, ἢ γοῦν ἀναγνωστέον ὑπειληφέναι, Ἥκειν) μεταποιῆσαι εἰς τὸ, Ἐνοικεῖν. οἰκεία δὲ ἡ λέξις τῷ νῷ τοῦ χωρίου, καὶ τῇ χρήσει κατάλληλος ἐπὶ τῶν τοιούτων· καὶ ἐν τοῖς πρόσθεν γὰρ (σελ. 191), περὶ τῆς Αἰθιοπικῆς Ἀμεθύσου τὸν λόγον ποιούμενος, εἴρηκε, « ΔΥΝΑΜΙΣ αὐτῇ » γνησιωτέρα τῶν ἐκ δύσεων ἘΓΚΑΘΙΔΡΥΤΑΙ ». τοῦτο δὲ ἐστιν οὐδὲν ἕτερον, ἢ, Δύναμις ἐνοικεῖ. λέγει δέ που καὶ Ἀλέξανδρος ὁ Ἀφροδισιεὺς (Προβλημ. Βιβλ. Β) « Ταύτας » τὰς δυνάμεις ἡ φύσις ἐνεπίστευσε κατοικεῖν ἐν τοῖς στερεοῖς ». τούτοις δὲ προστίθει ὅτι καὶ ἡ φράσις, Δύναμις ἐνοικεῖ, τῆς Χριστιανικῆς ἰδέας, ᾗ πολλάκις ἀκολουθοῦντα τὸν Ἡλιόδωρον

εἴδομεν, τυγχάνει· καὶ ἐν τῇ Γραφῇ γὰρ καὶ παρὰ τοῖς Ἐκκλησιαστικοῖς Πατράσι, Θεὸν, ἢ δύναμιν θεοῦ, ἐνοικεῖν ἐν ἡμῖν, οὐχ ἅπαξ εὑρήσεις. — Στ. 12, Ἐκδεδιδάχθαι.] Οὕτως αἱ ΔΑ408. — Στ. 14, Ἐνειλημένη.] Ἀπήλειψα τὴν σόλοικον αἰτιαλικήν· πρὸς γὰρ τὸ, Ταινίᾳ ἀναφέρεται. — Στ. 21, Καινότερον.] Ἐξήλειψα τὸν προηγούμενον, Καί. — Στ. 24, Πάντων.] Ἐνταῦθα δὲ ἡ ἐξάλειψις τοῦ, Καὶ, ἐστὶν ἐκ τῶν ΑΑ.

Σελ. 336, σ7. 7, Ἅτερος.] Καλῶς ἐνταῦθα αἱ ΑΑ, Θάτερος. — Στ. 16, Ἀθορύβως.] Ἐκ τῶν ΔΑ472. ἐν δὲ τῇ Β, Θορύβῳ· καὶ ἐν ταῖς ΑΑ, Ἀθορύβῳ. — Στ. 19, Ἠυτρεπίσθαι.] Οὕτω διώρθωκα τὸ παρ' ἅπασιν ἡμαρτημένον τῇ γραφῇ τῆς πρώτης καὶ τρίτης συλλαβῆς. — Στ. 21, Θύρας.] Ἡμάρτηται ἡ γραφὴ τῶν ΔΑ472, Χεῖρας, κἂν εἰ Δορβίλλος ἐγκρίνειν αὐτὴν ἔοικε, διὰ τὸ καὶ τὴν Χεῖρα ἔσθ' ὅτε τὴν βάλανον τῶν θυρῶν σημαίνειν.

Σελ. 337, σ7. 1, Τίς, οὗτος, εἶ;] Τὸ βάρβαρον ἐνταῦθα, Τίς οὑτοσὶ, τρέψαντες εἰς τὸ, Τίς, οὗτος, εἶ; τὴν συνήθη τῷ Ἡλιοδώρῳ κομψότητα ἀπεδώκαμεν. ἐκληπτέον δὲ τὸ, Οὗτος, κλητικῶς· τοιαύτη γὰρ ἡ χρῆσις τῶν Ἀττικῶν· αὐτίκα ὁ χαριέστατος Ἀριστοφάνης, ἐν ἀρχῇ τῶν Σφηκῶν,

Οὗτος, τί πάσχεις, ὦ κακόδαιμον Ξανθία;

Στ. 7, Τὸν λυχνοῦχον.] Καλῶς ἅπαντες θηλυκῶς, ἀπὸ τῆς Β λαβόντες. Λυχνοῦχον δὲ ἔλεγον οἱ Ἀττικοὶ ὅπερ ἡ συνήθεια Φανάριον ὀνομάζει. ἔοικεν ὅμως Ἡλιόδωρος ἐνταῦθα τὸν ἐν τῇ συνηθείᾳ Λυχνοστάτην βούλεσθαι λέγειν. ἐτρέψαμεν δὲ καὶ τὸ ἐχόμενον, Τοῦτο (ὅπερ ἀμφότεροι οἱ μεταφρασταὶ, Τότε, ἡρμήνευσαν), εἰς τὸ, Τί τοῦτο; ὡς καὶ ἐν τοῖς πρόσθεν (σελ. 16) εἴρηκε, «Καὶ, τί τοῦτο, πυνθανομένῳ». — Στ. 16, Πρότερον.] Λείπει ἐκ τοῦ Α. ὁ δὲ Λ συνῆψε κακῶς τῷ, Δοκίμαζε, δέον τῷ, Ἀποδοῦναι. — Στ. 19, Ἐπελθών.] Ἐκ τῶν ΚΑ, ΑΑ, καὶ ΔΑ694. — Στ. 23, Κατεχούσης, ὀλίγας κ. τ. λ.] Τὸ, Κατεχούσης, ἐκ τῶν ΚΑ καὶ ΑΑ. ἀπήλειψα δὲ καὶ τὸν ἐχόμενον, Καὶ, διὰ τὴν σύνταξιν· ἔστι γὰρ τὸ ἑξῆς, Ἐν ἐσχάτοις διάγει, ὀλίγας τοῦ περιέσεσθαι τὰς ἐλπίδας ἐνδεικνυμένη, πυρετοῦ τινος κ. τ. λ.

Σελ. 338, σί. 2, Ἐῤῥωμένη.] Ἐκ τῶν ΑΑ καὶ ΔΑ27· ἡ γραφῇ κατηκολούθησε καὶ ὁ Μ.— Στ. 5, Σύσπευδε.] Αἱ ΑΑ, Σοι σπεῦδε, πρὸς τὸν Βαγώαν δῆθεν ἀποδιδοῦσαι τὴν ἀντωνυμίαν. ἡμάρτηται ὅμως ἡ γραφὴ οὐδὲν ἧττον τῆς ἑτέρας, Σὺ σπεῦδε, ἣν ἐν τοῖς πρόσθεν (σελ.159) διωρθωσάμεθα·— Στ.13, Καὶ ἤδη ταῦτα καί.] Εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 40) περὶ τοῦ πλεονασμοῦ τοῦ συνδέσμου.

Σελ. 339, σί. 2, Φωτίζειν.] Οὕτως ἡ Β, ἀπαρεμφατικῶς, ᾗ συνᾴδουσι καὶ αἱ ΑΑ. ἴσως δὲ καὶ τὸ προηγησάμενον, Ἐλέγχων (ἀνθ' οὗ ἐν ταῖς ΑΑ γράφεται, Ἐλέγχω), μεταποιητέον εἰς τὸ Ἐλέγχειν. ἀλλ' ὅμως οὐδ' οὕτως ἔῤῥωται τὸ χωρίον· τὸ γὰρ, Ἀμήνυτα, ἐπεξήγησις ἔοικεν εἶναι τοῦ, Κρύφια, ἢ τοῦτο ἐκείνου. — Στ. 7, Καὶ οἱ εὐνοῦχοι.] Οὕτως αἱ ΑΑ μετὰ τοῦ, Καὶ, ὃς ἔμφασιν ἔχει ἐνταῦθα οὕτως ἐμπαθῶς ἀγανακτῆσαι τοὺς νέους πρὸς τὰ ὁρώμενα, ὡς καὶ αὐτοὺς τοὺς εὐνούχους, γένος ἄλλως χαλεπὸν καὶ ζηλότυπον, εἰς δάκρυα κινῆσαι. — Στ. 19, Κατ' Αἴγυπτον.] Ἐπελαθόμην ὑποσημειώσασθαι τὴν ἄνευ ἐκθλίψεως γραφὴν τοῦ Κ, Κατὰ Αἴγυπτον, ἥπερ καὶ ἐν τῇ Β καὶ ἐν ἁπάσαις ταῖς λοιπαῖς ἐμφέρεται.— Στ.23, Κατασκήψαντες, πνεῦσαι μὲν αὐτοί.] Ἐν ταῖς ΑΑ ἀντὶ τοῦ, Πνεῦσαι, γράφεται ἡμαρτημένως, Σπεῦσαι· οὐδὲν μέντοι ἧττον ἡμαρτῆσθαι ἔοικε καὶ τὸ, Πνεῦσαι, ἀνθ' οὗ γραπτέον οἶμαι Ἀναπνεῦσαι, ὡς ἐν τῷ ἐχομένῳ σίχῳ. ἀλλ' οὐδὲ τὸ, Κατασκήψαντες, ἐκπέφευγε τὴν ἀκυρολογίαν· Κατασκήπτειν γὰρ λέγεται τὸ μεθ' ὁρμῆς ἐμπίπτον καὶ καταφερόμενον. καὶ ἴσως ἦν ἡ ἀρχαία γραφὴ, Καταστήσαντες, συνυπακουμένης τῆς αἰτιατικῆς, Τοὺς ἵππους, ἐκ τοῦ προηγησαμένου, Ἱππηλασίας. — Στ. 24, Ἀναπνεῦσαι δὲ καὶ τὴν κόρην.] Ἐνεργητικῶς τὸ, Ἀναπνεῦσαι, ἢ γοῦν ἐλλειπτικῶς, ἀντὶ τοῦ Ἀναπνεῦσαι ποιῆσαι, ἅπερ οὐκ οἶδεν ἡ χρῆσις. πάσχει δὲ καὶ ἑτέραν ἔλλειψιν ἐνταῦθα τὸ, Ἀναπνεῦσαι, τῆς γενικῆς, Πόνου, ἢ Καμάτου, ἢ ἄλλου του τοιούτου.

Σελ. 340, σί. 8, Περσέαις καὶ συκομόροις.] Ὁ Α ἐξέφρασεν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Περσέαις τε καὶ Συκαῖς καὶ Συκομόροις. ἐξηγεῖται δὲ τὸ, Περσέαις, *Peschers*, ὅ ἐστι, Περσικαῖς μηλέαις. ἐνδέχεται δὲ καὶ τὸν Ἡλιόδωρον οὕτως

ἐκδέξασθαι

ἐκδέξασθαι τὴν λέξιν, καθὰ καὶ οἱ πλεῖστοι τῶν κατ᾽ αὐτὸν, καὶ οὐ πολλῷ πρὸ αὐτοῦ γενονότων ἐξεδέξαντο. καὶ Σουΐδας γὰρ τὸ, Περσέα, διὰ τοῦ ἐν τῇ συνηθείᾳ λεγομένου, Ῥοδακινέα, ἐξηγήσατο. εἰκὸς μέντοι μᾶλλον ἐνταῦθα τὴν Αἰγυπτίαν Περσέαν ἐκδέχεσθαι, τὴν ἐν Αἰγύπτῳ μόνον καὶ Αἰθιοπίᾳ καρποφοροῦσαν, ἑτέραν οὖσαν τῆς Περσικῆς μηλέας, εἴτουν τῆς Ῥοδακινέας. περὶ δὲ τῆς διαφορᾶς τῶν φυτῶν τούτων, ἃ πολλοὶ πολλάκις συνέχεαν, μέτιθι τὰ διὰ μακρῶν εἰρημένα τῷ Σαλμασίῳ (Πλιν. γυμν. σελ. 426–429). — Στ. 19, Ἤδη δὲ.] Προσέθηκα τὸν σύνδεσμον ἐκ τῶν ΑΑ. — Στ. 20, Οὐκ ἔτι τὴν κορυφήν. Μακρῷ ἂν ἄμεινον καὶ τῇ χρήσει καταλληλότερον εἶπεν, Οὐκ ἔτι κατὰ κορυφὴν.

Σελ. 341, στ. 8, Τῷ λειπομένῳ τοῦ βίου παντὸς ἐνασχημονοῦσα.] Τὸ μὲν, Ἐνασχημονοῦσα (ἀνθ᾽ οὗ ἐν ταῖς ΚΑ γράφεται, Ἀνασχημονοῦσα, τῇ συνθέσει μόνον διαφέρον τοῦ παρὰ τῷ Κ, Ἂν ἀσχημονοῦσα), εἴληπται ἐκ τῶν ΑΑ· ἐπιδιωρθωσάμην δὲ καὶ τὸ, Πάντως, τρέψας εἰς τὸ, Παντός, ὃ δὴ καὶ ἀμφότεροι οἱ μεταφράσαντες κατανενοηκέναι μοι δοκοῦσι — Στ. 17, Τυραννικόν.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 19, Ἐλπίζων, ὅπερ ἦν, ἐπὶ μέγα ... καὶ λαμπρῶς.] Ἡ πρόθεσις ἐκ τῶν ΑΑ· ἡ δὲ τοῦ, Καὶ, προσθήκη, ἡμετέρα. τὸ, Ὅπερ ἦν, ταὐτὸ δύναται τῷ, Ὥσπερ ἦν, ᾧ ἐχρήσατο ἀνωτέρω (σελ. 312), « Καὶ ἐπὶ μέγα, ὥσπερ ἦν, ἐξαίρων, » καὶ τὸ κάλλος παντοίως ἐκθειάζων ». ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (σελ. 366), « Ὑποτοπήσας, ὅπερ ἦν, ἀπάτην τινὰ καὶ » ἐνέδραν ». οἱ πρὸ ἡμῶν κακῶς στίξαντες μετὰ τὸ, Μέγα, καὶ συνάψαντες τοῦτο τῷ, Ὅπερ ἦν, δέον τῷ, Λαμπρῶς, τοῦ μὴ συνεῖναι τῶν λεγομένων τὸν νοῦν ἀμφοτέροις τοῖς μεταφρασταῖς αἴτιοι γεγόνασιν. ὅτι δὲ τὸ, Μέγα, φιλεῖ συνάπτεσθαι τῷ, λαμπρῷ, μάρτυς καὶ Πλούταρχος (Αἰμιλ. Παύλ. § 12), εἰπών, « Λαμπρὰ καὶ μεγάλα πρὸς τὸν πόλεμον ἀρ» θέντα ταῖς ἐλπίσι τὰ Μακεδόνων κ. τ. λ. ». — Στ. 21, Εἰ περισώσειεν.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 22, Πᾶσαν.] Ἐξήλειψα τὸν, Καὶ, ὃν καὶ αὐτὸς ὁ Κ δῆλός ἐστιν ἀποδοκιμάζων.

Σελ. 342, στ. 5, Ἡδύ τι.] Οὕτως αἱ ΔΑ36. — Στ. 8,

Τὴν ὁδοιπορίαν.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ, ἣν γραφὴν παρείληφε καὶ ὁ Μ. εἴρηκε καὶ ἀνωτέρω (σελ. 55), «Τῆς σποδιᾶς... » πρὸς τὸ βάσιμον ἀποψυγείσης»· περιέργως ἐν ἀμφοτέροις. μακρῷ δ' ἀφελέστερον ὁ Λουκιανὸς (περὶ τῶν Διψάδ. § 2), «Ὁπότε τὸ πολὺ τοῦ καύματος σβεσθείη, καὶ ἡ ψάμμος » νοτισθείη, καὶ ἀμηγέπη βατὰ (ἴσ. βατὴ) γένοιτο». — Στ. 12, Οὐ μὴν προὐχώρει γε αὐτοῖς.] Ἐκ τῶν ΚΑ, αἷς ἠκολούθησε καὶ ὁ Μ. αἱ δὲ ΑΑ, Οὐ μὴν προὐχώρει αὐτοῖς, δίχα τοῦ, Γε.

Σελ. 343, στ. 4, Ὑπὸ νυκτός τε καὶ τόπων ἀπειρίας ὁμοῦ, ποῤῥωτέρω τῶν φιλίων ἢ προσῆκον ἦν φθάνειν ὑποσταλέντες κ. τ. λ.] Ὁ Μ παρείληφε τὴν ὑποσεσημειωμένην τῇ σελίδι τοῦ Κ γραφὴν ἀπαράλλακτον, Ὑ. ν. τ. κ. τ. ἀπειρίας ὅπου ἢ π. τ. φ. π. ἠ. φ. ἀποσταλέντες. ταύτην δὲ ἡμαρτῆσθαι καὶ ἀδιανόητον εἶναι οὐκ ἔστιν ὃς ἂν ἀμφισβητήσειεν. διορθώσεως δὲ τρόποι πολλοὶ μὲν, ἀλλ' οὐ πάντες ἐξ ἴσου τὸ πιθανὸν ἔχοντες, ἄλλως τε καὶ τῶν διαφόρων γραφῶν οὐδέν τι, ὡς ἔπος εἰπεῖν, συντελουσῶν εἰς διόρθωσιν· ἐν μὲν γὰρ ταῖς ΚΑ γράφεται, Ἀποσφαλέντες, ἀντὶ τοῦ, Ἀποσταλέντες· ἐν δὲ ταῖς ΑΑ λείπει τὸ, Ὅπου· ἐν ἀμφοτέραις δὲ, Φίλων, ἀντὶ τοῦ, Φιλίων, ἐμφέρεται. ἔγνων οὖν διορθώσασθαι τὸ χωρίον, ἐκ μὲν τῶν δύο λέξεων, ὍΠΟΥ Ἤ, τὴν μὲν πρώτην μεταβαλὼν εἰς τὸ, ὉΜΟῦ, τὴν ἑτέραν δὲ μεταβαλών τε εἰς τὸν σύνδεσμον, Ἢ, καὶ μεταθεὶς μετὰ τὸ, Φιλίων, ἵνα ἔχῃ ἀναφέρεσθαι εἰς τὸ συγκριτικὸν, Ποῤῥωτέρω, ὅπερ ἐξ ἀνάγκης ἀπαιτεῖ τὸν διαζευκτικόν. ἔτρεψα δὲ καὶ τὸ, Ἀποσταλέντες, εἰς τὸ, Ὑποσταλέντες, ὅ ἐστι φοβηθέντες, ἵνα ᾖ ὁ νοῦς τοῦ ὅλου χωρίου οὗτος· Διὰ τὴν νύκτα καὶ τὴν τῶν τόπων ἀπειρίαν ὁμοῦ, φοβηθέντες φθάνειν, τουτέστι προλαμβάνειν καὶ προπορεύεσθαι, τῶν φιλίων ποῤῥωτέρω ἢ ἔδει κ. τ. λ. ἐνδέχεται μέντοι καὶ οὕτω γεγραφέναι τὸν Ἡλιόδωρον ... ἀπειρίας, τοῦ μὴ ποῤῥωτέρω τῶν φιλίων ἢ προσῆκον ἦν φθάνειν, ὑποσταλέντες, καὶ κατά τινα κ. τ. λ. ἐν ταύτῃ τῇ διορθώσει, ὁ μὲν διαζευτικὸς ἐτηρήθη, οὐδὲν ἧττον ἀναγκαῖος ὢν ἢ ἐν τῇ πρώτῃ· προσετέθη δὲ καὶ ἕτερος σύνδεσμος ὁ, Καὶ, διὰ τὸ εἰς ἑτέραν σημασίαν μετειλῆφθαι τὸ, Ὑποσταλέντες, διασταλθὲν τῶν

προηγησαμένων· τὸ δὲ, ῞ΟΠΟΥ ῏Η, μετεβλήθη εἰς τὸ, ΤΟ͂Υ ΜΗ'. εἰ δέ τις προαιροῖτο τὸ ἐν ταῖς ΚΑ ἐμφερόμενον, Ἀποσφαλέντες, τηνικαῦτα διορθωτέον οὕτως . . . ἀπειρίας ὁμοῦ, πορρωτέρω τῶν φιλίων, ἢ προσῆκον ἦν φθάνειν, ἀποσφαλέντες κ. τ. λ. ὁ δὲ νοῦς πάντη διάφορος, Διὰ τὴν νύκτα καὶ τὴν τῶν τόπων ἀπειρίαν ὁμοῦ, ἀποσφαλέντες, ἤγουν ἀποχωρισθέντες ἄκοντες τῶν φιλίων πορρωτέρω ἢ ἔδει φθάνειν καὶ προπορεύεσθαι αὐτῶν. καὶ αὗται μεν τρεῖς διορθώσεις, ὧν τὴν πρώτην, τὴν καὶ καταχωρισθεῖσαν εἰς τὸ κείμενον, καὶ ὁ Α ἔοικε συνιδεῖν, μεταφράζει γὰρ οὕτω· *Tant pour la nuict qui les avoit surprins que pourautant qu'ilz ne cognoissoyent pas les lieux, ils n'oserent passer oultre, ny s'esloigner plus qu'il n'estoit besoing de leurs gens, et se jecterent, etc.* ἔστω δὲ μηδεὶς φθόνος, εἰ καὶ τετάρτην προβάλλοιμεν οὕτως ἔχουσαν . . . ἀπειρίας ὁμοῦ (μὴ πορρωτέρω τῶν φιλίων, ἢ προσῆκον ἦν, φθάνειν ἐπισταλέντες) κ. τ. λ. τουτέστι, Διὰ τὴν νύκτα καὶ τὴν τῶν τόπων ἀπειρίαν ὁμοῦ (ἐπισταλέντες, ἤγουν προστεταγμένοι, μὴ φθάνειν πορρωτέρω τῶν φιλίων ἢ προσῆκον ἦν) ἐγκαταδύντες, ἤγουν εἰσελθόντες καὶ ἐγκρύψαντες ἑαυτοὺς, κατά τινα λόχμην κ.τ.λ. ταύτῃ τῇ ἀναγνώσει ἢ διορθώσει ἔοικε μέν πως ἐκ μέρους κατακολουθῆσαι ὁ Α, εἴτε, Ἐπισταλέντες (*Id enim fuerat illis imperatum*), ἀναγνοὺς ἢ διορθώσας, εἴτε ἐπὶ τῆς σημασίας ταύτης ἐκδεξάμενος τὸ, Ἀποσταλέντες· ἀλλ' οὐκ ἴσχυσεν εἰς τέλος τῶν λεγομένων τὸν νοῦν ἀκριβῶς ἐκφράσαι. — Στ. 8, Λόχμην.] Ἐν ταῖς ΚΑ γράφεται, Νύκτα· σημείωσαι δὲ καὶ τὸ, Ἐπετείχιζον, ἐναντίως τῇ χρήσει τεθειμένον, ἀντὶ τοῦ, Ὡς ἐπὶ τείχους τῆς λόχμης ἐφρούρουν. — Στ. 9, Τὸν Βαγώαν. Οὕτως αἱ ΑΑ, δίχα τοῦ, Καί. — Στ. 10, Παριόντας.] Ἔτρεψα τὸ ἑνικὸν εἰς τὸ πληθυντικόν. — Στ. 18, Χίλιοι γὰρ εἰς κ. τ. λ.] Ἐν ταῖς ΑΑ, Χίλιοι γὰρ οἱ εἰς. — Στ. 21, Ἢ ὅσον ἠδύναντο.] Οὕτως αἱ ΑΑ, δίχα τοῦ, Καί.

Σελ. 344, στ. 2, Νομαδικὴ δὲ καὶ κ. τ. λ.] Ἔτρεψα τὸν, Τε, εἰς τὸν, Δὲ, ὃν ἀπαιτεῖ ὁ προηγησάμενος, Μέν· ἄλλως τε, Νομαδικοὺς λέγων τοὺς Τρωγλοδύτας, συμφώνως τῷ Στράβωνι (Ις, σελ. 775), ἀντιδιαστέλλει πρὸς τοὺς

λοιποὺς Αἰθίοπας. Σεσημειώσθω δὲ ὅτι καὶ Εὐστάθιος ἐν τοῖς εἰς τὸν Περιηγητὴν Διονύσιον ὑπομνήμασιν (στίχ. 180) ὅλῳ τῷ περὶ τῶν Τρωγλοδυτῶν Ἡλιοδώρου τούτῳ χωρίῳ ὡς μαρτυρίῳ ἐχρήσατο. — Στ. 9, Ἐπτερωμένους.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 10, Βραχυστόμους.] Αἱ ΑΑ, Βραχυτόμους, ὅπερ ἔοικεν ἄμεινον· ἀκυρολογεῖται γὰρ τὸ, Ὀπὴ βραχύστομος, ὡς ἂν καὶ εἴτις ἔλεγε, Στόμα βραχύστομον, ἢ, Ὀπὴ βραχύοπος. τὸ δὲ ἐχόμενον, Χηραμοὺς, σημαίνει, καταδύσεις, σπήλαια, πετρῶν κοιλότητας, ὡς ἐξηγεῖται Ἡσύχιος, καὶ ἔστιν ὁ Χηραμὸς λέξις Ὁμηρικὴ (Ἰλιάδ. Φ, 494),

Ἡ ῥά θ' ὑπ' ἴρηκος κοίλην εἰσέπτατο πέτρην,
Χηραμόν ..........................

λέγεται δὲ, κατ' αὐτὸν Ἡσύχιον, καὶ, Χαραμὸς, ἔτι δὲ καὶ θηλυκῶς, Χηραμὶς, ιδος, ἐξ ὧν ἡ συνήθεια ἔοικε παραλαβεῖν τὸ, Χαραμίδα, ἢ Χαραμάδα (ἀμφοτέρως γὰρ λέγεται). — Στ. 12, Καί τινας καὶ τραυματίας γενέσθαι . . . ἴσχυσαν.] Ἀσυνάρτητα τὰ τοῦ λόγου· ὤφειλε γὰρ εἰπεῖν Καί τινας καὶ τραυματίας ἐποίησαν, ἢ, Καί τινας καὶ τραυματίας ποιῆσαι ἴσχυσαν, ἢ γοῦν, Καί τινας καὶ τραυματίας γενέσθαι ἐποίησαν· οἷόν ἐστι καὶ τὸ τοῦ Λουκιανοῦ (Περὶ τοῦ μὴ ῥαδ. πιστ. τῇ διαβολ. § 26), « Ἡ δὲ Φαίδρα ... ἐπάρατον ἐποίησε τὸν » Ἱππόλυτον γενέσθαι ὑπὸ τοῦ πατρός ». — Στ. 22, Ἐφιέντες.] Αἱ ΚΑ καὶ ΑΑ, Ἀφιέντες.

Σελ. 345, στ. 3, Ἁλίσκονται δὲ καὶ Θεαγένης καὶ Χαρίκλεια, τὸ μέντι κ. τ. λ.] Προσέθηκα τὸν ἕτερον τῶν, Καὶ, ὃν ἐξέφρασαν καὶ οἱ μεταφρασταὶ ἀμφότεροι, ὡς ἀναγκαῖον. ἀντὶ δὲ τοῦ Χαρίκλεια, ὁ Κ (ὅπερ ἀβλεψίᾳ τοῦ Τυπογράφου οὐκ ἐσημειώθη ἐν τῷ ἄκρῳ τῆς σελίδος) μετὰ τοῦ ἄρθρου, Ἡ Χαρίκλεια, ὡς καὶ οἱ λοιποὶ πάντες πλὴν τοῦ Μ. τὸ δὲ, Μέντοι, ἔτρεψα εἰς τὸ, Μέντι. — Στ. 6, Παρεισῄκεσαν.] Ἀφεῖλον τὴν δίφθογγον τῆς παρατελευταίας, διὰ τὰ καὶ πρόσθεν (σελ. 173) εἰρημένα. — Στ. 17, Φιλίους μᾶλλον.] Αἱ ΚΑ, Φίλους πλέον. — Στ. 18, Ὑποτιθεμένη.] Διώρθωκα τὸ βάρβαρον Ἐπιτιθεμένη. — Στ. 19, Πείθεσθαι.] Ἐκ τῆς ἡμαρτημένης γραφῆς τῶν ΚΑ καὶ ΑΑ, Πίθεσθαι. —

Στ. 22, Ἀπὸ τῆς ὄψεως.] Ἐν ταῖς ΚΑ, Ἀπὸ τῶν ὄψεων· ἐν δὲ ταῖς ΑΑ, Ἐκ τῶν ὄψεως (γρ. Ἐκ τῶν ὄψεων). ἀντὶ δὲ τοῦ ἐχομένου, Ἀόπλους, ἐν τῇ Β, Ἀνάπλους (γρ. Ἀνόπλους). Στ. 24, Αἰγύπτιόν τε ἀπὸ σφῶν ἕνα, τὸν δὲ, περσίζοντα τὴν φωνὴν κ. τ. λ.] Οὕτω διορθωτέον ἔγνωκα τὸ χωρίον, διὰ τὰ ἑπόμενα, Ἢ ἀμφοτέρων ἢ θατέρου· ὡς δ' αὕτως ἐξεδέξατο καὶ ὁ Λ, ἐκφράσας, *Ægyptio quodam ex suorum numero, et altero qui Persicam linguam callebat*, ἀναγνοὺς δηλονότι, ἢ ἀναγνωστέον ὑπειληφὼς εἶναι, Αἰγύπτιόν τε ἀπὸ σφῶν ἕνα, τὸν δὲ κ. τ. λ. ὡς διώρθωκα, ἢ γοῦν, Αἰγύπτιον τε ἀπὸ σφῶν ἕνα, καὶ ἕτερον περσίζοντα τὴν φωνήν. ὁ δὲ Α ἕνα καὶ τὸν αὐτὸν ἐνόησεν ἑρμηνέα, τὴν Αἰγυπτίων ὁμοῦ καὶ Περσῶν εἰδότα γλῶσσαν· ὃ συμβαίνει μὲν τῇ γραφῇ τοῦ χωρίου, Αἰγύπτιόν τε ἀπὸ σφῶν ἕνα, τὸν καὶ Περσίζοντα, συμβαίνει δέ πως καὶ τοῖς ἱστορουμένοις περὶ τῶν τοιούτων. οἱ γὰρ Ἕλληνες τοὺς ἑρμηνέας, Διγλώσσους, ἐκάλουν, προσηγορικῶς χρησάμενοι τῷ ὀνόματι· αὐτίκα Πλούταρχος (Θεμιστοκλ. § 6), « Ἐπαι- » νεῖται δ' αὐτοῦ καὶ τὸ περὶ τὸν δίγλωσσον ἔργον » ... » ἑρμηνέα γὰρ ὄντα συλλαβὼν διὰ ψηφίσματος ἀπέκτεινεν ». μνημονεύει δὲ καὶ Θουκυδίδης (Η, πε΄) Καρὸς διγλώσσου, πεμφθέντος ὑπὸ Τισσαφέρνους τοῦ Πέρσου. εἰ μὲν οὖν ἀγαπᾷς τῇ ἡμετέρᾳ διορθώσει, δύο καὶ οὐχ ἕνα ὑποληπτέον ἀπεστάλθαι παρὰ τῶν Αἰθιόπων ἑρμηνέας· εἰ δὲ προκρίνεις ἀναγινώσκειν, Τὸν καὶ περσίζοντα, ὡς ἑνὸς ὄντος ἑρμηνέως διγλώσσου, τηνικαῦτα τρεπτέον τὸ ἐχόμενον, Θατέρου, εἰς τὸ, Τῆς ἑτέρας, ἵν' ᾖ ὁ νοῦς, Ὡς συνήσοντας ἢ ἀμφοτέρων τῶν γλωσσῶν, τῆς Αἰγυπτίας δηλονότι καὶ τῆς Περσικῆς, ἢ πάντως τῆς ἑτέρας τῶν δύο, καὶ ὡς εἰκὸς τῆς Περσικῆς· καθὰ καὶ ὁ Α ἐξέφρασε, *Leur amenant un d'entr' eux qui parloit langage Egyptien et Persien, pour les interroguer, pensans qu'ilz sçauroyent toutes les deux langues, ou à tout le moins l'une des deux.* καὶ περὶ μὲν τούτων ἅλις· σημείωσαι δὲ τὸ Περσίζειν (κατὰ τὸν τύπον τοῦ, Ἑλληνίζειν), ἀντὶ τοῦ Περσικῇ γλώσσῃ λαλεῖν, ἵν' ἔχῃς ἐντεῦθεν διορθοῦσθαι τὸ τέως ἀδιόρθωτον τοῦ Αἰλιανοῦ (Ποικ. Ἱστορ. Α, κα΄.) χωρίον τουτὶ, « Ἔλε- » γε δὲ (Τιθραύστης ὁ Πέρσης) ταῦτα ΠΑΙΖΩΝ δι' ἑρμη-

» νέως κ. τ. λ. ». ὅπου τινὲς τῶν Κριτικῶν ἀντὶ τοῦ, Παίζων, γραπτέον ᾠήθησαν, Φράζων, ἕτεροι δὲ, Πειράζων, ἄλλοι δὲ, Πείθων, δέον γράφειν, ὡς ἔγωγε οἶμαι, ΠΕΡΣΙΖΩΝ.

Σελ. 346, σΊ. 4, Τῶν λεγομένων.] Προσέθηκα τὸ ἄρθρον, ἀναγκαῖον τυγχάνον ἐνταῦθα. οὐκ ἔῤῥωται δὲ οὐδὲ τὸ ἐχόμενον, Ἀποσταλέντες· ὤφειλε γὰρ εἶναι, Ἀποστελλόμενοι, ὡς ἐξέφρασε καὶ ὁ Α, *Que l'on envoye*. οὐ γὰρ περὶ τῶν τηνικαῦτα ἀποσταλέντων μόνων ὁ λόγος, ἀλλὰ περὶ τῶν ἑκάστοτε ἀποστελλομένων κατασκόπων. — Στ. 9, Τὸν μὲν, τὰ πρῶτα εἶναι.] Προσέθηκα ἀναγκαίως τὰς λέξεις, Τὸν μὲν, ἵνα ἔχωσιν ἀναφέρεσθαι εἰς τὸν Βαγώαν· δῆλον δὲ τοῦτο ἔκ τε τῆς ἀνταποδόσεως, Ἑαυτὸν δὲ, καὶ ἐκ τοῦ Λ, οὕτως ἐκδεξαμένου τὸν νοῦν τοῦ χωρίου, ὅπερ οὐδ᾽ ὅλως συνῆκεν ὁ Α, οἶμαι δὲ οὐδ᾽ ἄλλοι πλεῖστοι. — Στ. 12, Ἀγομένους.] Ἐν τῇ Β, Γενομένους, καὶ μετ᾽ ὀλίγα, Γνωριζομένους, ἀντὶ τοῦ, Ἐγχειριζομένους. — Στ. 16, Τὸν μὲν.] Κἀνταῦθα, δι᾽ αὐτὰ ταῦτα, ἃ φθὰς εἴρηκα, ἔτρεψα τὸ, Τῶν μὲν, εἰς τὸ, Τὸν μὲν, τουτέστι τὸν Βαγώαν, ὡς δῆλον ἔκ τε τῆς ἐχομένης ἀνταποδόσεως, Τοὺς δὲ νέους, καὶ ἐξ ὧν προϊὼν (σελ. 387) ἐρεῖ, « Καὶ εὐνοῦχος ἀληθῶς. . . ὄνομα Βαγώας, τῶν Ὀροονδάτου » κτῆμα τὸ (γρ. κτημάτων τὸ) τιμιώτατον ». — Στ. 17, Βασιλείοις.] Ἐκ τῶν ΚΑ· Ἀττικώτερον καὶ γὰρ τὸ Βασίλειος αὐλὴ, τοῦ, Βασιλεία αὐλή. τὸ δὲ ἐχόμενον, Ὀφθαλμοὶ καὶ ἀκοαὶ, εἴληπται ἐκ τῆς ἱστορίας· οὗ μαρτύρων νέφος ἔχουσι παρασχέσθαι, ἱκανὸς ἔστω Ξενοφῶν, περὶ Κύρου ταῦτα λέγων (Κύρ. Παιδ. Η, σελ. 124), « Καὶ τοὺς βασιλέως καλου» μένους ὀφθαλμοὺς, καὶ τὰ βασιλέως ὦτα, οὐκ ἄλλως ἐκλή» σατο ἢ τῷ δωρεῖσθαί τε καὶ τιμᾶν. τοὺς γὰρ ἀπαγγεί» λαντας ὅσα καιρὸς εἴη αὐτῷ πεπύσθαι, μεγάλως εὐεργετῶν, » πολλοὺς ἐποίησεν ἀνθρώπους, καὶ ὠτακουστεῖν καὶ κατ» οπτεύειν τί ἂν ἀγγείλαντες ὠφελήσειαν βασιλέα. ἐκ τούτου » δὴ καὶ πολλοὶ ἐνομίσθησαν βασιλέως ὀφθαλμοὶ, καὶ πολλὰ » ὦτα ». καὶ ταῦτα μὲν ὁ τὰ Περσῶν ἠκριβωκὼς Ξενοφῶν· ὅτι δὲ εἰκὸς τοὺς τοιούτους ὀφθαλμοὺς τοῦ βασιλέως καὶ συκοφάντας γεγονέναι τοὺς πλείστους, δῆλον ἐξ αὐτοῦ τοῦ ἐπιτηδεύματος, κἂν εἰ μὴ ἔλεγεν ὁ χαριέστατος Λουκιανὸς (Περὶ

τῶν ἐπὶ μισθ. συνόντ. § 29), «Ὦτα γὰρ καὶ ὀφθαλμοὶ βα-
» σιλέως πολλοὶ, οὐ μόνον τἀληθῆ ὁρῶντες, ἀλλ' ἀεί τι καὶ
» προσεπιμετροῦντες, ὡς μὴ νυστάζειν δοκοῖεν ». — Στ. 21,
Δώρων.] Οὕτως αἱ ΚΑ.

Σελ. 347, στ. 2, Προεισόδιον.] Οἱονεὶ προοίμιον καὶ προανάκρουσμα. ἡ δὲ λέξις (ἣν ὁ σοφώτατος Σχνεϊδέρος ἐν ταῖς ἀμφιβαλλομέναις τοῦ Ἑλληνογερμανικοῦ αὐτοῦ λεξικοῦ κατεχώρισεν) ἐστὶ τῆς νεωτέρας καὶ Χριστιανιζούσης Ἑλλάδος. ἐχρήσατο ταύτῃ καὶ Οἰκουμένιος, ἀκμάσας κατὰ τὴν δεκάτην ἑκατονταετηρίδα ἀπὸ Χριστοῦ, καὶ τὸν αὐτὸν Ἡλιοδώρῳ Τρίκκης ἐπισκοπικὸν κατασχὼν θρόνον, ὡς ἔστιν ἰδεῖν ἐν τῷ Ἐκκλησιαστικῷ Θησαυρῷ τοῦ Σουϊκήρου (λέξ. Προεισόδιον). — Στ. 5, Ἐν αἰχμαλώτῳ τύχῃ ὑπὸ τῶν πρὸς ὀλίγον ὕστερον κ. τ. λ.] Οὕτω διεσκεύασα τὴν γραφὴν ἐξ ἡμαρτημένων ἑτέρων, τῆς τε καταχωρισθείσης ἤδη ἐν τῷ τῆς σελίδος ἄκρῳ, καὶ τῆς ἐν ταῖς ΚΑ, ἐχούσης οὕτως, Ἐν αἰχμαλώτῳ τύχῃ προσολίγον ὕστερον ὑπὸ τῶν ὑπηκόων.

Βιβλίῳ Θ, Σελ. 348, στ. 1, Πολιορκίᾳ λαμπρῶς ἤδη.] Ἐν ταῖς ΔΑ483 διαφόρως τέτακται ταῦτα, Λαμπρῶς ἤδη πολιορκίᾳ. — Στ. 9, Ὁ δὲ τῶν Αἰθιόπων κ.τ.λ.] Ἀπήλειψα τὸν, Δὴ, σύνδεσμον. Ἐν τῇ Β, γράφεται, Ὁ δὴ τῶν Αἰθιόπων, δίχα τοῦ, Δέ· ἐν δὲ ταῖς ΑΑ, Ὁ δὲ δὴ τῶν Αἰθιόπων, ὁμοίως τῷ Κ, καὶ τοῖς λοιποῖς ἅπασι. — Στ. 14, Ἀπρόσμαχον.] Σύναπτε πρὸς τὸ, Στρατόν. παρακεκινδύνευται δὲ ἡ φράσις· ὀρθῶς μὲν γὰρ εἶπεν ἐν τοῖς πρόσθεν (σελ. 269), «Ὑπὸ θέας ἀμάχου τῆς Θεαγένους», ἐπεὶ κατὰ τοῦτο ἄμαχος, ἢ ἀπρόσμαχος, λέγοιτ' ἂν εἰκότως ἡ τῶν καλῶν ὄψις, καθ' ὅσον ἅμα τῷ ὀφθῆναι καταδουλοῦνται τοὺς ὁρῶντας. ὁ δὲ καὶ μόνῃ τῇ θέᾳ ἀπρόσμαχος στρατὸς, ἔχει τι σοφιστικῆς περιεργίας· ἄλλως τε καὶ ἐπειδὴ ἀντιφάσκει οἷς αὐτὸς προϊὼν (σελ. 350) ἐρεῖ περὶ τῆς Συηναίων γενναίας ἀμύνης τε καὶ ἀντιστάσεως πρὸς αὐτὸν τοῦτον, ὃν ἀπρόσμαχον ἐνταῦθα καλεῖ, τὸν Ὑδάσπου στρατόν.

Σελ. 349, στ. 3, Ὑπὸ τοῦ μαντευτοῦ τῆς ψυχῆς.] Γραπτέον οἶμαι, Μαντευτικοῦ, ἢ, Μαντικοῦ, ἀντὶ τοῦ, Μαντευτοῦ. τοῦτο γὰρ ἡ χρῆσις βούλεται ἐπὶ τῶν οὐδετέρων οὐσια-

στικῶς ἐκλαμβανομένων ἐπὶ τῶν εἴτε μερῶν, εἴτε δυνάμεων, ἐξ ὧν συγκεῖσθαι τὴν ψυχήν φασιν· οἷον τὸ, Λογικὸν, ἢ Ἡγεμονικόν, τὸ Θυμικὸν, τὸ Ἐπιθυμητικὸν κ. τ. λ. ἔστι δὲ καὶ μαρτυρίοις πιστώσασθαι τὸ λεγόμενον παρὰ τοῦ Πλουτάρχου λαβόντας· αὐτίκα περὶ τὸ τέλος τοῦ ὀγδόου τῶν Συμποσιακῶν βιβλίου τάδε φησὶν ἐκεῖνος, « Τοῖς δὲ σώμασι τὰς ψυχὰς συμ- » παθεῖν ἀνάγκη, καὶ μάλιστα παχυνομένου τοῦ πνεύματος » ἀμαυροῦσθαι τὸ ΜΑΝΤΙΚΟΝ, ὥσπερ κάτοπτρον ὁμίχλης » ἀναπιμπλάμενον »· καὶ αὖθις (περὶ τῶν ἐκλελοιπ. Χρηστηρ. § 42), « Ὀφθαλμοῦ τε γὰρ ἔχοντος τὴν ὁρατικὴν δύ- » ναμιν οὐδὲν ἄνευ φωτὸς ἔργον ἐστί· ψυχῆς τε τὸ ΜΑΝ- » ΤΙΚΟΝ, ὥσπερ ὄμμα, δεῖται τοῦ συνεξάπτοντος κ. τ. λ. ». ἀλλὰ καὶ αὐτὸς Ἡλιόδωρος ἀνωτέρω (σελ. 250) ἔφθη τῇ λέξει χρησάμενος, καίπερ ἐπὶ σημασίας ὑπό τι παρηλλαγμένης. — Στ. 4, Ἐπὶ πλέον.] Λείπει ἡ πρόθεσις ἐκ τῶν ΑΑ. ἴσως γραπτέον, Ἔτι πλέον. — Στ. 8, Σωζέσθωσαν ...φυλαχθησόμενοι.] Οὐ πάνυ τι ἔῤῥωται ἡ φράσις. μήποτε οὖν ἀντὶ τοῦ, Φυλαχθησόμενοι, ἐγέγραπτο, Ἀχθησόμενοι, ἢ, Προσαχθησόμενοι. — Στ. 19, Ὅσα γὰρ σίδηρος κ. τ λ.] Ἐξ ἱστορίας τοῦτο· ταῦτα γάρ φησιν Ἡρόδοτος (Γ, κγ´) περὶ τῆς παρ᾽ Αἰθίοψιν εὐτελείας τοῦ χρυσοῦ, « Ἀγαγεῖν » σφέας ἐς δεσμωτήριον ἀνδρῶν, ἔνθα τοὺς πάντας ἐν πέδῃσι » χρυσέῃσι δεδέσθαι. ἔστι δὲ ἐν τούτοισι τοῖσι Αἰθίοψι πάν- » των ὁ χαλκὸς σπανιώτατον καὶ τιμιώτατον ». — Στ. 23, Παραλύοντες.] Ἀνεκάλεσα τὴν ὀρθὴν γραφὴν τῆς Β καὶ τῶν ΚΑ, καίπερ κἂν ταῖς ΑΑ ἐμφερομένου τοῦ, Διαλύοντες.

Σελ. 350, στ. 4, Σιδηρῶν.] Ἀπήλειψα τὸ παρ᾽ ἅπασι βάρβαρον, Σιδήρων· παρὰ γὰρ τὸ Σιδηροῦς, καὶ οὐ παρὰ τὸ Σίδηρος. ὅτι δὲ ἐξ Ὁμήρου ταῦτα παρῴδηται, δεδήλωται καὶ ἐν τοῖς πρόσθεν (σελ. 233). — Στ. 5, Γεγόναμεν.] Ἕτερος βαρβαρισμὸς τὸ Ἐγεγόναμεν, ὃν διωρθωσάμεθα ἐκ τῶν ΚΑ. — Στ. 7, Τοῖς ἐκ θεῶν κ. τ. λ.] Ἀπήλειψα τὸν εἰς οὐδὲν χρήσιμον σύνδεσμον. — Στ. 15, Παρὰ τὴν πρώτην.] Λείπει ἡ πρόθεσις ἐκ τῶν ΚΑ. — Στ. 16, Ἑκοντὶ φέροντες αὑτοὺς ἐνεχείρισαν.] Ἔτρεψα τὸ, Αὐτοὺς εἰς τὸ, Αὑτοὺς (τουτέστιν, Ἑαυτοὺς), καὶ τὸ, Ἐνεχείρησαν εἰς τὸ, Ἐνεχείρισαν,

ἐχείρισαν, ὡς ἐμφέρεται καὶ ἐν ταῖς ΔΑ520, ἐν αἷς, καὶ, Ἑκοντὶ καὶ φέροντες, μετὰ τοῦ συνδέσμου γράφεται. — Στ. 17, Τὸν στρατὸν προσκαθήμενος.] Ἐν ταῖς ΚΑ διπλῆ φέρεται γραφὴ, Τὸν στρατὸν Προσκαθήμενον (ἣν ἔχουσιν αἵ τε ΑΑ καὶ αἱ ΔΑ520), καὶ Πρὸς τὸν στρατὸν προσκαθήμενος. Στ. 20, Εἰς ἄρδην.] Ἐσχημάτισε καινῶς κατὰ τὸ, Εἰς μάτην, καίπερ ἀντιπραττούσης τῆς χρήσεως. — Στ. 23, Δεκάδι.] Οὕτω διώρθωκα τὸ ἀκατάλληλον ἐνταῦθα, Δεκάσιν.

Σελ. 351, σ7. 10, Ἐπεὶ δὲ τοῦτο καὶ κ. τ. λ.] Ἀπήλειψα τὸν ἕτερον τῶν, Καί. — Στ. 18, Μακροῖς τείχεσι.] Αἰνίττεται τὰ ἐν πολλαῖς τῶν μικρῷ τῆς θαλάσσης ἀπῳκισμένων Ἑλληνικῶν πόλεων Μακρὰ τείχη κληθέντα, διὰ τὸ παρατείνεσθαι ἀπὸ τοῦ ἄστεος ἐπὶ τὸν αἰγιαλὸν, τοῦ συνάπτειν ἕνεκα τὸ ἐπίνειον τῷ ἄστει. τοιαῦτα ἦν Ἀθήνησι τὰ ἀπὸ τῆς πόλεως ἐπὶ τὸν Πειραιᾶ καθήκοντα μακρὰ τείχη, τὰ καὶ μακρὰ σκέλη ῥηθέντα (Πλούταρχ. Λυσάνδρ. § 14, καὶ Κίμων. 13). καὶ Μεγαρεῖς δὲ, καὶ Ἀργεῖοι, καὶ Πατρεῖς, μακρὰ τείχη ᾠκοδόμησαν (Αυτ. Φωκίων. § 14, καὶ Ἀλκιβιάδ. § 15). — Στ. 24, Ὁλκόν.] Οὐσιαστικῶς ὁ Ὁλκὸς, οὐχ ὡς ἀνωτέρω (σελ. 116)· σημαίνει δὲ ἐνταῦθα τὸ μεταξὺ τῶν μακρῶν σκελῶν ἢ τειχῶν κενὸν, ἐμφερὲς ὂν ποταμοῦ διώρυγι, ὃ καὶ Πορθμὸν μετ' ὀλίγα καλέσει.

Σελ. 352, σ7. 6, Ἅπερ.] Ἐν τῇ Β, Ὅπερ. — Στ. 13, Σανιδωμάτων τὰ διεστῶτα.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. — Στ. 17, Προστυχόν.] Ἐν τῇ Β καὶ ταῖς ΑΑ, προσδυγχάνον. — Στ. 20, Περὶ ψυχῆς.] Αἱ ΑΑ, Ὑπὲρ ψυχῆς. — Στ. 21, Αὐλῶνα.] Ἐν ταῖς ΚΑ, Αὐλόν. — Στ. 23, Ἀποκεκλήρωντο.] Οὕτω γραπτέον πληθυντικῶς, διὰ τὸ προηγησάμενον, Οἱ δυνατώτεροι. — Στ. 24, Φρεατίαν.] Χρήσεται τῇ λέξει καὶ ἐν τοῖς ἑξῆς (σελ. 380). ἐξηγεῖται δὲ τὴν Φρεατίαν (παρὰ τὸ Φρέαρ), Σουΐδας, Ὄρυξιν.

Σελ. 353, σ7. 2, Ἐγκάρσιον.] Οὕτως αἱ ΑΑ· ἀναφέρεται γὰρ εἰς τὸ, Ὑπόνομον. — Στ. 5, Τὸν χοῦν.] Ἀπήλειψα τὸ ἑχόμενον, Ἀεὶ, ὅπερ οὐδὲ ἐν ταῖς ΑΑ ἐμφέρεται. — Στ. 6, Ἐκφορούντων.] Ἐν ταῖς ΑΑ, Ἐκφερόντων, ὅπερ ἐστὶν

Μ μ

ἐπεξήγησις τοῦ, Ἐκφορούντων. — Στ. 11, Τῷ κατὰ τὸν κύκλον.] Τουτέστι, τῷ κατὰ τὸν κύκλον χώματι. οὕτως ἐτόλμησα διορθώσασθαι, ἐπεὶ καὶ μετ' ολίγα (σελ. 355) ἀντεστραμμένως ἐρεῖ, « Τῷ κύκλῳ τοῦ χώματος »· πλὴν εἰ μή τις προέλοιτο συνάπτειν τὸ, Τῶν κατὰ τὸν κύκλον, πρὸς τὸ, Ἐπίφορος, ἵνα ᾖ ὁ νοῦς, Ἐπιφέρων καὶ ἐπισύρων τῇ ῥύμῃ τὰ κατὰ τὸν κύκλον εὑρισκόμενα. — Στ. 14, Μεσόγαιος.] Αἱ ΚΑ, Μεσόγεως· Ἀττικωτέρως μὲν, ἀλλ' ἴσως ὑπεναντίως τῇ χρήσει· οὐδὲ γὰρ εὕρηται ἡ Μεσόγεως, καθὰ ἡ Εὔγεως, Λευκόγεως καὶ Λυπρόγεως. — Στ. 19, Ἧι μέλαινα.] Προειλόμην τὴν γραφὴν τῆς Β, τοπικῶς ἐκλαμβάνων τὸ, Ἧι, ἀντὶ τοῦ, Ὅπου. — Στ. 23, Χαυνούμενον ἰζήσειε.] Ἀντὶ τοῦ, Ἰζήσειε, ἐν ταῖς ΚΑ, Ἰζήσει, οὐκ ὀρθῶς. τὸ δὲ Χαυνούμενος παρὰ τὸ, Χαῦνος, ὃ σημαίνει κυρίως τὸ ἀντικείμενον τοῦ, Πυκνὸς, ἤγουν τὸν ἀραιὸν, καὶ σπογγώδη, ἐξ οὗ, τὸν κεχηνότα, κοῖλον, κενὸν, πεφυσημένον, ὑγρὸν, μαλακὸν, ἐλαφρόν· ὅθεν τροπικῶς, Χαῦνος καὶ Χαύναξ ἐῤῥέθη, ὁ πεφυσιωμένος καὶ κενόδοξος. ἐντεῦθεν καὶ πάντα τὰ ἀσθενῆ, ἄτονα καὶ ἐκλελυμένα Χαῦνα καλεῖται (Σουΐδ. λέξ. Χαῦνον)· ὅθεν παραλαβοῦσα ἡ συνήθεια ἐποίησε τὸ Ἀχαμνὸς, Ἀττικῷ πλεονασμῷ τοῦ ἀρχικοῦ ᾱ, καὶ τροπῇ τοῦ ῡ, εἰς μ̄, ὡς παρὰ τὸ, Ἐλαύνω, τὸ Λάμνω, καὶ παρὰ τὸ, Εὔνοστος, τὸ Ἔμνοστος, τουτέστιν ὁ κοινότερον λεγόμενος Νόστιμος, οὐχ, ὡς παρεξηγήσατο ὁ Δουκάγγιος (λεξ. Ἔμνοστος), ὁ Εὐκλεὴς καὶ Περίφημος, παράγων αὐτὸ παρὰ τὸ, Ὑμνεῖν. διορθούσθω ἐν παρόδῳ καὶ ὁ Ἡσύχιος, ἐν οἷς φησι, Χαυνιάζει· ΠΛΑΝΑ. γραπτέον γὰρ, ΠΛΑΔΑ. τὸ δὲ Πλαδᾷν ἰατρικὴ λέξις ἐστὶ, παρὰ τὸν Πλάδον, ὃν ὁ Ἐρωτιανὸς ὀρθῶς ἐξηγεῖται διὰ τοῦ, « Ἔκχαυνος καὶ ὑπόσομφος καὶ δίυγρος τοῦ σώματος διάθε- » σις, καὶ μὴ στερεᾷ κεχρημένη σαρκί ». καὶ Σουΐδας δὲ τὸ, Πλαδαρὸν, διὰ τοῦ, Χαῦνον, ὑγρὸν, ἀσθενὲς, ἐξέφρασεν. ἴσως δὲ καὶ τὸ, Χαυνιάζει τοῦ Ἡσυχίου μεταποιητέον εἰς τὸ, Χαυνάζει, ἢ Χαυνίζει, ὅπερ οὐδέν ἐστιν ἕτερον ἢ τὸ ἐν τῇ συνηθείᾳ, Ἀχαμνίζει.

Σελ. 354, στ. 4, Ἐγκαταῤῥίπτεται.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. ἀλλ' ἴσως ἦν, Ἐγκατερείπεται· χαίρει γὰρ τῇ λέξει,

Κατερείπω (παρὰ τὸ, Ἐρείπω, ὅθεν τὸ, Ἐρείπιον), ὁ Ἡλιόδωρος, ὡς δῆλον γενήσεται προϊοῦσι. — Στ. 8, Κατεπτηχέναι.] Αἱ ΑΑ κακῶς, Κατεπτηχθέναι. ἔστι δὲ τὸ Κατεπτηχέναι, φοβηθῆναι, καθ' Ἡσύχιον, παρὰ τὸ Καταπτήσσω, οὐδὲν ἢ σχηματισμῷ διαφέρον τοῦ Καταπτώσσω. ληπτέον δ' ἀπὸ κοινοῦ τὸ, Ὥστε, ἵνα ᾖ ὁ νοῦς, Οὐχ ὥστε εἰσδέξασθαι τὸ ὕδωρ, ἀλλὰ τοσοῦτον μόνον ὥστε φοβεῖσθαι τὴν ὅσον οὔπω ἀπειλουμένην ἐπίκλυσιν. — Στ. 18, Λίθῳ τὴν γραφὴν ἐναψάμενος κ. τ. λ.] Ἐκ τῶν εἰωθότων γίγνεσθαι κατὰ τοὺς πολέμους. τοιοῦτον γάρ τι καὶ Ἡρόδοτος (Η, ρκη΄) ἱστορεῖ περὶ Τιμοξένου τοῦ προδόντος Ἀρταβάζῳ τὴν Ποτίδαιαν. σημείωσαι δὲ καὶ τὸ, Γραφὴν, ἀντὶ τοῦ ἐπιστολὴν, ὡς καὶ ἐν τῇ συνηθείᾳ· περὶ ἧς ἐροῦμεν ἐν τοῖς ἑξῆς. — Στ. 24, Τῶν τοξοτῶν.] Οὕτως αἱ ΑΑ μετὰ τοῦ ἄρθρου.

Σελ. 355, σἰ. 3, Ὀρέγοντες.] Ἐν ταῖς ΚΑ, Αἴροντες. Στ. 4, Ἐλεεινοῖς.] Οὕτω δεῖν ἔγνων διορθοῦν. — Στ. 7, Πρὸς δεσμόν.] Ἄμεινον, Εἰς δεσμὸν, λέγειν· ἀλλ' εὐεπίφορος ὁ Ἡλιόδωρος εἰς τὴν κατάχρησιν τῆς Πρός. — Στ. 14, Προηυτρεπισμένος.] Διώρθωκα οὕτως. — Στ. 17, Εἶχε.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ, ἐν αἷς οὐκ ὀρθῶς μετὰ τοῦ ἐφελκυστικοῦ γράφεται, Εἶχεν. ἀντὶ δὲ τοῦ ἐχομένου, Τοξότας τε ὁπλίτας, γραπτέον, Τοξότας τε καὶ ὁπλίτας, ὃ καὶ ὁ Λ ἐξέφρασεν εἰπὼν, *Sagittarios ac armatos*· ἀντιδιέσταλται γὰρ, ψιλὸς ὢν, ὁ τοξότης πρὸς τὸν ὁπλίτην, τουτέστι τὸν ὡπλισμένον, ᾗ δῆλον καὶ ἐξ αὐτοῦ τοῦ Ἡλιοδώρου (σελ. 368). — Στ. 21, Ηὐτρεπίσθαι.] Προσέθηκα κἀνταῦθα τὴν χρονικὴν αὔξησιν. — Στ. 25, Καινουργός.] Παραδοξοποιὸς, καινὰ καὶ ἀπροσδόκητα ἐργαζόμενος. ἡ δὲ ἔννοια Θουκυδίδειος· οὕτω γὰρ ἐκεῖνος (Γ, λ΄), « Νομίσαντες οὐκ ἄλλο τι εἶναι ΤῸ » ΚΑΙΝῸΝ τοῦ πολέμου ἢ τὸ τοιοῦτον κ. τ. λ. », ὅ ποτε διωρθούμην, ἀσκέπτως ἴσως, μεταποιῶν εἰς τὸ, ΤῸΝ ΚΑΙΡΌΝ. λέγω δὲ τοῦτο οὐχ ὅτι νῦν μεταμέλει μοι παντάπασι τῆς διορθώσεως, ἀλλ' ὡς οὐ πάνυ τι δῆλον ὂν, τί ποτε καὶ βούλεται, Τὸ καινὸν τοῦ πολέμου. παρά τε γὰρ τῷ Θουκυδίδῃ (ἴδ. τὸν σχολιαστ. αὐτ.) καὶ παρ' ἅπασιν ὡς ἔπος εἰπεῖν τοῖς ἐξ αὐτοῦ λαβοῦσι τὴν φράσιν καὶ παροιμιακῶς

ἐξενεγκοῦσι διτλὴ πολλάκις φέρεται γραφὴ, Καινὸν καὶ Κενόν. αὐτίκα Ἀριστοτέλης (Ἠθ. Νικομ. Γ, ια´) «Δοκεῖ γὰρ εἶναι » πολλὰ ΚΕΝᾺ τοῦ πολέμου, ἃ μάλιστα συνεωράκασιν » οὗτοι (οἱ στρατιῶται)». καὶ Πλούταρχος δὲ (περὶ τοῦ Ἀκούειν § 5), «Ὡς γὰρ πολέμου, καὶ ἀκροάσεως, πολλὰ τὰ ΚΕΝΆ ἐστι, κ. τ. λ.». κἀν τούτοις μὲν διὰ τοῦ ε ἡ γραφὴ, ἣν καὶ ὁ νοῦς ἀπαιτεῖν ἔοικε· σημαίνει γὰρ ἐνταῦθα τὰ κενὰ τοῦ πολέμου, τὰς ματαίας ἐκπλήξεις καὶ καταπτοήσεις ἃς καὶ Πανικοὺς φόβους καλεῖν εἰώθασι, καθὰ καὶ Κικέρων (πρὸς Ἀττικ. Ε, 20), καὶ Κυΐντος ὁ Κύρτιος (Βιβλ. Ζ) ἐξεδέξαντο τὴν φράσιν. ψιλογραφεῖ δὲ καὶ Διογενιανὸς (Παροιμ. Ζ, π´) τὸ, Πολλὰ κενὰ τοῦ πολέμου. παρὰ δὲ Διοδώρῳ τῷ Σικελιώτῃ, ὃς ἁπάντων μάλιστα κατεχρήσατο τῇ φράσει, διφθογγογραφεῖται ἔστιν ὅτε τὸ, Καινά· ὁ δὲ νοῦς, ἔν τισι μὲν, οὐ πάνυ τι δῆλος, ἐν ἑτέροις δὲ, ὁ προσήκων τῷ, ψιλογραφουμένῳ, Κενὰ, ἐν ἄλλοις δὲ (Κ, λ´) ὁ τῷ διφθογγογραφουμένῳ Καινὰ, τουτέστι, Παράδοξα καὶ θαυμάσια. Σουΐδας δὲ τὸ, Πολλὰ καινὰ τοῦ πολέμου, ἐκ Πολυβίου παρειληφὼς, διφθογγογραφεῖ. ἡ δὲ τῶν γραφῶν αὕτη σύγχυσις ἐκ τούτου μάλιστα λαβεῖν ἔοικε τὰς ἀφορμὰς ὅτι καὶ ἀληθὴς ἀμφοτέρων ὁ νοῦς· καὶ ἔχει γὰρ οὖν ὁ πόλεμος οὐ μόνον πολλὰ κενὰ, ἀλλὰ καὶ πολλὰ καινά· οἷόν ἐστι τὸ ἐν τῷ προκειμένῳ χωρίῳ τοῦ Ἡλιοδώρου. εἰ μὲν γὰρ ἀποβλέψειας εἴς τε τὸ προηγησάμενον, Θεαμάτων τὸ καινότατον, καὶ τὸ προσεχῶς ἑπόμενον, Οὐδαμῶς εἰωθὸς ἐθαυματούργει, ἔστιν ὁ πόλεμος τῷόντι Καινουργὸς, ὅπερ εἰκὸς καὶ γεγραφέναι τὸν Ἡλιόδωρον· εἰ δὲ τὸ μετ᾽ ὀλίγα ῥηθησόμενον ἀναλογίσαιο, ὅτι φόβου καὶ πτοίας ἀνάμεστοι οἱ ἐπὶ τοῦ τείχους, ἐτόξευον εἰς τοὺς ἐπὶ σωτηρίᾳ τῇ σφῶν ἥκοντας, πολεμίους ὑπονοήσαντες, εἴη ἂν ὁ πόλεμος Κενουργὸς, εἰ καὶ τοῦτο χρὴ λέγειν· κενὸς γὰρ καὶ μάταιος ἦν αὐτῶν ὁ φόβος.

Σελ. 356, στ. 5, Στρατιώτῃ.] Ἐν ταῖς ΚΑ, Στρατῷ. — Στ. 10, Τῷ κατ᾽ ἔσχατον κινδύνου γενομένῳ.] Οὕτω διώρθωκα τὸ παρ᾽ ἅπασιν ἡμαρτημένον χωρίον· παρὰ γὰρ τὴν σημειωθεῖσαν τοῦ Κ γραφὴν (τὴν αὐτὴν οὖσαν τῇ ἐν τῇ Β), ἐν μὲν ταῖς ΚΑ γράφεται ἀδιανοήτως, Τὸ κατ᾽ ἔσχατον κινδύνου ἑαυτῶν

γενόμενον, ἐν δὲ ταῖς ΑΑ, Τὸ κατ' ἔσχατον κινδύνου τὸν γενόμενον. ὁ δὲ νοῦς πρόδηλος, καὶ τοιοῦτος οἷον ἐξέφρασε καὶ ὁ Α, *Car à ceux qui sont ainsi reduictz à telle extremité de peril, toutes choses sont formidables et suspectes*, καὶ οἷον αὐτὸς Ἡλιόδωρος ἑτέροις ῥήμασιν ἐγνωμολόγησεν ἀνωτέρω (σελ. 334), εἰπὼν, « Ἡ συνήθειά σε τῶν δυστυχημάτων κ. τ. λ. ». Στ. 12, Ἐξετόξευον.] Τουτέστιν, Ἐκ τοῦ τείχους πρὸς τὸ ἔξω ἐτόξευον· ἢ καὶ δῆλον ὅτι ἡμάρτηται τὸ, Εἰσετόξευον, τῶν πρὸ ἐμοῦ. εἴρηκε δὲ καὶ μικρῷ πρόσθεν (σελ. 354), « Τὴν αὐτὴν γραφὴν ἐκτοξεύων ». — Στ. 21, Ἐκσφενδονηθῆναι.] Διώρθωκα τὸ Ἐκσφενδονισθῆναι, τῶν πρὸ ἐμοῦ· οὐ γὰρ παρὰ τὸ, Ἐκσφενδονίζω, ἀλλὰ παρὰ τὸ, Ἐκσφενδονάω, οἷον καὶ ἐν τοῖς πρόσθεν (σελ. 55), Ἀπεσφενδόνητο, εἰρήκει. παρῴδηται δὲ ἐξ Εὐριπίδου (Φοινίσσ. 1189),

............... Ἐκ δὲ κλιμάκων
Ἐσφενδονᾶτο χωρὶς ἀλλήλων μέλη.

Στ. 22, Κἂν ἐπὶ πλέον ... εἰ μή τις κ. τ. λ.] Συνῄρηκα τὸ, Καὶ ἂν, εἰς τὸ, Κἂν, οὕτω γεγραμμένον ἐν ταῖς ΚΑ· ἐξήλειψα δὲ καὶ τὸν ἐχόμενον, Καὶ, ὡς περιττόν. μαρτυρεῖ δὲ καὶ Σοφοκλῆς (Αἴαντ. 45),

ΚἊΝ ἐξέπραξεν, ΕἸ κατημέλησ' ἐγώ·

καὶ πρὸ αὐτοῦ Ὅμηρος (Ἰλιάδ. Ε, 362),

.....Ὃς νῦν γε ΚΑῚ ἊΝ Διὶ πατρὶ μάχοιτο,

ἀμφότεροι ἄνευ τοῦ δευτέρου, Καὶ, ἐξενεγκόντες τὴν ῥῆσιν, Ὁμήρου δι' οὐδὲν ἄλλο ἢ διὰ τὸ μέτρον διαλύσαντος τὸν, Κἄν. ἑτεροῖον δ' ἔοικε τὸ τοῦ Λουκιανοῦ (Θεῶν Διαλ. ΚΑ, β'), « ΚΑῚ ΕἸ μή γε ἡ Θέτις κατελεήσασα ἐκάλεσεν ... ΚἊΝ » ἐδέδετο αὐτῷ κεραυνῷ »· προηγούμενον γὰρ τὸ ΕἸ τοῦ ΚἊΝ, ἐξ ἀνάγκης ἀπήτησε τὸν πρὸ αὐτοῦ ἕτερον ΚΑῚ, ἵνα συνάπτηται πρὸς τὰ πρόσθεν εἰρημένα. — Στ. 24, Τῶν δὲ καὶ σὺν ὀργῇ, τῶν Αἰθιόπων.] Προσέθηκα τὸ, Τῶν Αἰθιόπων, μείζονος ἕνεκα σαφηνείας. τοῦτο δὲ καὶ ἡ χρῆσις βούλεται, ἡνίκα τῷ, Μὲν, καὶ τῷ, Δὲ, ἀντιδιαστέλλωνται τὰ κῶλα τῆς περιόδου· ὅπερ ἀγνοηθὲν, πλάνης αἴτιον πολλοῖς πολλάκις ἐγένετο. αὐτίκα παρὰ τῷ Λουκιανῷ (Σολοικιστ. § 12), « Τὸ καταδουλοῦν σὺ μὲν ἴσως ταὐτὸν τῷ καταδουλοῦσθαι

» νενόμικας· ἐγὼ δὲ οἶδα διαφορὰν οὐκ ὀλίγην ἔχον ... ὅτι » τὸ μὲν ἑτέρῳ, τὸ καταδουλοῦν Δ᾽ ἑαυτῷ γίγνεται ». τοῦτο ὁ σχολιαστὴς καὶ οἱ Κριτικοὶ μὴ νοήσαντες, ὑπέλαβον τὸν Λουκιανὸν ἐναντίον κανόνα τῇ κοινῇ τῶν Ἑλλήνων χρήσει τῶν μέσων ῥημάτων νομοθετεῖν· γραπτέον γὰρ καὶ στικτέον τὰ τελευταῖα ῥήματα οὕτως, « Ὅτι τὸ μὲν ἑτέρῳ, τὸ κατα- » δουλοῦν· ΤΟ Δ᾽ ἑαυτῷ γίγνεται », τουτέστι, Τὸ μὲν ἐνεργητικὸν Καταδουλοῦν λέγεται ἐπὶ τῶν καταδουλούντων πόλιν ἢ ἔθνος ἑτέρῳ, καὶ οὐχ ἑαυτοῖς· τὸ δὲ (τοῦτο δ᾽ οὐκ ἐνδέχεται ἄλλο εἶναι ἢ τὸ Καταδουλοῦσθαι, δηλωθέντος ἤδη θατέρου), ἐπὶ τῶν καταδουλούντων καὶ προσηλωμένων ἑαυτοῖς.

Σελ. 357, στ. 2, Παραγενόμενος.] Αἱ ΑΑ, Προσπαραγενόμενος. — Στ. 10, Τοσούτου νέφους.] Οὐκ ὀρθῶς ὁ Μ τὸ, Νέφους, εἰς τὸ, Στέφους, μεταποιητέον εἶναι ᾠήθη. παρῳδεῖ γὰρ αὖθις ἐνταῦθα, Νέφος καλέσαντα τῶν στρατιωτῶν τὸ πλῆθος, τὸν Εὐριπίδην (Φοινίσσ. 1320),

........................ Ἢ πόλιν
Στένω δακρύσας, ἣν πέριξ ἔχει νέφος
Τοιοῦτο, ὥστε δι᾽ Ἀχέροντος ἰέναι;

Ὅμηρος δὲ καὶ, Πεζῶν νέφος (Ἰλιάδ. Δ, 274), καὶ, Πολέμου Νέφος (Ρ, 243), εἴρηκεν. ἀντὶ δὲ τοῦ ἐχομένου, Κεκυκλωμένου, ἐν ταῖς ΑΑ γράφεται, Κεκλωμένου, ἐξ ὀρθοτέρας οἶμαι γραφῆς ἑτέρας, Κυκλουμένου, ὅπερ ἄμεινον.—Στ. 12, Ὅ, τι βουλομένοις ἐστὶν.] Αἱ ΑΑ, Ὅ τι βουλόμενοι ἐστίν· αἱ δὲ ΚΑ αὐτήν τε ταύτην τὴν Γραφὴν, καὶ προσέτι, Ὅ τι βουλόμενοι ὅ ἐστιν, ὅπερ ἐμφέρεται καὶ ἐν ταῖς ΔΑ440. — Στ. 14, Κατηρειπωμένου.] Τοῦ παρακμάσαντος Ἑλληνισμοῦ ἡ λέξις· Ἐρείπω γὰρ ἔλεγον οἱ ἀρχαῖοι ἀμεταβάτως ἐπὶ τοῦ, Πίπτω, ἐξ οὗ οἱ μεταγενέστεροι ἐσχημάτισαν τὸ μεταβατικὸν, Ἐρειπόω, ἢ Ἐριπόω. — Στ. 22, Τῶν πρὸς ἀνατολαῖς καὶ δυσμῶν Αἰθιόπων.] Ὁ γὰρ Ὅμηρος διχῆ ἔνεμε τοὺς Αἰθίοπας (Ὀδυσσ. Α, 23),

Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,
Οἱ μὲν δυσομένου Ὑπερίονος, οἱ δ᾽ ἀνιόντος·

τούτων δὲ τῶν ἐπῶν τὰς διαφόρους διορθώσεις τε καὶ ἐξηγήσεις τῶν ἀρχαίων Κριτικῶν διὰ μακρῶν ὁ Στράβων καταλέγει ἐν τῷ πρώτῳ τῶν Γεωγραφικῶν.

Σελ. 358, σἰ. 1, Ἔχων οὖν τό τε ὑμᾶς κ. τ. λ.] Προσέθηκα τὸν, Οὖν, παραλειφθέντα τοῖς ἀντιγραφεῦσι διὰ τὴν πρὸς τὴν τελευταίαν τοῦ, Ἔχων, παρήχησιν. ἐνδέχεται δὲ καὶ τὴν ἀρχὴν γεγράφθαι, Ἔχων τε τὸ ὑμᾶς, ὅπερ ἔοικεν ἐκφράσαι ὁ Λ. ἀντὶ τοῦ, Ἔχων, οὐκ ὀρθῶς αἱ ΚΑ, Ἔχω. — Στ. 4, Ἐφ' οἷς ἂν ἄσμενοι κ. τ. λ.] Τὸ ἑξῆς, Οὐκ αὐτὸς ὁρίζων, ἀλλ' ὑμῖν ἐπιτρέπων τὴν αἵρεσιν ἐκείνων, ἐφ' οἷς ἂν ἄσμενοι κ. τ. λ. — Στ. 6, Δίκην.] Ἐν ταῖς ΚΑ, Νίκην. — Στ. 17, Μηδὲ ἑαυτόν.] Γράφε, Μήτε ἑαυτόν. — Στ. 24, Τῷ Περσῶν.] Ἐκ τῶν ΚΑ. τὸν δὲ ἐχόμενον, Καὶ, μετεποίησα εἰς τὸν, Δέ· ἔστι γὰρ ἐπανόρθωσις τοῦ μικρῷ πρόσθεν εἰρημένου, Ἴσον εἶναί οἱ, ὡσανεὶ ἔλεγεν. οὐκ ὀρθῶς εἶπον ἴσον εἶναί μοι τὸ νῦν ἀπολέσθαι, καὶ τὸ ἁλῶναι προδοσίας παρὰ τῷ βασιλεῖ, χαλεπώτερον γὰρ πολλῷ τοῦτο. — Στ. 25, Ἁπλοῦ.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ.

Σελ. 359, σἰ. 6, Ἔτι μελλήσων.] Διὰ διπλοῦ τοῦ λ̄ γραπτέον εἶναι πᾶσι δῆλον. Αἱ ΚΑ, ΑΑ, καὶ ΔΑ581, Ἔτι καὶ μελλήσων, μετὰ τοῦ συνδέσμου. — Στ. 7, Ἐπανήεσαν.] Εἰς τοῦτο μετέβαλον τὸ ἀδιανόητον, Ἔτι ἀνήεσαν. καὶ ὁ Α δὲ τὸ ἡμέτερον, Ἐπανήεσαν, ἐξέφρασε διὰ τοῦ, *S'en retournerent*. Στ. 8, Πρός τε τὸν Ὑδάσπην.] Προσέθηκα τὸν σύνδεσμον, ὃν ἡρμήνευσαν καὶ ἀμφότεροι οἱ μεταφρασταί. — Στ. 9, Ἐπιγελάσας.] Γελάσας ἐπὶ τοῖς ἀπηγγελμένοις. εἰς τοῦτο δεῖν ᾠήθην τρέψαι τὸ, Ὑπογελάσας· ἡ γὰρ, Ὑπὸ, τῷ Μειδιᾶν μᾶλλον ἢ τῷ Γελᾶν φιλεῖ συνάπτεσθαι· καὶ ἔστι τὸ, Ὑπομειδιάω, ὅπερ ἐν τῇ συνηθείᾳ Χαμογελῶ, ἢ Χαμαιγελῶ, φαμέν.—Στ. 12, Οὐκ ἐν ἑαυτῷ τὸ εἶναι κ.τ.λ.] Τὸ, Ἑαυτῷ, παρείληπται ἐκ τῶν ΚΑ καὶ ΑΑ· τὴν δὲ γενικὴν τοῦ ἄρθρου ἔτρεψα εἰς τὴν αἰτιατικὴν, ἵνα ἔχῃ συντάττεσθαι πρὸς τὸ, Σαλεύων, ὅπερ οὕτω συνέταξε καὶ ἀλλαχοῦ (σελ. 20 καὶ 101). ἔοικε δὲ τὸ λεγόμενον τῷ παρὰ Πλουτάρχῳ (Λακ. ἀποφθ.) ὑπὸ Λακεδαιμονίων πρὸς Ἀθηναίους ἁλόντας, καὶ Σάμον αὐτοῖς μόνον ἐᾶσαι ζηλοῦντας ῥηθέντι, « Ὅταν αὐτῶν » οὐκ ἦτε, τότε καὶ ἄλλους ἔχειν ζητεῖτε· ἀφ' οὗ (φησὶ Πλού» ταρχος) καὶ ἡ παροιμία· Ὃς αὐτὸς αὑτὸν οὐκ ἔχει, Σά» μον θέλει ». — Στ. 16, Ὡς οὐδεμιᾶς ὢν φροντίδος.]

Ὅμοιον βούλεται τῷ ἐν ἄλλοις (σελ. 386), «Ἐν οὐδεμιᾷ » φροντίδι τιθέμενος ». καὶ εἰ τοῦτο ὀρθὸν, οὐδὲ τὸ τοῦ Πλουτάρχου (ἐν Νικίᾳ § 18), «Ἦν δ' ἐλπίδος μεγάλης» μεταποιητέον, ὡς ἔδοξε τοῖς Κριτικοῖς, εἰς τὸ, Ἦν δὲ δι' ἐλπίδος μεγαλης, ἢ, Ἦν δ' ἐλπίδος μεστὸς καλῆς. ἐν μέν τοι ταῖς ΚΑ γράφεται, Ὡς οὐδεμιᾶς ὂν φροντίδος, κατ' αἰτιατικὴν οὐδετέραν τὴν καλουμένην ἀπόλυτον· ὅπερ ἴσως οὐ χεῖρον. ἔσται δ' ὁ νοῦς τηνικαῦτα, Ὡς πράγματος ὄντος οὐδεμιᾶς ἀξίου φροντίδος.

Σελ. 360, στ. 3, Ἐπιγενομένης.] Ὁ Κ ὑπέλαβεν ἀντὶ τοῦ, Ἐπιγενομένοις, γραπτέον εἶναι, Ἐπιγενομένοιν, ἢ Ἐπιγενομένων, ἵνα ἔχῃ ἀναφέρεσθαι εἰς τὸ, Ἑσπέρας καὶ νυκτός· ὁ δὲ Μ διορθοῦν ἐβούλετο, Ἐπιγενομένης, ὃ καὶ παρείληφα ὡς πιθανώτερον· φιλεῖ γὰρ Ἡλιόδωρος πλείοσιν οὐσιαστικοῖς ἑνικὸν ἐπάγειν ῥῆμα ἢ μετοχήν. — Στ. 6, Ἀλλ' οἵ τε.] Οὕτω διεστείλαμεν, τὸ κακῶς εἰς ἓν συνελθὸν Ἄλλοι τε· τὸ γὰρ ἄρθρον ἐνταῦθα ἀναπόλησιν ἐμφαίνει ὧν εἴρηκεν ἀνωτέρω (σελ. 352) περὶ τῶν ὀρυττόντων τὸν ὑπόγειον αὐλῶνα ἀπὸ τῆς πόλεως ἐπὶ τὸ χῶμα τῶν πολεμίων. ἡ δὲ διόρθωσις παραπλησία τῇ ἣν ἐν τοῖς πρόσθεν (σελ. 236) πεποιήκαμεν διαστολῇ τοῦ Ἀλλα εἰς τὸ Ἀλλ' ἅ. — Στ. 18, Χαύνου τε καὶ Ἀκροτήτου.] Ἀντὶ τοῦ Χαύνου, ἐν ταῖς ΚΑ καὶ ΑΑ φέρεται, Χαύνης. τὸ δ' ἡμαρτημένον, Ἀκρατήτου, οὐκ ὤκνησα τρέψαι εἰς τὸ, Ἀκροτήτου· ὅτι δ' οὐχ ἅπαξ οἱ Ἀντιγραφεῖς συνέχεαν τὸ, Κροτῶ, καὶ Κρατῶ, δῆλον καὶ ἐκ τῶν πρόσθεν (σελ. 37), ἐν οἷς ἀντὶ τοῦ, Ἐπεκρατήσαμεν, ἐν ταῖς ΑΑ κακῶς ἐμφέρεται, Ἀπεκροτήσαμεν. ἔστι δὲ τὸ, Ἀκρότητος, συνώνυμον τῷ, Χαῦνος, δηλοῦν τὴν μὴ συμπιληθεῖσαν καὶ πατήσει, τρίψει, ἢ ἄλλως πληγαῖς, στεῤῥὰν γενομένην γῆν· καὶ ἀντιδιέσταλται πρὸς τὸ, Κροτητὸς, ἢ, Ἐπίκροτος, ὅπερ ἔστιν ὅτε σημαίνει καὶ τὸ λιθόστρωτον ἔδαφος, τὸ βαρβαροτουρκικῶς καλούμενον, Καλδιρίμι. τὸ δὲ, Ἀπόκροτος, πρὸς τῇ πιλήσει, καὶ τὸ τραχὺ καὶ σκληρὸν τῆς πεπατημένης γῆς δηλοῖ. — Στ. 22, Ταπεινοτέρου πρὸς τῶν ἐργαζομένων ἐπιῤῥαγέντος, ἐπίχυσις κ. τ. λ] Ἐν ταῖς ΑΑ, Ταπεινοτέρου πρὸς τῶν ἐργαζομένων, ἐπιλαχέντος ἐπίχυσις· ἐν δὲ ταῖς ΚΑ,

τ. π. τ. ἑ. ἐπιλαχόντος (ἄλλ. ἐπιλαχέντος) ἐπίχυσις, καὶ, Ταπεινοτέρου τῶν ἐργαζομένων ἐπιραγέντος ἐπίχυσις. ἔκ τε τούτων οὖν τῶν γραφῶν καὶ τῆς ἐν τῇ Β, Ταπεινοτέρου τῶν ἐργαζομένων ἐπιλαβόντος, ἐπίλυσις (ἣν παρείληφεν ὁ Κ καὶ οἱ μετ' αὐτὸν) διεσκεύασα τὸ χωρίον, ὅπερ οὐδ' ἂν οὕτω πάνυ τι σαφῶς ἐκπεφράσθαι δόξειεν. ἀντὶ δὲ τοῦ, Ἐπίχυσις, ἐνδέχεται τὴν ἀρχὴν γεγράφθαι, Ἐπίκλυσις ἣν γραφὴν ὑπονοεῖν παρέχει καὶ τὸ τῆς Β, ἐπίλυσις.

Σελ. 361, στ. 1, Ὁδοποιοῦντος.] Ἡ αὐτὴ καὶ ἐν ταῖς ΑΑ· ἐν δὲ τῇ Β, Ὁδοιτροῦντος, ἀντὶ τοῦ, Ὁδοιποροῦντος, ὅπερ ἐμφέρεται ἐν ταῖς ΚΑ. — Στ. 7, Καὶ αὐτοὺς Συηναίους.] Ἐκ τῶν ΑΑ. Οὕτω προϊὼν (σελ. 368), Αὐτῶν Περσῶν. — Στ. 11, Περιέθεον.] Αἱ ΑΑ, Παρέθεον. — Στ. 13, Ἄχρι δὴ τὸ φῶς κ.τ.λ.] Παρὰ τὴν ὑποσημειωθεῖσαν γραφὴν τοῦ Κ τὴν αὐτὴν οὖσαν τῇ τῆς Β καὶ τῶν λοιπῶν, Ἄχρι δὴ τοῦ ὅτι φῶς (γεννηθεῖσαν ἴσως ἐξ ἑτέρας τῆς, Ἄχρι δὴ τοῦ ὅτε φῶς), ἐν ταῖς ΚΑ ἐμφέρονται ἕτεραι δύο γραφαὶ, Ἄχρι δὴ τὸ ἡμέρας φῶς, καὶ, Ἄχρι δὴ τὸ φῶς. τούτων οὖν προειλόμην τὴν δευτέραν· περιττὸν καὶ γὰρ τὸ Ἡμέρας, οὐ μόνον διὰ τὸ προηγησάμενον, Ἕω, ἀλλ' ὅτι καὶ καθ' αὑτὸ τὸ Φῶς ἔοικε κυρίως ἐπὶ τοῦ τῆς ἡμέρας εἴτουν τοῦ ἡλιακοῦ φωτὸς τὴν ἀρχὴν τετάχθαι, ὡς τὸ Φέγγος ἐπὶ τοῦ τῆς νυκτός. ἐντεῦθεν ὁρμηθεῖσα καὶ ἡ συνήθεια Φεγγάριον κατ' ἐξοχὴν ἐκάλεσε τὴν Σελήνην. ταύτης δὲ τῆς διαφορᾶς μαρτύρια ἔστι παραθέσθαι καὶ ἐκ τῶν Ἀρχαίων· ἀλλὰ πρό γε τούτων οὐκ ἄκαιρον ἴσως τὰ τῶν Γραμματικῶν ἐρευνῆσαι. ὁ μὲν οὖν Ἡσύχιος ταῦτά φησι (λεξ. Φέγγος), « Φῶς ἡμέρας· φέγγος σελήνης »· ὃ δὴ χωρίον οἱ Κριτικοὶ, εἴτε καὶ τυφλῷ δῆλον ὑπολαβόντες, εἴτε καὶ μὴ νοήσαντες, οὐδεμιᾶς ἠξίωσαν σημειώσεως. βούλεται δὲ Ἡσύχιος λέγειν τοῦτο, ὅτι τὸ μὲν Φῶς ἐπὶ τῆς ἡλιακῆς, τὸ δὲ Φέγγος ἐπὶ τῆς σεληνιακῆς αὐγῆς τέθειται· ὁμολογοῦσι δὲ τούτῳ καὶ οἱ σχολιασταὶ τοῦ Ὁμήρου, οἳ, ἐξηγούμενοι τὸ « Φόως ἐρέ- » ουσα (Ἰλιάδ. Β, 49), » φασὶν ὅτι κατ' ἐξοχὴν ὁ ἥλιος φῶς λέγεται. οἴδασι δὲ τὴν διαφορὰν ταύτην οἱ Ἀττικοὶ συγγραφεῖς, εἰ καὶ μὴ πάντες, μήτε πάντῃ. αὐτίκα Πλάτων (Πολιτ. 5, σελ. 508), « Ὅτ' ἂν μηκέτι ἐπ' ἐκεῖνά τις αὐ-

Nν

» τοὺς (ὀφθαλμοὺς) τρέπῃ, ὧν ἂν τὰς χρόας τὸ ἡμερινὸν ΦΩ͂Σ » ἐπέχῃ, ἀλλὰ ὧν νυκτερινὰ ΦΕΓΓΗ, ἀμβλυώττουσί τε » κ. τ. λ. ». ἐντεῦθεν οὖν ἐξηγητέον καὶ τὸν Κωμικὸν, ἐν οἷς περὶ τῆς ἐν Μακάρων νήσοις εὐδαιμονίας τῶν εὐσεβῶν λέγει (Βατρ. 454),

Μόνοις γὰρ ἡμῖν Ἥλιος
Καὶ φέγγος ἱλαρόν ἐστιν,
Ὅσοι μεμυήμεθ' εὐ-
σεβῆ τε διήγομεν
Τρόπον κ. τ. λ.

ἔστι γὰρ ἐνταῦθα τὸ, Ἥλιος καὶ φέγγος, οὐχ ὡς ἄν τις ὑπολάβοι τὸ τοῖς Γραμματικοῖς καλούμενον Ἓν διὰ δυοῖν σχῆμα, ἀντὶ τοῦ, Ἡλίου φέγγος, ἀλλὰ, Ἥλιος καὶ σελήνη, ἢ ὥσπερ ἡ συνήθεια λέγει, Ἥλιος καὶ φεγγάριον. — Στ. 16, Ἤδη γὰρ καὶ οἱ Αἰθίοπες.] Ἐκ τῶν ΑΑ. — Στ. 17, Καταῤῥάκτας.] Οὕτως αἱ ΑΑ, ἄνευ τοῦ προηγουμένου παρὰ τοῖς ἄλλοις, Καί. τὸ δὲ, Καταῤῥάκτας, ἔγραψα διὰ διπλοῦ τοῦ ρ̄, διὰ τὸ συνηθέστερον· παρὰ τὸ, Ῥάσσω. ἔξεστι δὲ καὶ δι' ἑνὸς, Καταράκτας, γράφειν, ὡς οἱ λοιποὶ, παρὰ τὸ, Ἀράσσω. εἰρήκαμεν δ' ἐν τοῖς πρόσθεν (σελ. 48) περὶ τῆς οὕτω καλουμένης ἐπιθετικῶς, Καταῤῥακτῆς θύρας, ἧς οὐδὲν ἴσως διαφέρει ἡ παρὰ τῷ Σοφοκλεῖ (Ἀντιγ. 1186), Ἀνασπαστὸς πύλη. δῆλοι δὲ καὶ οἱ αὐτοφυεῖς τοῦ Νείλου Καταῤῥάκται, ἀρσενικῶς καὶ οὐσιαστικῶς καλούμενοι, ὧν ἐμνήσθη Ἡλιόδωρος ἀνωτέρω (σελ. 95). ἐν δὲ τῷ προκειμένῳ χωρίῳ, ὁ Καταῤῥάκτης ἐκ σανίδων συνηρμοσμένην θύραν, ὁμοίαν τῇ καταῤῥακτῇ λεγομένῃ θύρᾳ, σημαίνει, καθιεμένην ἐπὶ τῷ κωλύειν τὸν πρόσω ῥοῦν τῶν ὑδάτων, καὶ αὖθις ἀνιεμένην, ἐπὶ τῇ τῶν αὐτῶν τούτων ἐκρύσει. ταύτην οἱ Ἰταλοὶ, τὴν λέξιν μικρὸν παρατρέψαντες, *Caterrata* καλοῦσιν, οἱ δὲ Γάλλοι, *Vanne*. Στ. 21, Οἱ δὲ καί.] Προσέλαβον τὸν, Καὶ ἐκ τῶν ΑΑ. — Στ. 22, Ἦν δὲ οὐδ' ὡς ... οὐδετέροις.] Ἐτόνισα τὸ, Ὡς, ἵνα σημαίνῃ τὸ, Οὕτως· τὸ δὲ ἐχόμενον, οὐδὲ ἑκατέροις, ἢ γραπτέον, Ἑκατέροις, μόνον, περιγράψαντας τὴν ἄρνησιν, ἢ τρεπτέον εἰς τὸ, Οὐδετέροις, ὡς διώρθωκα. ἐρεῖ γὰρ καὶ μετ' ὀλίγα (σελ. 362), « Οὔτε φρουρᾶς ἔτι παρ' οὐδετέροις σπου- » δαζομένης ». τῆς δὲ τοιαύτης τοῦ Ἕτερος καὶ Ἑκάτερος

συγχύσεως εὑρήσομεν καὶ ἐν τοῖς ἑξῆς (σελ. 370) ἕτερον παράδειγμα.

Σελ. 362, σί. 1, Ἐξικμάσθαι.] Οὕτως αἱ ΚΑ. — Στ. 5, Ἠνεῳγμέναις.] Ἔκ τε τῶν ΚΑ καὶ ΑΑ. — Στ. 7, Τὸ γενόμενον.] Ἴσως, Τὸ γιγνόμενον. — Στ. 10, Εὐπαθείαις.] Ἡροδότου ἡ λέξις, ὃς αὐτῇ τε ταύτῃ συνεχῶς κέχρηται, καὶ τῷ συστοίχῳ ῥήματι, Εὐπαθέω· αὐτίκα ἐν οἷς τὰ κατὰ τὴν τῆς Βαβυλῶνος ἅλωσιν διηγεῖται (Β, ρϙα΄) « Ἀλλὰ, τυχεῖν » γάρ σφι ἐοῦσαν ὁρτὴν, χορεύειν τε τοῦτον τὸν χρόνον καὶ ἐν » Εὐπαθίῃσι εἶναι ». ἔστι δὲ ἡ Εὐπαθία τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον, Ξεφάντωσις, καὶ τὸ Εὐπαθέω, τὸ Ξεφαντόνω. τοῦτο δὲ δῆλον ὅτι παρὰ τὸ, Ἐκφαντόω, ἄχρηστον μὲν τοῖς Ἀρχαίοις ῥῆμα, οὐχ ὑπεναντίως μέντοι τῇ ἀναλογίᾳ παραγόμενον ἀπὸ τοῦ, Ἔκφαντος, ὅπερ ἐσήμαινεν ἐκείνοις, τὸν λαμπρὸν καὶ περιφανῆ (Ἡσύχ. λέξ. Φαντός). οὐκ ἀπεικότως δ' ἂν καὶ εἰς τὸ σημαίνειν τὸν ἐν τῇ συνηθείᾳ Ξεφαντωτὴν καλούμενον μεταφέροι τις τὴν λέξιν, ἐπεὶ καὶ λαμπροφορεῖν, καὶ λαμπρῶς ἑστιᾶσθαι εἰώθασιν οἱ εὐπαθοῦντες, καὶ φαίνεσθαι δὲ μᾶλλον συνερχομένους εἰς ἓν, καὶ παρ' ἀλλήλους ἰόντας, ἐν ἑορταῖς, ἐν πανηγύρεσιν, ἐν πότοις καὶ κώμοις. σημειούσθω δὲ ἐν παρόδῳ ὅτι κακῶς ὁ Δουκάγγιος ἐπλάσατο λέξεις τὸ Ξεφανδεῖν καὶ Ξεφαντεῖν, ἡ γὰρ συνήθεια τὸ Ξεφαντόνειν μόνον οἶδε, καὶ τούτῳ ἀμεταβάτως χρῆται, οὐκ ἐνεργητικῶς, ὡς ἐκεῖνος ὑπέλαβεν. ἔτι προσσημειούσθω καὶ τοῦτο, ὅτι μακρῷ κυριώτερον, καὶ μᾶλλον οἰκείως τῷ τῶν Ἀρχαίων Εὐπαθῶ, λέγοιμεν ἂν ἐν τῇ συνηθείᾳ Καλοπαθῶ, οὐ μόνον διὰ τὸ ἀντικείμενον Κακοπαθῶ, ὅπερ οὐδεὶς ὅλως ἠγνόηκε τῶν Γραικῶν, ἀλλ' ὅτι καὶ οἱ ὀλίγαις πρὸ ἡμῶν ἑκατονταετηρίσι γεγονότες τῷ Καλοπαθοῦμαι, κατὰ μέσην διάθεσιν, ἐπὶ τοῦ Ξεφαντόνω ἐχρῶντο, ὡς ἐν ἑτέροις δηλώσομεν. — Στ. 14, Ἐμφαίνει.] Ἐκ τῶν ΑΑ· ἐν δὲ ταῖς ΚΑ παρὰ ταύτην τὴν γραφὴν ἐμφέρεται καὶ, Ἐκφαίνει. — Στ. 20, Ἄρδοντα, καὶ . . . ἐπομβρίζοντα.] Ἔκ τε τῶν ΚΑ καὶ ΑΑ. ἀντὶ δὲ τοῦ, Τεταγμένως, ἐν ταῖς ΚΑ, Τεταγμένον. — Στ. 21, Ταύτῃ.] Ἴσως, Ταῦτα, ἢ γοῦν, Ταυτὶ, ὡς καὶ μετ' ὀλίγα (σελ. 363). Στ. 22, Τὴν ὑγρᾶς τε.] Οὕτως ἡ Β, αἱ ΑΑ, καὶ ὁ Μ μετὰ

τοῦ ἄρθρου. — Στ. 24, Τὰ ἄλλα.] Περιέγραψα τὸν σύνδεσμον, διὰ τὴν ἐπαγομένην μετοχὴν, Λέγοντες.

Σελ. 363, σ?. 2, Θατέραν.] Σολοίκως κἀνταῦθα· ἔδει γὰρ, Τὴν ἑτέραν, λέγειν. ἡ δὲ περὶ τῆς ὑγρᾶς οὐσίας ὡς ἀρχῆς τοῦ σύμπαντος δόξα Θαλοῦ ἐγένετο ἐν τοῖς Ἕλλησιν, ὥς φησι Πλούταρχος (Ἀρεσκ. τοῖς Φιλοσόφ. Α, γ΄)· εἰκὸς δὲ αὐτὴν ἐκεῖνον μετενεγκεῖν ἐξ Αἰγύπτου, ὅποι καὶ τοῖς ἱερεῦσιν ὁμιλήσων παρεγεγόνει. καὶ Ἡλιόδωρος μὲν τὴν ἑτέραν τῶν δύο οὐσιῶν ἐμφαίνειν τὸν Νεῖλον ὑπ' Αἰγυπτίων φησὶ πιστεύεσθαι· Φιλόστρατος δ' ἐν Ἀπολλωνίου βίῳ (ϛ, ϛ΄), ἀμφοτέρας τὸν αὐτὸν Νεῖλον εἶναι ὑπολαμβάνειν τοὺς παρ' Αἰθίοψι Γυμνοσοφιστὰς λέγει, « Θεραπεύουσι δὲ Νεῖλον μάλιστα· τὸν γὰρ « ποταμὸν τοῦτον ἡγοῦνται γῆν καὶ ὕδωρ ». — Στ. 4, Ἶσιν τὴν γῆν.] Τοῦτο ἐμφαίνει καὶ Ἡρόδοτος (Α, νθ΄ καὶ ρνϛ΄) λέγων ὅτι Ἶσις κατὰ τὴν Ἑλλήνων γλῶσσαν σημαίνει, Δήμητηρ, ὅ ἐστι, Γῆ μήτηρ. ἕτεροι δὲ τὴν αὐτὴν τῇ Σελήνῃ ὑπέλαβον τὴν Ἶσιν, ἥ φησιν ὁ Σικελιώτης Διόδωρος (Α, ιά). Ὄσιρις δὲ ὁ τῆς Ἴσιδος ἀνὴρ, κατὰ μέν τινας, οἷς κατηκολούθησεν Ἡλιόδωρος, ὁ αὐτός ἐστι τῷ Νείλῳ, κατ' ἄλλους δὲ, τῷ Βάκχῳ· περὶ ὧν διὰ μακρῶν φιλοσοφεῖ Πλούταρχος ἐν τῇ Περὶ Ἴσιδος καὶ Ὀσίριδος βίβλῳ. εἰκότα δὲ μᾶλλον λέγειν δοκοῦσιν, οἱ τὸν αὐτὸν τῷ Ἡλίῳ ὑπολαβόντες· ἐπεὶ καὶ αὐτὸ τοὔνομα Ὄσιρις Αἰγυπτίᾳ γλώττῃ Πολυόφθαλμος ἑρμηνεύεται (Πλούταρχ. αὐτόθ. καὶ Διόδ. Σικελ. Α, ιά). — Στ. 6, Ἀπόντα. Ἐν τῇ Β γράφεται, Ἅπαντα, ὅπερ ἐξέφρασεν ὁ Λ ὥσπερ συνώνυμον τοῦ, Ὅλον, πρὸς τὸν Ὄσιριν συνάψας. ἐν δὲ ταῖς ΚΑ, Ἀπαντῶσα, (συναπτόμενον τῷ, Ἡ θεὸς) ὅπερ ἐγκρίνει ὁ Μ, καίπερ μὴ καταχωρίσας ἐν τῷ κειμένῳ. τὸ, Ἀπόντα, ὡς ἰδίαν διόρθωσιν προβάλλει ὁ Κ· οὕτω μέντοι διωρθωκὼς πρὸ αὐτοῦ κατάδηλός ἐστιν ὁ Α, ἐπεὶ ἐξέφρασε, *Regrette Osiris, quand il est absent.* — Στ. 8, Τὸν Τυφῶνα ἐχθραίνει.] Ἐχθραίνει, παρὰ τὸ Ἐχθρός· ἣν παραγωγὴν προείλετο καὶ ἡ συνήθεια, Ἐχθρεύομαι, κατὰ μέσην διάθεσιν λέγουσα. οἱ μέντοι Ἀττικοὶ καὶ οἱ τὰ τῶν Ἀττικῶν ζηλοῦντες, Ἐχθαίρω, παρὰ τὸ ἔχθος λέγουσι· καὶ οὐκ ἀπεικὸς οὕτω γεγραφέναι τὸν Ἡλιόδωρον· καὶ γὰρ καὶ παρὰ Πλουτάρχῳ (Νουμ.

§ 5) καὶ Αἰλιανῷ (Ζώων Ἰσ. Ε, β΄) καὶ ἄλλοις τὸ Ἐχθραίνω καὶ τὸ Ἐχθαίρω συνέχεαν οἱ Ἀντιγραφεῖς, ὑπὸ τῆς κοινῆς ὡς ἔοικε συνηθείας παραχθέντες. ὁ δὲ Τυφὼν ἀδελφὸς ἦν Ὀσίριδος, ὃν καὶ τῆς βασιλείας καὶ τοῦ βίου ἀπεστέρησε. Τοῦτον ἔπειτα, τιμωροῦσα τῷ ἀνδρὶ ἡ Ἶσις, μετὰ τοῦ υἱοῦ Ὥρου, ὡς μέν τινες βούλονται, τῆς τυραννίδος ἐξέωσεν, ὡς δ' ἕτεροι, καὶ ἀπέκτεινε. — Στ. 11, Ὑπονοίας.] Ἔτρεψα τὸ κακῶς εἰσερρῆσαν εἰς τὸ χωρίον Ἐπινοίας εἰς τὸ Ὑπονοίας, ὅ ἐστιν Ἀλληγορίας. ταύτην δὲ τὴν Ἀλληγορίαν ἐξηγεῖται Πλούταρχος (περὶ Ἴσιδ. καὶ Ὀσίρ. § 39), « Ἡ δὲ Τυφῶνος ἐπιβουλὴ » καὶ τυραννὶς, αὐχμοῦ δύναμις ἦν ἐπικρατήσαντος, καὶ δια» φορήσαντος τήν τε γεννῶσαν ὑγρότητα τὸν Νεῖλον καὶ αὔξου» σαν. ἡ δὲ συνεργὸς αὐτοῦ βασιλὶς Αἰθιόπων αἰνίττεται » πνοὰς νοτίους ἐξ Αἰθιοπίας κ. τ. λ. ». καὶ εἰκὸς τοὺς τὸν Ὄσιριν τὸν Νεῖλον εἶναι ὑπονοήσαντας, καὶ τοὺς αὐχμηροὺς τῆς Λιβύης ἀνέμους, τοὺς ἀνθρώποις καὶ κτήνεσι πολλάκις ὀλεθριωτάτους, διὰ τοῦ Τυφῶνος αἰνίξασθαι, ὃν καὶ αὐτὸν Ἡσίοδος (Θεογ. 306),

Δεινόν θ' ὑβριστήν τ' ἄνεμον. . . . . . . . .

ἐκάλεσεν. ὁ γὰρ παρ' Ἕλλησι Τυφὼς, Τυφὼν, ἢ Τυφωεὺς, εἷς τῶν τοῖς θεοῖς πολεμησάντων γιγάντων γεγονέναι μυθολογούμενος, ἐξ Αἰγυπτίων εἰς Ἕλληνας μετενηνέχθαι δοκεῖ· οὗτοι δὲ πάλιν ἐπλάσαντο, διωκόμενον ὑπὸ τοῦ Διὸς, εἰς Αἴγυπτον παραγενέσθαι, κἀκεῖ βυθισθέντα κεῖσθαι ἐν τῇ Σερβωνίτιδι λίμνῃ (Ἀπολλων. Ἀργοναυτ. Β, 1219). Στ. 15, Τοῦτό τοι.] Οὕτω διώρθωκα· ἡ δ' αἰτία δήλη ἐξ ὧν ἔφθην εἰρηκὼς ἐν τοῖς πρόσθεν (σελ. 47). — Στ. 17, Τῶν κατὰ Συήνην.] Ἔτρεψα τὸ, Τὸ, εἰς τὸ, Τῶν, παθητικῶς ἐκδεχόμενος τὸ, Περαινομένων κατὰ γενικὴν τὴν καλουμένην Ἀπόλυτον, ἵν' ᾖ ὁ νοῦς, Τῶν κατὰ Συήνην συμβάντων εἰς πέρας τῇ διηγήσει διαβιβαζομένων, ὃν ἐξέφρασε καὶ ὁ Λ. εἰ δέ τις ἕλοιτο τὸ, Περαινομένων, κατὰ μέσην διάθεσιν ἐκλαμβάνειν, ἵνα ᾖ Ἡμῶν περαινομένων, τουτέστι, Διηγουμένων (καίπερ οὐ πάνυ τι καταλλήλως ἐχούσης ἐνταῦθα τῆς γενικῆς πρὸς τὸ προηγησάμενον, Ἡμῖν), ἀναγινωσκέτω τηνικαῦτα πληθυντικῶς, Τὰ κατὰ Συήνην. — Στ. 20, Τοῖς μὲν

σώμασι, τοῖς περιεστηκόσι κ. τ. λ.] Ἔτρεψα τὸ, Καὶ, εἰς τὸ, Τοῖς, μεταβαλὼν ἅμα καὶ τὴν σίξιν, ἵνα ᾖ ὁ νοῦς, Τοῖς μὲν σώμασι κάμνοντες διὰ τὰ περιεστηκότα δεινὰ, ὡς ἄρισία ἐξέφρασεν ὁ Α, *Et combien que leurs corps fussent lassez et recreuz de travail, pour les maux qui les environnoient etc.* ὁ Μ διορθοῦν ἐπεβάλετο οὕτως, Καὶ μὲν σώμασι, τοῖς περιεστηκόσι· ὅπερ οὐδ' Ἑλληνικὸν ὅλως ἐσὶ τῇ τάξει.

Σελ. 364, σ͂ι. 15, Λαβόμενος τῆς ἐστερεωμένης.] Τὸ, Λαβόμενος ἐκ τῶν ΚΑ καὶ ΑΑ. σημειωτέον τὸ, Ἐστερεωμένης, ἀντὶ τῆς ἄλλως λεγομένης Ξηρᾶς, πρὸς ἀντιδιαστολὴν τῆς Θαλάσσης, ἢ γοῦν τῆς ὁπωσοῦν ὕδατι κρυπτομένης γῆς. ἐντεῦθεν ἡ συνήθεια παραλαβοῦσα χρῆται τῷ, Στερεὰ, καθὰ καὶ τῷ Ξηρὰ, ἐπὶ τῆς γῆς. οἱ δὲ χυδαιέστεροι καὶ, Στεριὰ, λέγουσιν, οὐ μόνον ἐν τούτῳ, ἀλλὰ καὶ ἐν ἅπασιν ὡς εἰπεῖν τοῖς διὰ τοῦ εα θηλυκοῖς καινοτομήσασα τὴν γραφὴν, οἷον Μηλιὰ, Συκιὰ, ἀντὶ τοῦ Μηλέα, Συκέα, κ. τ. λ.

Σελ. 365, σ͂ι. 10, Ἐγχειρίζειν.] Ἐκ τῶν ΚΑ. ἴσως δὲ καὶ μετὰ τοῦ συνδέσμου γραπτέον, Ἐγχειρίζειν τε, ὃ δὴ καὶ ὑπονοεῖν πως παρέχει ἡ τελευταία τοῦ Ἐγχειρίζεσθαι. — Στ. 18, Ἐλεεινὴν ὀλολυγήν.] Σημείωσαι τὸ, Ὀλολυγὴν ἐπὶ θρήνου, καὶ ἔπιθι τὰ περὶ τούτου εἰρημένα μοι ἐν τοῖς πρόσθεν (σελ. 121). — Στ. 22, Τὸ θυμούμενον.] Ἤγουν τὸν θυμόν· μετοχὴν ἀντὶ ὀνόματος, ὡς καὶ Εὐριπίδης (Ἑκαβ. 299),

.......... Μηδὲ τῷ θυμουμένῳ
Τὸν εὖ λέγοντα δυσμενῆ ποιοῦ φρενί.

εἰρήκαμεν δὲ περὶ τοῦ σχήματος τούτου καὶ ἐν τοῖς πρόσθεν (σελ. 141). — Στ. 24, Φύντας.] Πάλιν, Φύντας, ἀντὶ τοῦ, Φύσαντας, περὶ οὗ εἰρήκαμεν ἀνωτέρω (σελ. 72).

Σελ. 366, σ͂ι. 2, Κλαυθμυριζόμενα ἐπαγωγόν.] Οὕτως ἡ Β καὶ αἱ ΑΑ συνθέτως, Ἐπαγωγὸν, τουτέστι κινητικῶς εἰς οἶκτον, ἐλεεινῶς. πρώτου τοῦ Κ διορθώσαντος, ἢ μᾶλλον εἰπεῖν παραδιορθώσαντος, τὴν λέξιν τῇ διαιρέσει, Ἐπ' ἀγωγὸν, μηδ' ὅ, τι διὰ τοῦ, Ἐπ' ἀγωγὸν, ἐνενόει, εἰπεῖν ἀξιώσαντος, πάντες οἱ μετ' αὐτὸν, ὡς ἀπὸ τρίποδος παρέλαβον τὴν γραφήν. καὶ τοῦτο μὲν οὐδεμιᾶς δεῖσθαι διορθώσεως

ἀναμφήριστόν ἐστι· οὐχ ὡσαύτως δὲ καὶ τὸ χωρίον δι' ὅλου ἐῤῥῶσθαι, καίπερ τοῦ νοῦ προδήλου τυγχάνοντος, ἔοικεν· ὁ μὲν γὰρ νοῦς ἐστι, Τὰ δὲ ψελλιζόμενα καὶ κλαυθμυριζόμενα ἐπαγωγὸν, ἔφερε τὴν βάσιν ἐπὶ τὴν ἄγουσαν ὡς τοὺς πολεμίους. Ἡλιόδωρος δὲ, ἢ αὐτὸς γράψας, ἢ τῆς τῶν ἀντιγραφέων ἀμαθίας παραπολαύσας, πρῶτον μὲν τὰς λέξεις, Τὴν βάσιν, ὑπερβιβάσας τοῦ, Κλαυθμυριζόμενα, συνέχεε τοῦ λόγου τὴν σύνταξιν· ἔπειτα καὶ τὸ, Ἐφέρετο κατὰ μέσην διάθεσιν, δίχα μὲν τοῦ, Βάσιν, καλῶς ἂν ἔλεγε, κατὰ τὸ (Εὐριπίδ. Ἡρ. μαινομ. 1246),

. . . . . . . . . . .Ποῖ φέρῃ μαινόμενος;

μετὰ δὲ τούτου, ἕτερόν τι λέγει τοῦ δηλουμένου ὑπὸ τοῦ ἐνεργητικοῦ, Ἔφερε τὴν βάσιν, ᾧ κέχρηται Εὐριπίδης (Τρωάσ. 332),

. . . . . . . . . . . . . .Ποδῶν
Φέρουσα φιλτάταν βάσιν.

πλὴν εἰ μή τις ὑπονοοίη τὸ, Βάσιν, εἰς τὸ, Βάξιν μεταποιητέον εἶναι· τηνικαῦτα γὰρ καὶ τὸ, Ἐφέρετο καλῶς ἕξει, καὶ τὸ, Ψελλιζόμενα τὴν βάξιν, οὐδὲν ἄλλο ἔσται, ἢ, Ψελλιζόμενα τὴν φωνὴν, εἰς τὸ ποιητικώτερον παρακεκινδυνευμένης τῆς λέξεως, κατὰ μίμησιν καὶ τοῦτο τῆς Εὐριπίδου κομψείας, παρ' ᾧ τὸ Βάξις ἐπὶ τῆς φωνῆς τέθειται (Μηδ. 1374),

. . . .Πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν.

Στ. 12, Ἀφυπνωμένους.] Οὕτως αἱ ΚΑ· ἔοικε δὲ ἡ λέξις τοῦ παρακμάσαντος Ἑλληνισμοῦ. εἶχε δὲ λέγειν καὶ Ἀφυπνώσαντας, ἀμεταβάτως, οἷόν ἐστι καὶ τὸ παρὰ τῷ Λουκᾷ (Η, κγ΄), « Πλεόντων δὲ αὐτῶν ἀφύπνωσε ». — Στ. 13, Ἰδόντων.] Αἱ ΚΑ καὶ ΑΑ, Εἰδότων, ὅπερ ἄμεινον ἴσως. — Στ. 14, Ἐνόπλους.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ διῃρημένως, Ἐν ὅπλοις. — Στ. 19, Πρὸς τὸ μᾶλλον καταιδέσαι] Ἐκ τῶν ΚΑ ἡ γραφή.

Σελ. 367, σ. 4, Εἰς τὴν πόλιν.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ· τὸ γὰρ, Ὡς, προθετικῶς ἐκλαμβανόμενον, προσώποις, οὐ πράγμασι, συντάσσεται· οὐδ' ὥς φαμεν, Ὡς τὸν βασιλέα, οὕτως οἷόν τε καὶ, Ὡς τὴν πόλιν, φάναι· ὃ δὴ καὶ πρὸ ἡμῶν ἐσημειώσατο Κοῖνος (εἰς τὸ τοῦ Κορίνθ. περὶ διαλέκτ. σελ.

33). — Στ. 6, Αὐτός.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 16, Ὁ γὰρ Ὀροονδάτης.] Προσέθηκα τό, τε ἄρθρον καὶ τὸν σύνδεσμον ἐκ τῶν ΚΑ καὶ ΔΑ576, ᾗ γραφῇ κατηκολούθησε καὶ ὁ Μ. — Στ. 17, Στρατιάν.] Μυριάκις οἱ Ἀντιγραφεῖς συνέχεαν τὸ Στρατιὰ μετὰ τοῦ Στρατεία, παρά τε τῷ Ἡλιοδώρῳ καὶ παρὰ πλείσταις ἄλλοις. διωρθωσάμην οὖν ἐνταῦθα τε καὶ ἐν τοῖς ἑξῆς τὴν γραφήν. Στρατιὰ μὲν γάρ ἐστιν αὐτὸς ὁ στρατὸς, ἤγουν τὸ πλῆθος τῶν στρατιωτῶν· Στρατεία δὲ, παροξυτόνως καὶ διὰ διφθόγγου (παρὰ τὸ, Στρατεύω), ἡ τοῦ στρατοῦ πορεία καὶ εἰς τὸν τόπον τῆς μάχης προέλευσις. εἰ δὲ Ἀμμώνιος λέγει, ὅτι ἐναλλάσει πολλάκις ἐν τῇ χρήσει ταῦτα, καὶ Φώτιος ἐν τῷ οὔπω ἐκδοθέντι λεξικῷ, ὅτι καὶ Στρατιὰν, τὴν Στράτευσιν αὐτὴν λέγουσι, τοῖς ποιηταῖς ἐφεῖσθαι τοῦτο ἔστιν ὅτε, διὰ τὴν ἀνάγκην τοῦ μέτρου, ὑποληπτέον. Τὴν Στρατείαν, ἤγουν τὴν Στράτευσιν, οἱ Βυζαντινοὶ συγγραφεῖς ἰδίως Ταξείδιον ἔλεγον, καθὰ καὶ τὸ Ἐκστρατεύειν, εἴτουν εἰς πόλεμον ἰέναι, Ταξειδεύειν, (παρὰ τὸ τῶν Ἀρχαίων, Τάξις, ἐξ οὗ καὶ ὁ Ταξίαρχος καὶ τὸ Λειποτάξιον κ.τ.λ.). ἃ παραλαβοῦσα ἡ νῦν ἐπικρατοῦσα συνήθεια, οὐκέτι τῆς Ἑλλάδος ἐχούσης τοὺς ὑπερμαχουμένους τῆς ἰδίας ἐλευθερίας, ἐπὶ πάσης ἁπλῶς πορείας τε καὶ ἐκδημίας, καὶ ἰδιαίτερον ἐπὶ τῆς θαλασσοπορίας τέθεικε. — Στ. 19, Κατώπτευεν.] Ἄμεινον ἂν εἶπε Κατώπλευσεν· καὶ ἴσως τοιαύτη ἦν ἡ ἀρχαία Γραφή. Στ. 21, Σωτηρίαν τε αἰτήσας.] Αἱ ΑΑ, Σωτηρίαν τε καὶ αἰτήσας. — Στ. 24, Παρασκευάσας.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ.

Σελ, 368, στ. 6. Ηὐτρεπισμένους.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. Στ. 10, Παραταττόμενος.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. — Στ. 12, Τοῖς ὅπλοις τὸ πεδίον καταστράπτων.] Παρῴδηται ἐξ Εὐριπίδου· καὶ παρ' ἐκείνῳ γὰρ ἡ Ἀντιγόνη τοῦ ἀδελφοῦ Πολυνείκους τὸ στράτευμα ἀπὸ τῶν τειχῶν θεωροῦσα περιπαθῶς ἀναβοᾷ (Φοινίσσ. 109),

Ἰὼ πότνια παῖ Λατοῦς<br>
Ἑκάτα, κατάχαλκον ἅπαν<br>
Πεδίον ἀστράπτει.

καὶ σημείωσαι ὅτι Εὐριπίδης ἀμεταβάτως ἐχρήσατο τὸ, Ἀστράπτει, ἀπαραλλάκτως ὡς καὶ ἐν τῇ συνηθείᾳ φαμὲν, καὶ τὴν

μεταφορὰν

μεταφορὰν καὶ τὸ ἀμετάβατον φυλάξαντες τοῦ ῥήματος, πολλάκις δὲ καὶ, ἀφαιρέσει τοῦ ἀρχικοῦ α, Στράπτει λέγοντες, κατὰ τὸ παρὰ τῷ Σοφοκλεῖ (Οἰδ. Τύρ. 1515) Στράψαντα· Ἡλιόδωρος δὲ ἐνεργητικὸν ἐποίησε τὸ, Καταστράπτων, καθὰ καὶ παρ' ἄλλοις τῶν κατ' αὐτὸν ἀκμασάντων εὕρηται συγγραφέων. — Στ. 16, Τῆς πανοπλίας κ. τ. λ.] Ἐξήλειψα τὶν, Καὶ, ὃς οὔτ' ἐν ταῖς ΚΑ, οὔτ' ἐν ταῖς ΑΑ ἐμφέρεται. τὸ δὲ τῆς πανοπλίας ἀνταυγάζον, ἐκ τῆς Ὁμηρικῆς (Ἰλιάδ. Β, 455-458) τοῦ Ἑλληνικοῦ ὁπλισμοῦ διατυπώσεως εἴληπται. — Στ. 17, Τὸ μὲν οὖν δεξιὸν κέρας . . . μόνους ἑαυτοῦ προέταττεν.] Ἅπασα ἡ διάταξις αὕτη τῇ ἱστορίᾳ κατάλληλος· τὸ μέσον γὰρ τῆς στρατιᾶς κατέχειν εἰώθεσαν οἱ τῶν Περσῶν εἴτε βασιλεῖς, εἴτε ἄλλως τὴν ὅλην ἡγεμονίαν τοῦ στρατοῦ ἀναδεδεγμένοι· καὶ ἔοικέ πως μετενηνέχθαι ἐνταῦθα ἐκ τῶν εἰρημένων Διοδώρῳ τῷ Σικελιώτῃ (ΙΔ κβ') περὶ τῆς τοῦ Κύρου κατὰ τοῦ ἀδελφοῦ Ἀρταξέρξου στρατείας. Πλούταρχος δὲ (Συμποσ. Α, γ') καὶ ἑστιωμένους τοὺς Περσῶν βασιλεῖς ἐπὶ τοῦ μέσου κατακλίνεσθαι παραδέδωκε, ὡς τοῦτον ἔντιμον τῶν Περσῶν ἡγουμένων τὸν τόπον. — Στ. 20, Κατόπιν.] Αἱ ΚΑ καὶ ΑΑ, Κατὰ πόδας. τοσοῦτον δ' ἀπέχει τὸ, Κατὰ πόδας, ἐνταῦθα ἐπεξήγησις εἶναι τοῦ, Κατόπιν, ὡς ᾠήθη ὁ Μ, ὥστ' ἄδηλον ὅλως εἶναι, ὁπότερον εἴη τῆς Ἡλιοδώρου χειρός· οὐδὲν γὰρ μᾶλλον τῇ τῶν ἀρίστων συγγραφέων χρήσει κατάλληλον τὸ, Κατόπιν ἕπεσθαι, τοῦ, Κατὰ πόδας ἕπεσθαι. ἀμφότερα ἔσωσεν ἡ συνήθεια, τὸ μὲν ἀπαραλλάκτως, τὸ, Κατόπιν, τὸ δὲ, Καταπόδι, λέγουσα.

Σελ. 369, στ. 1, Ὁρμωμένους.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 3, Λαμπρῶς.] Αἱ ΚΑ καὶ ΑΑ, Λαμπροῦ· καὶ ἴσως ἄμεινον. — Στ. 5, Μόνους.] Ἐκ τῶν ΚΑ· ἐν αἷς καὶ Μόνος, ὡς καὶ ἐν ταῖς ΑΑ. — Στ. 7, Καὶ γὰρ οὖν ἔστιν ἤδε.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Ἔστιν οὖν ἤδε, ἀνεστραμμένως καὶ δίχα τῶν συνδέσμων. τούτων ἀπηλείψαμεν τὸν ἕτερον τῇ ἀρχαίᾳ πεισθέντες χρήσει, οἷόν ἐστι τὸ παρὰ τῷ Πλάτωνι (Πολιτ. ς, 495), « Καὶ γὰρ οὖν ἔφη, τά γε λεγόμενα ταῦτα »· ᾧ κατηκολούθησε καὶ Λουκιανὸς (Δημοσθ. Ἐγκωμ. § 44), « Καὶ γὰρ οὖν » ὑπογραφέας παρεστησάμην ». ἴσως μέν τοι ἐὰν ἦν ἄμεινον

Ξ ξ

κατὰ χώραν ἀμφοτέρους τοὺς συνδέσμους· καὶ γὰρ καὶ Πλούταρχος (Ἰουλ. Καίσ. ξϛʹ) οὕτως ἐξήνεγκεν εἰπὼν, « Καὶ » γὰρ οὖν καὶ λέγεται Κάσσιος . . . ἐπικαλεῖσθαι σιωπῇ » κ. τ. λ. ». — Στ. 10, Τρόπος δὲ αὐτοῖς κ. τ. λ. ] Ἅπασα μέχρι τέλους ἡ τῆς τῶν καταφράκτων ὁπλίσεως ἔκφρασις ἀκριβὴς καὶ ἀπέριττος, καὶ τῆς Ἡλιοδώρου διανοίας ἀξία. τούτους δὲ τοὺς καταφράκτους, οἱ Βυζαντινοὶ Συγγραφεῖς τε καὶ Τακτικοὶ Κλιβαναρίους, καὶ Κλιβανοφόρους, καὶ πρὸ αὐτῶν οἱ τῆς παλαιᾶς Ῥώμης *Clibanarios* ἐκάλουν, παρὰ τὸ Κλίβανος (*Clibanus*), ὃ Περσικὸν εἶναι βούλονται ὄνομα, δηλοῦν τὸν ὁλοσίδηρον θώρακα· παρὰ γὰρ Περσῶν πρώτων ἔλαβον οἱ Ῥωμαῖοι τοὺς Καταφράκτους. — Στ. 13, Σοφιζόμενον. ] Πρὸς τὸ, Κράνος· αἱ δὲ ΚΑ καὶ ΑΑ, Σεσοφισμένου, ἐξ ἀμείνονος, ὡς ἔοικε, γραφῆς τῆς, Σεσοφισμένον. — Στ. 17, Κοπίδα. ] Παρὰ τὸ θηλυκὸν Κοπὶς, τὸ σημαῖνον τὴν μάχαιραν (ἀπὸ τοῦ, Κόπτω), οὗ τὸ ὑποκοριστικὸν Κοπίδιον σώζει ἡ συνήθεια ἐπὶ τοῦ σκυτοτομικοῦ μαχαιρίου. λέγεται δὲ καὶ ἀρσενικῶς καὶ βαρυτόνως Κόπις, ὁ μετὰ στωμυλίας καὶ ψευδολογίας λάλος· ὅθεν καὶ Κοπίζειν τὸ Ψεύδεσθαι παρ᾽ Ἡσυχίῳ, καὶ Δημοκόπος, ὁ πανούργως τὸν δῆμον ὑποποιούμενος, ὁ πάντα πράττων καὶ λέγων πρὸς χάριν αὐτῷ, οἷος ἦν Ὀδυσσεὺς, καθὰ φησιν Εὐριπίδης (Ἑκάβ. 133),

. . . . . . . . . . . . . . . Ποικιλόφρων
Κόπις, ἡδυλόγος, δημοχαριστής.

ἡ δὲ μεταφορὰ ἀπὸ τῆς κοπίδος, ἤγουν τῆς μαχαίρας· ὀξεῖς γὰρ οἱ τοιοῦτοι καὶ τὴν γλῶτταν καὶ τὴν διάνοιαν, ὃ δὴ κομψῶς πάνυ καὶ ἡ συνήθεια δεδήλωκεν, ἐπὶ μὲν τοῦ ὀξέος τὴν γλῶτταν καὶ λάλου, « Κόπτει ἡ γλῶσσά του », ἐνίοτε δὲ καὶ μετὰ προσθήκης « Κόπτει ἡ γλῶσσά του ὡσὰν σπαθίον », ἐπὶ δὲ τοῦ ὀξέος τὴν διάνοιαν, « Κόπτει ὁ νοῦς του » λέγουσα. Στ. 20, Σκυτάλας. ] Πέταλα, λεπίδας, τὰς ἐν τῇ συνηθείᾳ λεγομένας, Λάμας παρὰ τὸ *Lamina* καὶ κατὰ συγκοπὴν *Lamna*, ὃ καὶ αὐτὸ ἡ τῶν Λατίνων φωνὴ ἀπὸ τοῦ Ἑλληνικοῦ Ἔλασμα ἢ Ἔλαμα παρείληφεν· ἔστι καὶ γὰρ ἡ Λάμα εἰς πλάτος ἐληλαμένος σίδηρος, χαλκὸς, ἄργυρος ἢ ἄλλο τι μέταλλον. ὅθεν

καὶ τὸ πλάτυσμα τῆς μαχαίρας ἡ συνήθεια, Λάμαν, καὶ Ἑλληνικώτερον Λεμπίδα, παρὰ τὸ Λεπὶς, λέγει, παρενθεῖσα τὸ μ (ὡς καὶ ἐν τῷ Ῥούμπαλον, ἀπὸ τοῦ, Ῥόπαλον). εὕρηται δὲ μάλιστα ἡ Λεπὶς ἐπὶ ταύτης τῆς σημασίας παρὰ Φίλωνι τῷ Μηχανικῷ· καὶ ἐν τοῖς ἀρχαίοις δὲ Ἑλληνορωμαϊκοῖς λεξικοῖς, *Lamna* ἐξηγεῖται διὰ τοῦ Λεπίς. ἀλλὰ περὶ τούτων ἐν ἄλλοις πλατύτερον, ἐν οἷς καὶ περὶ τῆς Σκυτάλης. Στ. 21, Ὅσον σπιθαμαίας.] Σπιθαμαῖος, παρὰ τὸ, Σπιθαμὴ, ὡς Πυγμαῖος παρὰ τὸ, Πυγμή. ἐν ταῖς ΚΑ διπλουμένης τῆς πρώτης, καὶ πεντασυλλαβιζομένης τῆς δευτέρας λέξεως, Ὅσον ὅσον σπιθαμιαίας. ἀντὶ δὲ τοῦ ἑχομένου, Πάντοθεν, αἱ ΚΑ, Πανταχόθεν — Στ. 23, Ἐφαρμόσαντες.] Ἀνθυπέβαλον τῷ ἐνεστῶτι τὸν ἀόριστον, διὰ τὸ προηγησάμενον, Ἐλάσαντες. δηλοῖ δὲ καὶ ἡ ἡμαρτημένη γραφὴ τῶν ΚΑ καὶ ΑΑ, Ἐφορμόσαντες. — Στ. 25, Κατὰ τὸ συνεχές.] Ἀπήλειψα τὸ ἀμέσως τούτων προηγούμενον, Ἀεί, οὐδὲ ἐν ταῖς ΑΑ ἐμφερόμενον.

Σελ. 370, σ. 2, Φολιδωτόν.] Παρὰ τὸ Φολὶς, ὅπερ τούτῳ μόνῳ διαφέρει τοῦ Λεπὶς, ὅτι ἐπὶ ὄφεων λέγεται, τοῦ Λεπὶς ἰδίως ἐπὶ τῶν ἰχθύων τεταγμένου. εἰσὶ γὰρ ὀστώδη διαφανῆ πλακία ἀλλήλοις ἐπιβαίνοντα κατὰ τὸ συνεχὲς, καὶ τὸ σῶμα τινῶν ἰχθύων ἢ ὄφεων ἐπικαλύπτοντα. εἴη οὖν ἂν ὁ Φολιδωτὸς ὁ αὐτὸς καὶ Λεπιδωτός· ἐξενίκησε μέντοι τὸ Φολιδωτὸς λέγεσθαι (Πλουτάρχ. Λουκουλλ. § 28). τοῖς δὲ Ῥωμαίοις, οὐ μόνον *Squamata* (ὅ ἐστι Φολιδωτὸς ἢ Λεπιδωτὸς) ἀλλὰ καὶ *Scutulata*, τουτέστι Σκυταλωτὸς, ὁ τοιοῦτος ἐκλήθη θώραξ, διὰ τὸ Σκυτάλας καλεῖσθαι, ὡς εἴρηκε μικρῷ πρόσθεν (σελ. 369) Ἡλιόδωρος, τὰ ἐξ ὧν σύγκειται χαλκοῦ ἢ σιδήρου ἐλάσματα. παρ' Ἰουστίνῳ δὲ (ΜΑ, β') καὶ *Lorica plumata*, εὕρηται, ὡς μέν τις ἂν εἴποι τῶν ἀρχαίων, Πτερωτὸς, ὡς δὲ ἡ συνήθεια, λατινίζουσα κατὰ τοῦτο, λέγει, Πλουμιστὸς, ἢ Πλουμισμένος, οὐχ ἕτερος ὢν τοῦ Φολιδωτοῦ, ἐπεὶ καὶ ὡμοίωταί πως τῇ τε διαθέσει καὶ τῇ χρείᾳ τὰ πτερὰ ταῖς φολίσιν ἢ λεπίσιν. σημειωτέον δὲ ἐν παρέργῳ ὅτι καὶ νομίσματος εἶδος τὸ παρ' ἡμῖν μὲν θηλυκῶς, ἡ Φόλα, ας, τοῖς δὲ Βυζαντινοῖς συγγραφεῦσιν, ὁ Φόλις, εως, καλούμενον,

παρὰ τὴν Φολίδα ἔοικεν ἐσχηματίσθαι. ἔλασμα γάρ ἐστι καὶ ἡ Φόλα ἢ πέταλον χαλκοῦ ἢ ἀργύρου (ἦσαν γὰρ τὸ πάλαι καὶ ἀργυροῖ Φόλεις) παραπλήσιον ταῖς τῶν ἰχθύων λεπίσιν ἃς λοπίδας ἐκάλουν οἱ Ἀττικοί. δηλοῖ δὲ σαφῶς τὴν ὁμοιότητα καὶ ὁ παρὰ τῷ Κωμικῷ (Σφ. 790) Φιλοκλέων, ὃς τρεῖς λεπίδας κεστρέως καταπιεῖν φησὶ, τὸ δικαστικὸν εἶναι δόξας τριώβολον,

> Κἄπειτ' ἐπέθηκε τρεῖς λοπίδας κεστρέων·
> Κἀγὼ 'νέκαψ'· ὀβολοὺς γὰρ ᾤόμην λαβεῖν.

καὶ ἄξιον ἀπορῆσαι πῶς Εὐστάθιος προσεπέλασε μὲν τῇ τοῦ ὀνόματος ἐτυμολογίᾳ, οὐ προσέσχε δέ· καὶ γὰρ ἐξηγούμενος τὸ τοῦ Ὁμήρου « Ἀμφ' ὀβελοῖσιν ἔπειραν (Ἰλιάδ. Α, » 465), καὶ τὸν Ὀβολὸν παρὰ τὸν Ὀβελὸν ὀρθῶς ἐτυμολογῶν, ταῦτα προστίθησιν, « Ὀβολὸν δὲ σιδήρου τι ἘΛΑΣΜΑ » ἔλεγον, σχῆμα μέν πως ἔχον ὀβελοῦ, οὐ μὴν καὶ εἰς πάντη » ὀξὺ λῆγον. οὕτω δὲ ἁδρὸν ἦν τῇ παχύτητι ἐκεῖνο τὸ ἔλασ- » μα τοῦ ὀβολοῦ, ὥστε ὀβολοὶ ἓξ τὴν δράκα ἐπλήρουν, καὶ » τοῦτο ἐλέγετο δραχμὴ ὀβολῶν τοιούτων ἑξὰς, ὅσων ἐπιδε- » δράχθαι δύναται χείρ. οἱ δὲ τοιοῦτοι ὡς εἰκὸς ὀβολοὶ, χρό- » νῳ τοῦ ὕψους ὑποσπώμενοι, καὶ κατὰ μικρὸν ὑποκαταβαί- » νοντες, τοὺς ὕστερον ταπεινοὺς καὶ ΠΕΤΗΛΩΔΕΙΣ (γρ. » ΠΕΤΑΛΩΔΕΙΣ), καὶ ὡς ἄν τις ἐρεῖ ἐπιπέδους ἐποίησαν » ὀβολοὺς τοὺς λεγομένους ΦΟΛΛΕΙΣ (γρ. ΦΟΛΕΙΣ) ». καὶ ταῦτα μὲν ὁ Εὐστάθιος, δόξας ἴσως καὶ τὸν Φόλιν παρ' αὐτὸν τὸν Ὀβολὸν παρῆχθαι· ἡμεῖς δ' ἐπὶ τὰ ἑξῆς τὸν λόγον μεταβιβάσωμεν. — Στ. 15, Σφηκοῦντες.] Περισφίγκαντες Περιδέοντες, παρὰ τὴν Σφῆκα, ἧς τὸ σῶμα συνέσφιγκται καὶ συνιζάνει πως κατὰ τὸ μέσον. ἐντεῦθεν καὶ Σφηκώδεις οἱ ἰσχνοὶ, οὓς ὁ Κωμικὸς (Πλούτ. 561) ἀντιδιέσταλκε πρὸς τοὺς Γαστρώδεις. λέγονται δὲ καὶ Σφηκοὶ, καθ' Ἡσύχιον, οἱ οὐ κεχυμένοι τῇ σαρκώσει, ἀλλὰ συνεσφιγμένοι· ὅθεν ἴσως διορθωτέον τὸ παρὰ τῷ αὐτῷ Ἡσυχίῳ γραφόμενον ἡμαρτημένως, « Σφη- » κῶν· ΠΟΙΚΙΛΩΝ » μεταρρυθμίζοντας εἰς τὸ, Σφηκῶν· ΟΥ ΠΡΟΚΟΙΛΙΩΝ· καὶ γὰρ οὖν οἱ προκοίλιοι, οἱ καὶ προγάστορες καλούμενοι, ἐξέχουσαν φέρουσι τὴν κοιλίαν ἀπεναντίως τοῖς σφηκοῖς ἢ σφηκώδεσιν. ἐντεῦθεν καὶ οἱ Τεχνικοὶ

Σφηκώδεις ὠνόμασαν στίχους τινὰς, πάθος ἔχοντας ἀπεναντίον ἑτέροις, τοῖς καλουμένοις Προκοιλίοις, ᾗ φησιν Εὐστάθιος (Ὀδυσσ. Κ, 60). — Στ. 16, Καθ᾽ ἑκατέραν.] Ἐκ τῆς Β, ᾗ συνᾴδουσι καὶ αἱ ΑΑ. — Στ. 17, Ὡς ὁπλίζειν.] Οὕτως αἱ ΚΑ καὶ ΔΑ541. — Στ. 21, Ἥκῃ.] Ἔτρεψα εἰς τὸ ὑποτακτικὸν τὸ ὁριστικόν. — Στ. 24, Σιδηροῦς ... ἀνδριὰς κινούμενος.] Τοῦτο εἰκὸς ἢ τὸν Ἡλιόδωρον παρὰ τοῦ Κλαυδιανοῦ, ἢ μᾶλλον τὸν Κλαυδιανὸν παρ᾽ Ἡλιοδώρου λαβεῖν· κατὰ τοὺς αὐτοὺς γὰρ ἀμφότεροι ἤκμασαν χρόνους· καὶ (ὅπερ ἄξιον ἐπισημήνασθαι) καθάπερ Ἡλιόδωρος τελευταῖος ἂν λέγοιτο τῶν καὶ ὁπωσοῦν δοκίμων Ἑλληνικῶν λογογράφων, ὡσαύτως καὶ Κλαυδιανὸς ὕστατος ἂν καλοῖτο τῶν Ῥωμαϊκῶν ποιητῶν, ὧν τι καὶ ὄφελος. προσεικάζει δ᾽ οὗτος οὐκ ἀφυῶς τοὺς καταφράκτους σιδηροῖς ἀνδριᾶσι κινουμένοις λέγων (πρὸς Ῥουφ. Β, 359),

. . . . . . . . . Credas simulacra moveri
Ferrea, cognatoque viros spirare metallo.

Στ. 25, Ὁ κοντὸς δὲ κ. τ. λ.] Τούτῳ καὶ γὰρ ἴσχυον μόνον, ὡς φησὶ Πλούταρχος (Λευκούλλ. § 28), « Μία γὰρ ἀλκὴ » τῶν καταφράκτων, κοντός· ἄλλο δ᾽ οὐδὲν οὔθ᾽ ἑαυτοῖς, » οὔτε τοῖς πολεμίοις, χρῆσθαι δύνανται, διὰ βάρος καὶ » σκληρότητα τῆς σκευῆς, ἀλλ᾽ ἐγκατῳκοδομημένοις ἐοίκα- » σιν ». σημείωσαι δ᾽ ὅτι τὸν Κοντὸν ἐπὶ πολεμικοῦ ὅπλου οἱ μεθ᾽ Ὅμηρον τετάχασι, τοῦ ποιητοῦ ναυτικὸν ὅπλον αὐτὸν εἰδότος. καὶ ὅτι μὲν τὸ ἐν τῇ συνηθείᾳ Κοντάριον παρὰ τὸ, Κοντὸς, ἐστὶ, τοῦτο καὶ τυφλοῖς δῆλον· χρῄζει δ᾽ ἴσως ἀποδείξεως ὅτι καὶ τὸ Κουντῶ ῥῆμα παρὰ τὸν Κοντὸν ἡ αὐτὴ συνήθεια ἐσχημάτισε. φαμὲν οὖν ὅτι εἰκὸς τοὺς πρώτως καινοτομήσαντας τὸ Κοντῶ εἰς μίαν ἐπιβαλέσθαι συντεμεῖν λέξιν τὰς δύο ταύτας, Κοντῷ ὠθῶ, αἷς Ὅμηρος ἐχρήσατο (Ὀδυσσ. Ι, 487), φήσας,

Αὐτὰρ ἐγὼ χείρεσσι λαβὼν περιμήκεα ΚΟΝΤῸΝ
ΩΣ̃Α παρέξ. . . . . . . . . . . . . . . . . . . . . . .

τοῦ χρόνου δὲ προϊόντος, μετέπεσε τὸ Κοντῶ εἰς τὴν γενικωτέραν σημασίαν τοῦ ἁπλῶς Ὠθῶ, προσλαβὸν καὶ τὸ διφθογγογραφεῖσθαι, Κουντῶ· ὃ δὴ καὶ ἄλλοις πλείστοις συμβέβηκε

τῶν ὀμικρογραφουμένων, οἷον Κουκκίον, Κοῦκκος, Λουβίον, παρὰ τὸ Κόκκος, Κόκκυξ, Λοβὸς κ. τ. λ.

Σελ. 371, σ7. 2, Ἵππειον.] Ἐκ τῶν ΚΛ. τῷ δὲ Οὐρίαχον, ἀπηρχαιωμένῳ ὀνόματι, ἐξ Ὁμήρου λαβὼν κακοζήλως ἐχρήσατο, δέον, Σαυρωτῆρα, φάναι, καὶ αὐτὸ μὲν τῷ ποιητῇ εἰρημένον, ἐν χρήσει δὲ μάλιστα τοῖς μετ' αὐτὸν γεγενημένον. ἔστι δὲ Σαυρωτὴρ, ὥς φησιν Εὐστάθιος, σιδήριον κοῖλον ἐξ ἄκρου ὀξὺ, ᾧ ἐντιθέμενον τὸ ὀπίσω ἄκρον τοῦ δόρατος, ὀρθὸν αὐτὸ ἑστᾶναι ποιεῖ πηγνύμενον κατὰ γῆς. — Στ. 7, Τῇ ῥύμῃ.] Οὕτως ἄνευ τοῦ ἐπιφερομένου, Γοῦν, ἡ Β, ᾗ συνᾴδουσι καὶ αἱ ΑΑ. ἐνδέχεται μέντοι ἀντὶ τοῦ, Γοῦν, τὸν Ἡλιόδωρον πάλαι γεγραφέναι Μόνον, ἢ Μόνῃ, ἵνα ᾖ Τῇ ῥύμῃ μόνῃ ἤγουν διὰ μόνης τῆς ὁρμῆς καὶ φορᾶς τοῦ ἵππου, διαπείρει τὸν προστυχόντα ἕνα, καὶ πολλάκις δύο διὰ μιᾶς πληγῆς. τούτοις δὲ συνομολογεῖ καὶ Πλούταρχος (Μαρκέλλ. § 7 καὶ Κράσσ. § 27). — Στ. 10, Τοιοῦτον δή.] Ἔτρεψα τὸν Δὲ, εἰς τὸν Δὴ, ὃν ἡρμήνευσαν καὶ οἱ μεταφρασταὶ ἀμφότεροι. — Στ. 12, Κατὰ νώτων.] Οὕτω διώρθωκα, οὐ μόνης τῆς χρήσεως, ἀλλὰ καὶ αὐτοῦ Ἡλιοδώρου ἐν ἄλλοις (σελ. 195, 265, καὶ 355) ὑπαγορεύοντος· Ἐκ νώτων γὰρ, καὶ, Κατὰ νώτων, ἢ γοῦν, Κατὰ νώτου, εἰώθασι λέγειν, οὐ, Κατὰ νῶτον. — Στ. 17, Τῆς κατὰ συστάδην χειρονομίας.] Πλεονάζει ἡ πρόθεσις ὑπεναντίως τῇ χρήσει· τὰ γὰρ εἰς αδην ἐπιῤῥήματα, καθὰ καὶ τὰ εἰς ηδον, δυνάμει ἐν ἑαυτοῖς περιέχει τὴν Κατά· καὶ ὥσπερ οὐκ εἶπε, Κατὰ προτροπάδην (σελ. 377), οὔτε, Κατὰ φοράδην (σελ. 388), οὔτε, Κατ' ἐκτάδην (σελ. 433), ὡσαύτως οὐκ ὤφειλεν εἰπεῖν, Τῆς κατὰ συστάδην, ἀλλὰ Τῆς συστάδην χειρονομίας. Χειρονομίαν δὲ ἐνταῦθα λέγει, οὐ τὴν ἐν αὐτῷ τῷ πολέμῳ σύῤῥαξιν καὶ τὴν εἰς χεῖρας συνέλευσιν, ἀλλὰ τὴν πρὸ τοῦ πολέμου μελέτην, σκιαμαχίαν τινὰ οὖσαν, ποτὲ μὲν δι' ὅπλων γινομένην, ποτὲ δὲ καὶ μόνῃ τῇ εὐρύθμῳ τῶν χειρῶν κινήσει καὶ τῶν ποδῶν ὄρχησιν ἀπομιμουμένην· ὅθεν καὶ Χειρονόμος παρ' Ἡσυχίῳ ὁ ὀρχηστής. ἄριστα ἐνταῦθα ὁ Α ἐξέφρασε τὴν Χειρονομίαν διὰ τοῦ *Escrime*· ἡ γὰρ τούτῳ τῷ ὀνόματι καλουμένη παρὰ τοῖς Γάλλοις χειρονομική τίς ἐστι σκιαμαχία, γυμνασίας μὲν ἕνεκα τοῖς νέοις παραδιδομένη, εἰς οὐδὲν δ' ὡς ἐπὶ τὸ πολὺ χρήσιμον ἀποτελευτῶσα.

Σελ. 372, στ. 5, Ῥόπτροις δὲ καὶ τυμπάνοις κ.τ.λ.] Τὸ, Ῥόπτροις ἀπεκατέστησα ἐκ τῆς Β. τὸ δὲ τοῦ Κ, Βόμβοις, ὅπερ ἐμφέρεται καὶ ἐν ταῖς ΑΑ, ἐνδέχεται ἐξ ἀμείνονος γραφῆς γεννηθῆναι, τῆς Ῥόμβοις. τὸ μὲν γὰρ Βόμβοις ἐνταῦθα οὐ πάνυ κατάλληλον, τοῦ Βόμβου αὐτὸν τῶν τυμπάνων τὸν ἦχον σημαίνοντος (Σουΐδ. λέξ. Τύμπανα)· πλὴν εἰ μή τις φαίη ἓν διὰ δυοῖν εἰρῆσθαι, Βόμβοις καὶ τυμπάνοις, ἀντὶ τοῦ, Βόμβοις τυμπάνων. τὸ δὲ, Ῥόπτροις δύναται μὲν καὶ αὐτὰ τὰ ῥόπαλα, οἷς κτυποῦσι τὰ τύμπανα, σημαίνειν, ὡς ἐξεδέξατο ὁ Λ (ὁ γὰρ Α διὰ μόνης μιᾶς λέξεως, τῆς *Tabourins*, ἐξέφρασεν ἀμφότερα), ἔοικε δὲ καὶ συνώνυμον ἄλλως εἶναι τὸ Ῥόπτρον τῷ τυμπάνῳ, ἢ μᾶλλον εἶδός τι τυμπάνου. ὁ γοῦν Πλούταρχος ἐφ᾽ ὁμοίας τῆς χρείας, λέγων (Κράσσ. § 23), « Πάρθοι γὰρ οὐ κέρασιν, οὐδὲ σάλπιγξιν ἐποτρύνου» σιν ἑαυτοὺς εἰς μάχην, ἀλλὰ ῬΟΠΤΡΑ βυρσοπαγῆ καὶ » κοῖλα περιτείναντες, ἠχείοις χαλκοῖς ἅμα πολλαχόθεν δῆλός ἐστι Ῥόπτρα καλέσας τὰ Τύμπανα. καὶ Μανέθων δὲ (ϛ, 539) περὶ τῶν ἀγειρόντων τῇ Κυβέλῃ φησὶ,

Καὶ πόλιας πλάζονται ὁμοῦ ῥόπτροις τε καὶ αὐλοῖς,

ῥόπτρα λέγων καὶ αὐτὸς τὰ τύμπανα. τῷ δὲ Ῥόπτρῳ ᾠκείωταί πως καὶ ὁ Ῥόμβος· λέγει γὰρ περὶ τῶν αὐτῶν τούτων ἀγυρτῶν Ἀπολλώνιος (Ἀργοναυτ. Α, 1139),

Ῥόμβῳ καὶ τυπάνῳ Ῥείην Φρύγες ἱλάσκονται,

ὅπερ οὕτως ἐξηγεῖται ὁ σχολιαστὴς, « Ῥόμβος, τροχίσκος, » ὃν στρέφουσιν ἱμᾶσι τύπτοντες, καὶ οὕτως κτύπον ἀποτε» λοῦσι· τινὲς δὲ Ῥύμβον αὐτὸ καλοῦσι κ. τ. λ. ». ὁ δὲ Ἐτυμολόγος (σελ. 706) παρὰ τὴν ἐξήγησιν ταύτην προστίθησι καὶ τάδε, « Μυστικῷ σανιδίῳ, ὃ στρέφουσιν εἰς τὸν ἀέρα καὶ » ἦχον ἐμποιοῦσι· Ῥύμβος δὲ καὶ Ῥόμβος διχῶς λέγεται κ. » τ. λ. ». — τούτοις δ᾽ οὐκ ἄκαιρον παραθέσθαι καὶ τὰ τοῦ Φωτίου (Λεξικ. Ἀνεκδότ. λέξ. Ῥόμβος), « Ῥόμβος, ὃν ἔχουσιν » (γρ. ἠχοῦσιν) οἱ ἀποθειάζοντες, ὡς τὸ τύμπανον. οὕτως » Εὔπολις ». — Στ. 15, Προστεταγμένα.] Οὕτω διώρθωκα. οὐ γὰρ ἀπεικὸς συγχέαι κἀνταῦθα τὰς προθέσεις τοὺς ἀντιγράψαντας, ἐπεὶ καὶ οὐ πολλοῖς τισι στίχοις ἀνωτέρω ἀντὶ τοῦ, Προτάξας, ἐν τῇ Β φέρεται Προστάξας. — Στ. 21,

Παριστάντες.] Οὕτως ἡ Β, ᾗ συνᾴδουσι καὶ αἱ ΑΑ. τὸ δὲ Περιστάντες οἱ λοιποὶ, χαριζόμενοι τῷ τυπογράφῳ τοῦ Κομμελίνου, προσέτριψαν τῷ Ἡλιοδώρῳ.

Σελ. 373, στ. 5, Κεφαλὴν δὲ καὶ νῶτα μονονοὺ συμπατούμενοι.] Οὕτω γραπτέον, ἐξαλείψαντας τὰς τέσσαρας λέξεις, Ταῖς μὲν οὐδὲν ἢ, ἃς διέστειλα τῶν λοιπῶν ὡς συγχεούσας τῶν λεγομένων τὸν νοῦν. ἔτρεψα δὲ καὶ τὸ, Πατούμενοι, εἰς τὸ, Συμπατούμενοι, διὰ τὴν πλείω χρῆσιν. ὁ Μ διορθωτέον εἶναι εἰκάζει, Ταῖς μὲν οὐδὲν ἢ μόνον ὄνυξι πατούμενοι. ἐν δὲ τῇ Β, ταῖς ΚΑ καὶ ΑΑ γράφεται, Κεφαλὴν δὲ καὶ νῶτα ταῖς μὲν οὐδὲν ἢ μόνον οἱ (ΑΑ μόνον οὐ) παθούμενοι (ΚΑ παλούμενοι). τούτοις δὲ καὶ τοῖς ἑξῆς μέχρι τοῦ, Ἀμοιρήσας, οὐκ ἄκαιρον παραθέσθαι τὰ τῷ Πλουτάρχῳ ἐν ὁμοίᾳ τῇ χρείᾳ ἱστορούμενα, ἅπερ ἔοικεν Ἡλιόδωρος εἰς τὴν αὑτοῦ μυθιστορίαν μετενεγκεῖν παρῳδήσας. φησὶν οὖν ἐκεῖνος (Κράσσ. § 25), « Τῶν τε γὰρ κοντῶν ἐπελαμβάνοντο, καὶ συμπεριπλεκόμενοι » τοὺς ἄνδρας ἀπὸ τῶν ἵππων ἐώθουν, τῇ βαρύτητι τοῦ » ὁπλισμοῦ δυσκινήτους ὄντας. πολλοὶ δὲ τοὺς ἑαυτῶν ἀπο» λιπόντες ἵππους, καὶ ὑποδυόμενοι τοῖς ἐκείνων, ἔτυπτον » εἰς τὰς γαστέρας· οἱ δ' ἀνεσκίρτων ὑπ' ὀδύνης, καὶ ΣΥΜ» ΠΑΤΟΥΝΤΕΣ ἐν ταὐτῷ τοὺς ἐπιβάτας καὶ τοὺς πολεμίους » ἀναπεφυρμένους ἀπέθνησκον ». — Στ. 9, Οὐκ ὀλίγοι τῶν ἱππέων, τῶν ἵππων.] Ἐν τῇ Β, ὡς καὶ ἐν τῷ Κ, Οὐκ ὀλίγοι τῶν ἵππων, δίχα τοῦ Ἱππέων· ἐν δὲ ταῖς ΑΑ, Οὐκ ὀλίγοι τῶν ἱππέων, δίχα τοῦ Ἵππων. ἔγνων ἀμφότερα καλαχωρίσαι, οὕτω γεγράφθαι τὴν ἀρχὴν πεπεισμένος. — Στ. 12, Κορμηδόν.] Λείπει ἡ λέξις ἐν τοῖς Λεξικοῖς. ὁ μὲν Λ ἡρμήνευσεν, *Acervatim*, τουτέστι Σωρηδόν· ὁ δὲ Α παρέφρασεν εἰπὼν, *Sans se bouger non plus que troncz d'arbres*, ὅ ἐστιν, Ἀκινήτους ὡσπερανεὶ κορμοὺς δένδρων. κυρίως γὰρ ὁ Κορμὸς (παρὰ τὸ Κείρω) τοῦ δένδρου τὸ σῶμα σημαίνει, ἢ μᾶλλον τὸ τοῦ σώματος μέρος τὸ μεταξὺ τῆς ῥίζης καὶ τῆς διαφύσεως τῶν κλάδων, εἴτουν τὸ κεκαρμένον τοὺς κλάδους δένδρον, ὅπερ ἡ συνήθεια Κορμάλιον ἐκάλεσεν. ἡ αὐτὴ δὲ συνήθεια καὶ τὸν Κορμὸν πρῶτον μὲν ἐπὶ τοῦ ἀπὸ αὐχένος μέχρι αἰδοίων κύτους, τοῦ τοῖς ἀρχαίοις καλουμένου Θώρακος (Ἀριστοτελ. Περὶ

Ζώων ἱστορ. Α, ζ΄), τοῦ ἀνθρωπίνου σώματος, ἀναλόγως τῷ τοῦ δένδρου κορμῷ ἔταξε· νῦν δὲ καὶ ἐφ' ὅλου τοῦ σώματος ἁπλῶς χρῆται τῇ λέξει, τρέψασα εἰς τὸ οὐδέτερον Κορμίον. τοῦτο δὲ καὶ Εὐστάθιος παρεσημειώσατο εἰπὼν (Ἰλιάδ. Λ, σελ. 835.), « Τὸ ἀπὸ τραχήλου μέχρις αἰδοίων κύτος τοῦ » σώματος δίχα χειρῶν... θώρακα τινὲς καλοῦσιν· ἕτεροι δὲ » Κορμὸν ἰδιωτικῶς ». καὶ σημείωσαι ὅτι καθάπερ ἡμεῖς τὸ ὑποκοριστικὸν τοῦ Κορμοῦ ἀπὸ τῶν δένδρων ἐπὶ τὸ ἀνθρώπινον σῶμα μετηνέγκαμεν, ὡσαύτως οἱ πρὸ ἡμῶν τὸ ὑποκοριστικὸν τοῦ Θώρακος ἀπὸ τῶν ἀνθρώπων ἐπὶ τὰ δένδρα μετενηνόχασιν· εὕρηται γὰρ παρὰ τῷ Ἀθηναίῳ (ΙΕ, 672) « Λύγου » θωράκιον », ὅπερ ἐστὶ, Λυγαρίας Κορμάλιον, ὡς ἂν φαῖεν οἱ νῦν. καὶ Ἡσύχιος δὲ τὴν Λειπομορίαν ἐξηγεῖται διὰ τοῦ « Δέν» δρον τὸ ἐκ τοῦ θωρακίου κατεαγὸς, ἐκ δὲ τῆς ῥίζης φέρον βλαστούς ». — Στ. 13, Ἀνέτεμον.] Ἄμεινον γράφειν, Ἀνέτεμνον, παρατατικῶς, καθὰ ἡρμήνευσαν καὶ οἱ μεταφρασταὶ ἀμφότεροι. — Στ. 14, Ἀτρώτοις τοῖς ἵπποις.] Προσέθηκα τὸ ἄρθρον, ὑπὸ τῆς τελευταίας τοῦ Ἀτρώτοις ἀφανισθέν.

Σελ. 374, στ. 2, Ἕκαστον.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ· τουτέστιν, ἕκαστον πύργον, ἢ ἐλέφαντα. ἡ δὲ τοῦ Βουρδελότου διόρθωσις, « Κατὰ τοὺς πύργους, ὧν μὲν ἕκαστοι ἓξ κατει» λήφότες », ἐπιεικῶς βάρβαρος. σημειωτέον δὲ τὸ περὶ τοῦ ἀριθμοῦ τῶν ἐπὶ τῶν ἐλεφάντων τοξοτῶν διὰ τὴν διαφωνίαν· Ἡλιόδωρος μὲν γὰρ ἓξ αὐτοὺς λέγει, Αἰλιανὸς δὲ (Ζώων ἰδιότητ. ΙΓ, θ΄) τρεῖς μόνους ἱστορεῖ, Φιλόστρατος δὲ (Ἀπολλων. βίῳ Β, ιϛ΄) τοὺς ἐπὶ τῶν ἐλεφάντων πύργους οἵους κατὰ δέκα καὶ πεντεκαίδεκα τοξότας δέξασθαι παραδέδωκε, καὶ ἄλλοι ἄλλως, περὶ ὧν ἀνάγνωθι τὰ διὰ μακρῶν σημειωθέντα τῷ Βοχάρτῳ (Ἱεροζωϊκ. Β, κζ, σελ. 268), ὃς εἰκότως καὶ νενοθεῦσθαι τὸ ἐν τῇ Μακκαβαίων βίβλῳ περὶ τοῦ ἀριθμοῦ τῶν δύο καὶ τριάκοντα πολεμιστῶν ὑπολαμβάνει. ἔχει δὲ τὸ χωρίον οὕτω (Α Μακκαβ. ϛ, λζ΄), « Καὶ πύργοι ξύλινοι » ἐπ' αὐτοὺς ὀχυροὶ σκεπαζόμενοι ἐφ' ἑκάστου θηρίου, ἐζω» σμένοι ἐπ' αὐτοῦ μηχαναῖς· καὶ ἐφ' ἑκάστου ἄνδρες δυνά» μεως δύο καὶ τριάκοντα οἱ πολεμοῦντες ἐπ' αὐτοῖς, καὶ ὁ

» Ἰνδὸς αὐτοῦ ». καὶ ὁ μὲν Βοχάρτος τὸ Δύο καὶ τριάκοντα περιγραπτέον εἶναι τοῦ χωρίου πιθανῶς εἰκάζει, ὡς μετενεχθὲν ἐκ τοῦ ὀλίγῳ πρόσθεν (στίχ. 30) εἰρημένου περὶ τοῦ ἀριθμοῦ τῶν ἐλεφάντων αὐτῶν (τοσοῦτοι γὰρ καὶ ἦσαν τὸν ἀριθμὸν οἱ πάντες)· ἄλλοι δὲ εἰς τὸ Δύο ἢ τρεῖς μεταποιεῖν προείλοντο. ἡμεῖς δὲ μόνῃ τῇ τῶν λέξεων μεταθέσει διορθωτέον τὸ χωρίον ὑπολαμβάνομεν, γράφοντες « . . . καὶ ἐφ' » ἑκάστου τῶν δύο καὶ τριάκοντα ἄνδρες δυνάμεως οἱ πολε-» μοῦντες κ. τ. λ. ». — Στ. 4, Εἰς τὸ ἄπρακτον.] Ἐξήλειψα τὸν σύνδεσμον, περιττὸν ὄντα, τρέψας καὶ τὸ ἐχόμενον Οὕτως εἰς τὸ Οὕτω. τῷ δὲ προηγησαμένῳ Μόνης, ἢ συναπτέον, ἢ γοῦν συνυπακουστέον τὸ Πλευρᾶς. — Στ. 6, Ὥστε εἰς νέφους . . . παραστῆναι.] Ἴσως ἀντὶ τοῦ Παραστῆναι γραπτέον Παραστῆσαι· καθὰ καὶ μικρὸν ἀνωτέρω (σελ. 372) εἴρηκε, « Μα-» νίας ἔμφασιν τοῖς ὁρῶσι παριστάντες ». — Στ. 9, Οὐκ ἐκ τῶν ἴσων.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 12, Διαπεπαρμένοι.] Τὸ μὲν Διαπεπερμένοι τῶν ΑΑ καὶ τὸ Διαπεπραγμένοι τῶν ΚΑ προδήλως ἡμάρτηνται· τὸ δὲ Διαπεπερονημένοι τῆς Β οὐκ ἐπίσης δῆλον μὴ οὕτω γεγράφθαι τὴν ἀρχὴν ὑφ' Ἡλιοδώρου. ταὐτὸ μὲν γὰρ σημαίνει τῷ Διαπεπαρμένοι· ἔστι δ' ὅμως Ὁμηρικώτερον, οἷον τὸ « Δουρὶ μέσον περόνησεν (Ἰλιάδ. Η, » 145) ». ἔστι δὲ τὸ Περονάω παρὰ τὸ Περόνη, ὅπερ ἡ συνήθεια εἰς τὸ οὐδέτερον Περόνιον (καὶ χυδαιέστερον Περούνιον καὶ Πηρούνιον) τρέψασα, ἐπὶ τοῦ ἐπιτραπεζίου σκεύους, τοῦ τοῖς Ἰταλοῖς λεγομένου *Forchetta*, ὡς ἐπὶ τὸ πολὺ τέταχε. Στ. 14, Ὀϊστούς.] Ἐκ τῶν ΚΑ. — Στ. 18, Ἀνατρεπόμενοι καὶ καταπατούμενοι.] Ἐν ταῖς ΚΑ, Ἀναιρούμενοι καὶ πατούμενοι, καὶ παρὰ ταύτην ἑτέρα γραφὴ (ἣν ἔχουσι καὶ αἱ ΑΑ), Ἀνερευγόμενοι καὶ καταπατούμενοι. καί γε ὑπονοεῖν οὐκ ἀπεικότως παρέχει ἡ τοιαύτη γραφὴ, μή ποτε ἀντὶ τοῦ Ἀνερευγόμενοι, ἐγέγραπτο πάλαι, Ἀνερεπτόμενοι, τουτέστιν, Ἀναρπαζόμενοι καὶ ἀναλαμβανόμενοι ἀπὸ τῆς γῆς, ἔπειτα καταβαλλόμενοι καὶ πατούμενοι· τοῦτο καὶ γὰρ ποιεῖν εἴωθε τῇ προβοσκίδι θυμωθεὶς ὁ ἐλέφας. περὶ δὲ τοῦ Ἀνερέπτειν μέτιθι τὰ εἰρημένα τῷ Εὐσταθίῳ (εἰς τὴν Ὀδύσσ. Α, 241). — Στ. 21, Καὶ τοὺς μὲν τιτρώσκειν.] Οὕτως ἡ Β δίχα τοῦ ἑτέρου Καί.

Σελ. 375, σ7. 4, Τῇ ἐπιφανείᾳ.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Τὴν ἐπιφάνειαν· ἄμεινον δὲ τὸ κατὰ δοτικὴν, καθὰ καὶ ἐν τοῖς πρόσθεν (σελ. 4) εἴρηκε, Τοῖς νώτοις ἐπιτρεχούσης. τὸ δὲ Φολίδος ἐνταῦθα πλατύτερον ἐκληπτέον· οὐ γὰρ ἀληθῶς φολιδωτὸν τὸ θηρίον, ἀλλὰ τὸ δέρμα σκληρὸν καὶ ῥυτιδῶδες καὶ τύλων ἀνάπλεων ὂν, φολίδων ἔμφασιν παρίστησι τοῖς ὁρῶσι. Στ. 9, Νυσαίων.] Οὕτως ἅπαντες διὰ τοῦ ῡ· γραπτέον μέντοι Νισαίων διὰ τοῦ ῑ. ἀπὸ γὰρ τοῦ Νισαίου πεδίου τῆς Μηδικῆς, οὗ τοῖς ἵπποις ἐχρῶντο οἱ Περσῶν βασιλεῖς, ἀρίστοις οὖσί τε καὶ μεγίστοις, καθά φησι Στράβων (ΙΑ, 525 καὶ 530). ἄλλοι δὲ ἀλλαχοῦ καὶ οὐκ ἐν τῇ Μηδικῇ φασὶν εἶναι τὸ Νισαῖον πεδίον· εἰσὶ δὲ οἳ καὶ διὰ τοῦ η̄, Νησαῖον γράφουσι· περὶ ὧν ἔπιθι τὰ διὰ μακρῶν εἰρημένα τῷ τε Σαλμασίῳ (Γυμν. Πλιν. 842) καὶ τῷ Βοχάρτῳ (Ἱεροζωϊκ. Β, θʹ, 163-167). — Στ. 13, Λήματι.] Οὕτως ἡ Β, ᾗ συνᾴδουσι καὶ αἱ ΑΑ. περὶ δὲ τῆς γραφῆς ταύτης εἰρήκαμεν ἀποχρώντως καὶ ἐν τοῖς πρόσθεν (σελ. 76). — Στ. 18, Ἀπεστραμμένοις ... τοῖς τόξοις.] Καὶ Σκύθαι καὶ Πάρθοι τοῦτο ποιεῖν εἰώθασι, τῷ βάλλειν εἰς τοὐπίσω τῆς φυγῆς ἀφαιροῦντες τὸ αἰσχρὸν, ὥς φησι Πλούταρχος (Κράσσ. § 24). — Στ. 22, Πεφαρμαγμένοις τοξεύοντες.] Οὕτως αἱ ΑΑ καὶ ΔΑ693, αἷς συνᾴδουσι καὶ ἀμφότεροι οἱ μεταφρασταί. τὸ δὲ Εἰστοξεύοντες ἔγραψα Τοξεύοντες, ἀπαλείψας τὴν πρόθεσιν, ἣν εἰκὸς τοὺς ἀντιγράψαντας, πλανηθέντας ὑπὸ τῆς τελευταίας τοῦ Πεφαρμαγμένοις, προσκολλῆσαι τῇ μετοχῇ. Θεόφραστος ῥίζαν εἶναί τινα θανατηφόρον φησὶν, ᾗ φαρμάσσουσι τοὺς ὀϊστοὺς οἱ Αἰθίοπες. καὶ Σκύθαι δὲ (Αἰλιαν. Ζώων ἰδιότ. Θ, ιεʹ) καὶ Σόανες (Στράβων. ΙΑ, 499) καὶ ἄλλοι τῶν βαρβάρων φαρμάσσειν τοὺς ὀϊστοὺς εἰώθασι. — Στ. 25, Πλέγμα γάρ τι κυκλοτερές.] Ὃ καὶ νῦν ἔτι ἔστι θεάσασθαι παρὰ πολλοῖς τῶν τὴν Ἀφρικὴν οἰκούντων ἀγρίων ἐθνῶν.

Σελ. 376, σ7. 2, Περιπείραντες, τὸ μὲν ἐπτερωμένον κ. τ. λ.] Αἱ ΚΑ καὶ ΑΑ, Περιφέροντες τὸ μὲν, ἐπαιρόμενον· οὐκ ὀρθῶς. — Στ. 5, Τὰς δὲ ἀκίδας, οἷον ἀκτῖνας ... λυγιζόμενος τε καὶ καμπτόμενος.] Συνῳδὰ τὰ περί τε τῆς τοξείας καὶ τῆς ἐν πολέμοις ὀρχήσεως τῶν Αἰθιόπων λεγόμενα

τοῖς τῷ Λουκιανῷ (περὶ ὀρχήσ. § 18) εἰρημένοις, « Αἰθίο- » πες δέ γε καὶ πολεμοῦντες, σὺν ὀρχήσει αὐτὸ δρῶσι· καὶ » οὐκ ἂν ἀφίῃ τὸ βέλος Αἰθίοψ ἀνὴρ, ἀφελὼν τῆς κεφαλῆς » (ταύτῃ γὰρ ἀντὶ φαρέτρας χρῶνται, περιδέοντες αὐτῇ » ἀκτινηδὸν τὰ βέλη), εἰ μὴ πρότερον ὀρχήσαιτο, καὶ τῷ σχή- » ματι ἀπειλήσειε, καὶ προεκφοβήσειε τῇ ὀρχήσει τὸν πολέ- » μιον ». σημείωσαι δὲ καὶ τὸ Λυγιζόμενος διὰ τὸ ἐν τῇ συν- ηθείᾳ σωζόμενον ἔτι καὶ νῦν Λυγίζομαι, παρὰ τὸν Λύγον, ἤγουν τὴν κοινῶς λεγομένην, ἐπὶ μὲν Εὐσταθίου, Λυγέαν, νῦν δὲ, Λυγαρέαν, ἢ Λυγαρίαν· ἣν Ὅμηρος, Ἐϋστρεφέα λύγον ἐκά- λεσε (Οδυσσ. Ι, 427), διὰ τὸ εὐκαμπὲς καὶ εὔστροφον τοῦ φυτοῦ. ἔστιν οὖν ὁ Λυγιζόμενος καὶ καμπτόμενος, ὃν ἡ καθ- ωμιλημένη φωνὴ, Σειστὰ καὶ λυγιστὰ περιπατεῖν, λέγει. καὶ παρώνυμον δὲ ἡ αὐτὴ φωνὴ οἶδε τὸ Λυγερὸς, ὡς ὅταν φαμὲν, Λυγερὴ κόρη, ἐπὶ νεάνιδος εὐκαμπὲς ἐχούσης τὸ σῶμα. — Στ. 9, Κατὰ τὴν Αἰχμήν.] Ἐν ταῖς ΑΑ γράφεται, Πρὸς τὴν αἰχμήν. — Στ. 10, Ὀστοῦν γὰρ δράκοντος κ. τ. λ.] Παρ- αλλάττει ταῦτα τῶν εἰρημένων τῷ Ἀγαθαρχίδῃ παρὰ τῷ Φωτίῳ (Κώδ. σν'), « Χρῶνται δὲ ἐπὶ τῶν κινδύνων τῶν πολε- » μικῶν Αἰθίοπες τοῖς μὲν τόξοις μεγάλοις, βραχέσι δὲ τοῖς » ὀϊστοῖς· ἐπὶ δὲ τῆς ἄκρας τοῦ καλάμου κερκίδος, ἀντὶ τοῦ » σιδήρου, παραμήκης τῷ τύπῳ λίθος ἀνεστήρικται, νεύροις » ἐσφιγμένος, ὀξὺς μὲν ὑπερβολῇ, φαρμάκοις δὲ θανασίμοις » βεβαμμένος ». καὶ ἡ ἐτυμολογία δὲ τοῦ Ὀϊστοῦ παρὰ τὸ ὀστοῦν, πρὸς ψυχαγωγίαν μᾶλλον ἢ πρὸς ἀλήθειαν εἰρῆσθαι δοκεῖ. ὁ γὰρ Ὀϊστὸς (ὃν ἡ συνήθεια Σαγίτταν, παρὰ τὸ τῶν Λατίνων *Sagitta*, καλεῖ), παρὰ τὸ Οἴω, τὸ κομίζω ἢ φέρω, παρῆκται, ὡς ὀρθῶς φησὶν ὁ Ἐτυμολόγος (σελ. 620), καθὰ καὶ ὁ συνωνυμῶν αὐτῷ Ἰὸς, παρὰ τὸ Ἵημι, τὸ πέμπω. — Στ. 15, Χρόνον μὲν οὖν κ. τ. λ.] Ἀντὶ τοῦ, Οὖν, ἐν ταῖς ΑΑ γράφεται, Δή. ἠττίκισα δὲ τὸν ἐχόμενον ὑπερσυντελικὸν, ἐξελὼν τῆς διφθόγγου τὸ ι. — Στ. 17, Ἀντεῖχον.] Καλῶς ἡ Β, αἱ ΚΑ καὶ ΑΑ, Ἀντείχοντο.

Σελ. 377, σ. 3, Καὶ τοῖς λοιποῖς ἐφεπομένους, ἐνδόντες κ. τ. λ.] Ἀδιανόητον ὂν τὸ χωρίον παρεμυθησάμεθα τῇ τρο- πῇ τοῦ Ἐφεπομένοις εἰς τὸ Ἐφεπομένους, καὶ τῇ μετ' αὐτὸ

διαστολῇ. μία γάρ ἐστι περίοδος μέχρι τοῦ Προτροπάδην ἔφευγον, ἧς ἡ μὲν πρότασις ἄρχεται ἀπὸ τοῦ, Ἐπεὶ δὲ τούς τε καταφράκτους, καὶ τελευτᾷ εἰς τὸ, Ἐφεπομένους, ἡ δὲ ἀπόδοσις, τὸ ἐχόμενον ὅλον ἐστὶν ἀπὸ τοῦ Ἐνδόντες· ὃ συνῆκε μόνος ὁ Λ. ὁ δὲ νοῦς, Ἐπειδὴ κατέμαθον οἱ Αἰγύπτιοι τὴν φθορὰν τῶν Καταφρακτῶν, καὶ τὸν δρασμὸν τοῦ Σατράπου, καὶ τοὺς Μήδων καὶ Περσῶν ὁπλίτας πλείω παθόντας ἢ δράσαντας, καὶ ἑπομένους τοῖς λοιποῖς, τουτέστι τοῖς περὶ τὸν Σατράπην, τότε ἐνδόντες καὶ αὐτοὶ ἀπεδίδρασκον ἀνεπιστρεπτί. τοῦτο μὴ συνεὶς ὁ Α, ἀφεῖλε τὸν τελευταῖον Καὶ τῆς προτάσεως, ἀρχὴν δ' ἐποιήσατο τῆς ἀποδόσεως αὐτὸ τὸ, Τοῖς λοιποῖς ἐφεπομένοις, ὅπερ συνέταξε πρὸς τὸ, Ἐνδόντες· *Ilz cederent aussi au reste de ceux qui les poursuyvoient, et se mirent à fuyr comme les autres.* — Στ. 6, Λαμπρᾶς. ] Αἱ ΚΑ καὶ ΑΑ, Λαμπρός. — Στ. 10, Ἐγένετο. Ἐν ταῖς ΑΑ, Ἐγίνετο. — Στ. 13, Ἐπαναγαγόντες. ] Αἱ ΚΑ, Ἐπαγαγόντες. — Στ. 16, Ὑπελίποντο.] Ἔτρεψα τὸν παρατατικὸν εἰς τὸν ἀόριστον, διὰ τὸ προηγησάμενον, Συνήλασαν. ἴσως δ' ἂν ἄμεινον ἔδρων εἰ καὶ τὸ μέσον, Ὑπελίποντο (ὅπερ ἔοικεν ἡμαρτῆσθαι κατὰ τὸ πρὸ μικροῦ, Ἀντείχοντο) εἰς τὸ ἐνεργητικὸν Ὑπέλιπον ἔτρεπον. — Στ. 17, Ὑπό τε ἵππων. ] Μετεποίησα τὸν βάρβαρον ἐνταῦθα Γε, εἰς τὸν Τε. — Στ. 19, Σὺν πολλῷ τῷ θράσει. ] Λείπουσιν ἐκ τῶν ΑΑ αἱ δύο λέξεις, Τῷ θράσει. ὁ Α ἡρμήνευσεν, *Oultre la grande temerité*· ὁ δὲ Λ, *Cum magna trepidatione*, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Σὺν πολλῷ τῷ τρόμῳ, ἢ Σὺν πολλῇ τῇ τρέσει, ὧν οὐδέτερον εἰκὸς γεγραφέναι τὸν Ἡλιόδωρον. ἔστι μὲν οὖν εἰκάσαι τὴν ἀρχαίαν γραφὴν ὑπάρξαι, Σὺν πολλῇ τῇ θραύσει, ὅτι καὶ τοῦ ἐκκλησιαστικοῦ χαρακτῆρος ἔχεταί πως ἡ Θραῦσις, ἐπὶ τῆς ἐν τοῖς πολέμοις φθορᾶς λεγομένη· ἄμεινον μέντοι κατὰ χώραν ἐᾶν τὸ, Σὺν πολλῷ τῷ θράσει, συνάπτοντας τῷ προηγουμένῳ, Ὠθούμενοι, ἀδιαστίκτως, ἵνα ἔχῃ ἀποδίδοσθαι τὸ Θράσος (ὃ κυριώτερον ἂν ἐνταῦθα Θάρσος ἐλέγετο) τοῖς Αἰθίοψι καὶ οὐ τοῖς Πέρσαις. — Στ. 21, Πρὸς ἐναντίου σφίσιν ἦν.] Ἐν τῇ Β, ΚΑ καὶ ΑΑ γράφεται ἀδιανοήτως, Πρὸς ἐναντίους φησὶν ἦν· οἱ δὲ λοιποὶ, παρὰ τοῦ Κ λαβόντες, Πρὸς ἐναντίους σφισὶν ἦν,

βαρβάρως ἔγραψαν. ὁ Λ καὶ ὁ Α ἡρμήνευσαν ὥσπερ ἂν εἰ ὁ νοῦς ἦν, Τὸ τοῦ Σαΐράπου πρὸς τοὺς ἐναντίους, ἤγουν τοὺς Αἰθίοπας, στρατήγημα. ὁ δὲ Βερνάρδος ἔν τε τοῖς Πρακτικοῖς τῆς ἐν τῇ Ῥηνοπεραίᾳ Ἀκαδημίας (Τομ. Α, σελ. 203), καὶ ἐν ταῖς εἰς τὴν Σύνοψιν τῆς ἰατρικῆς τοῦ Νόννου σημειώσεσιν (Τομ. Β, σελ. 189) οὕτως ἐπεχείρει διορθοῦν τὸ χωρίον, Πρὸς ἐναντίους ἐναντίον σφισὶν ἦν, ἢ, Πρὸς ἐναντίους ἄντιον σφισὶν ἦν, κατὰ τίνα μὲν νοῦν οὐ δηλώσας, ὡς δ᾽ εἰκάζειν ἔξεστι κατὰ τοῦτον, Ὡς τὸ τοῦ Σατραπου στρατήγημα ἐδόκει μὲν κατὰ τῶν ἐναντίων εἶναι, ἦν δὲ ἀληθῶς σφισὶν (γρ. σφίσιν) ἤγουν αὐτοῖς τοῖς Πέρσαις ἐναντίον. καὶ ταῦτα μὲν ἐάσθω ὡς τῆς Ἡλιοδώρου διανοίας τε καὶ λέξεως ἀλλότρια. τὸ δὲ χωρίον ἑνὸς μόνου σ ἀφαιρέσει διωρθωκέναι ἡγούμενοι, τὸ Πρὸς ἐναντίου σφίσιν, ὡς καὶ ἐν τοῖς πρόσθεν (σελ. 221) εἰρήκαμεν, κομψῶς λελέχθαι φαμὲν, ἀντὶ τοῦ Ἐναντίον σφίσιν, καθὰ καὶ Πρὸς ἀγαθοῦ, καὶ Πρὸς κακοῦ, καὶ Πρὸς θυμοῦ εἶναί τί τινι, λέγεται, ἀντὶ τοῦ Ἀγαθὸν, Κακὸν, ἢ Καταθύμιον εἶναί τί τινι. Στ. 23, Κατὰ νώτων ποιήσας.] Οὕτως ἡ Β, Κατὰ νώτων πληθυντικῶς. ἐπισημήνασθαι δ᾽ ἄξιον τὸ Ποιήσας, ὡς ἑλληνισμοῦ ἀλλότριον. ὤφειλε γὰρ εἰπεῖν, Ποιησάμενος, κατὰ μέσην διάθεσιν, καθὰ καὶ φθὰς εἴρηκε μικρὸν ἀνωτέρω (σελ. 371). Στ. 24, Ἑαυτῷ.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ.

Σελ. 378, στ. 1, Ἀχαιμένου.] Ἐξήλειψα τὸν κακῶς πλεονάσαντα, Καί. — Στ. 3, Προανελεῖν.] Οὕτως αἱ ΑΑ. Στ. 16, Τοῦτο μὲν ἐπαοιδῇ . . . ἐπέσχε.] Παρὰ τὸ Ὁμηρικὸν (Ὀδυσσ. Τ, 456),

Ὠτειλὴν δ᾽ Ὀδυσσῆος ἀμύμονος ἀντιθέοιο
Δῆσαν ἐπισταμένως· ἐπαοιδῇ δ᾽ αἷμα κελαινὸν
Ἔσχεθον. . . . . . . . . . . . . . . . . . . . . . .

ἦσαν γὰρ τὸ πάλαι, οἷοι καὶ νῦν εἰσι, καὶ ἔσονται, μέχρις ἂν ὦσι μωροὶ, « Μάγοι τε, καὶ καθάρται, καὶ ἀγύρται, » καὶ ἀλαζόνες, ὁκόσοι δὴ προσποιέονται σφόδρα θεοσεβέες » εἶναι καὶ πλέον τι εἰδέναι. οὗτοι τοίνυν παραμπεχόμενοι » καὶ προβαλλόμενοι τὸ θεῖον τῆς ἀμηχανίης, τὸ (ἴσ. τῷ) μὴ » ἴσχειν ὅ, τι προσενέγκαντες ὠφελήσουσιν, ὡς μὴ κατάδηλοι » ἔωσιν οὐδὲν ἐπιστάμενοι, ἱερὸν ἐνόμισαν τοῦτο τὸ πάθος εἶ-

» ναι· καὶ λόγους ἐπιλέξαντες ἐπιτηδείους, τὴν ἴησιν καθ-» εστήσαντο ἐς τὸ ἀσφαλὲς σφίσιν ἑωϋτοῖσι, καθαρμοὺς προσφέ-» ροντες καὶ ἐπαοιδάς », καθά φησιν ὁ θειότατος Ἱπποκράτης (περὶ Ἱερ. νούσ. § 2). τὸ γὰρ ῥύσιν αἵματος, ἢ ἄλλο τι τῶν παθημάτων τοῦ σώματος, περὶ ἃ ἰατρικὴ καταγίνεται, ἐπῳδαῖς θεραπεύειν πειρᾶσθαι, τῇ τοῦ κρείττονος ἐπικλήσει εἰς ἃ μὴ δεῖ καταχρώμενον, ταὐτόν ἐστι καὶ μὴ πεινῆν τὸν πεινῶντα, ἢ παύεσθαι τοῦ δίψους τὸν διψῶντα, ἐπῳδαῖς βούλεσθαι παρασκευάζειν. ὅθεν ἄριστα καὶ Σοφοκλῆς (Αἴαντ. 581) εἴρηκεν,

.......... Οὐ πρὸς ἰατροῦ σοφοῦ
Θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι.

Σελ. 379, στ. 1, Καὶ ὃς, Ὅσην ἂν κ. τ. λ.] Προσέθηκα τὸ, Ὃς, δηλοῦν ἐνταῦθα τὸ ἐκεῖνος, ἤγουν ὁ Ὀροονδάτης. τοῦτο δὲ οἱ Ἀντιγραφεῖς παρέλιπον, πλανηθέντες ὑπὸ τῆς ἐχομένης λέξεως, Ὅσην. — Στ. 7, Ἀσύνετος δὲ, κἂν αὐτὸς μὴ ὁμολογήσειας.] Ὁ νοῦς, Ἀσύνετος δὲ εἶ, καὶ εἰ μὴ βουληθείης αὐτὸς ὁμολογῆσαι τοῦτο. οἱ πρὸ ἐμοῦ, πλὴν τῆς Β, ἐρωτηματικῶς ἐξήνεγκαν τὸ χωρίον, οὕτως, Ἀσύνετος δὲ ... ἀντιταξάμενος; ἀκολουθήσαντες τῷ Λ. ὁ δὲ Α ἡρμήνευσε, *Tu ne sçaurois nier que tu n'ayes esté fol et inconsidéré, etc.* ἄνευ ἐρωτήσεως, καὶ ὥσπερ ἂν εἰ ἐγέγραπτο, Ἀσύνετος δὲ κἂν αὐτὸς ὁμολογήσειας, δίχα τῆς ἀπαγορεύσεως, ἢ, Ἀσύνετος δὲ, οὐδ' ἂν αὐτὸς μὴ (ἢ, Οὐχ) ὁμολογήσειας. ἀλλὰ τὸ μὲν χωρίον ὀρθῶς ἴσως ἔχει, καίπερ οὐκ ἀκριβῶς ἐξενηνεγμένον· εἰ δέ τι χρὴ μετακινεῖν, γραπτέον ἀφελόντα τὴν διαστολὴν, καὶ τρέψαντα τὴν ἀπαγόρευσιν εἰς ἀντωνυμίαν, Ἀσύνετος δὲ κἂν αὐτός μοι ὁμολογήσειας. καὶ ἔσται τηνικαῦτα ὁ νοῦς, Ἀσύνετος δὲ εἶναι καὶ αὐτὸς ἂν ἐμοὶ συνομολογήσειας τῷ τοιοῦτον εἶναί σε κρίνοντι. — Στ. 10, Ἀσύνετον ... ἐστοχάσθαι.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ ἀμφοτέρων τῶν λέξεων ἡ γραφή. — Στ. 13, Τιμᾷ.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Τιμᾶται. — Στ. 15, Θαυματουργοῦσιν.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. περὶ δὲ τῆς λέξεως ταύτης, ᾗ χαίρει μάλιστα Ἡλιόδωρος, εἰρήκαμεν καὶ ἐν τοῖς πρόσθεν (σελ. 268).

Σελ. 380, στ. 1, Στρατιάν.] Διώρθωκα κἀνταῦθα τὴν Γραφὴν, ὡς καὶ ἐν ἄλλοις. — Στ. 2, Ἀνυμνούσης.] Ἡμάρτηται τὸ

Ἐνυμνούσης τῶν ΚΑ καὶ ΑΑ. τὸ δὲ παρὰ ταύτην τὴν γραφὴν ἐμφερόμενον ἐν ταῖς ΚΑ, Εὐφημούσης, καὶ τὸ τῆς Β, Ἐπαινούσης, ἐπεξηγήσεις εἰσὶ τοῦ, Ἀνυμνούσης. — Στ. 8, Φρεατίαν.] εἰρήκαμεν καὶ ἐν τοῖς πρόσθεν (σελ. 281) περὶ τῆς λέξεως ταύτης. Στράβων δὲ (ΙΖ, σελ. 817) Φρέαρ ἁπλῶς καλεῖ τὸ Νειλομέτριον τῆς Συήνης. — Στ. 10, Συννόμῳ.] τὰ αὐτὰ καὶ Στράβων, οὗ καὶ τὴν γραφὴν ἐκ τοῦ Ἡλιοδωρείου τουδὶ χωρίου εὐτυχῶς διωρθώσατο ὁ Κασωβών. λέγονται δὲ λίθοι Σύννομοι, οἱ μεγάλοι καὶ ὅμοιοι, ἢ μᾶλλον εἰπεῖν οἱ λελατομημένοι τετραγώνως ἰσομεγέθεις λίθοι. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν συννεμομένων ζώων· ὡς γὰρ ἐκεῖνα συναγελαζόμενα ὁμοῦ εἶναι λέγεται, οὕτω πως καὶ οἱ ἰσομεγέθεις λίθοι, πάντη ἀλλήλοις συναρμόζονται, μηδενὸς ἐξέχοντος τοῦ παρακειμένου. ὅθεν καὶ Ἡσύχιος ἐξηγεῖται τὸ, Σύννομα, διὰ τοῦ, Σύνδρομα. — Στ. 13, Ὑπὸ γῆς δινηθούμενον, καὶ ταῖς γραμμαῖς ἐμπίπτον.] Ἡ Β καὶ αἱ ΚΑ, Ὑπὸ γῆς διωθούμενον κ.τ.λ. αἱ δὲ ΑΑ, Ὑπὸ γῆν δινηθούμενον κ.τ.λ. τὰς δὲ Γραμμὰς, Στράβων (Αὐτόθ.) Παραγραφὰς ὀνομάζει. — Στ. 18, Τοὺς τῶν ὡρονομίων γνώμονας.] Ἀντὶ τοῦ, Ὡρονομίων, ἐν τῇ Β φέρεται Ὡροσκοπίων, ὡς χαλεπὸν εἶναι συνιδεῖν ὁποτέρα τῶν γραφῶν τῆς Ἡλιοδώρου χειρὸς εἴη· συνώνυμα γάρ εἰσιν ἄμφω ἀλλήλοις τε καὶ τῷ ἄλλως καλουμένῳ Ὡρολογίῳ, καίπερ τοῦ Ὡρονομίου ἢ Ὡρονομείου (ἀμφοτέρως γὰρ γράφεται) κατὰ πλείω τὴν χρῆσιν ἐπιπολάσαντος ἐν τοῖς τοιούτοις. ἐλέγετο δὲ καὶ Ὡρονόμιον σκιοθηρικὸν, καὶ ἁπλῶς Σκιόθηρον. εἶχε δὲ τοῦτο, παρὰ τὸ Νειλομέτριον, ἐξαίρετον ἡ Συήνη, ἡ τανῦν Σουὰν καλουμένη τοῖς ἐγχωρίοις. « Ἐν δὲ τῇ Συήνῃ
» καὶ τὸ φρέαρ ἐστὶ τὸ διασημαῖνον τὰς θερινὰς τροπὰς, καὶ
» διότι τῷ τροπικῷ κύκλῳ ὑπόκεινται οἱ τόποι οὗτοι, καὶ
» ποιοῦσιν ἀσκίους τοὺς γνώμονας κατὰ μεσημβρίαν· ἀπὸ γὰρ
» τῶν ἡμετέρων τόπων, λέγω δὴ τῶν Ἑλληνικῶν, προϊοῦσιν
» ἐπὶ τὴν μεσημβρίαν, ἐνταῦθα πρῶτον ὁ ἥλιος κατὰ κορυφὴν
» ἡμῖν γίνεται, καὶ ποιεῖ τοὺς γνώμονας ἀσκίους κατὰ μεσημ-
» βρίαν. ἀνάγκη δὲ, κατὰ κορυφὴν ἡμῖν γινομένου, καὶ εἰς
» τὰ φρέατα βάλλειν μέχρι τοῦ ὕδατος τὰς αὐγὰς, κἂν βαθύ-
» τατα ᾖ· κατὰ κάθετον γὰρ ἡμεῖς τε ἑστάμεν, καὶ τὰ ὀρύγματα

» τῶν

» τῶν φρεάτων κατεσκεύασθαι (Στράβων Αὐτόθ.) ». — Στ. 25, Συμβαίνει.] Ἐπελαθόμην διορθώσασθαι, Συμβαίνειν, ὡς ἐμφέρεται, ἐν ταῖς ΑΑ. ὅτι δὲ κομψότερον ἐνταῦθα τὸ ἀπαρέμφατον τοῦ ὁριστικοῦ, δηλοῖ καὶ τὰ πρόσθεν (σελ. 134) εἰρημένα μοι.

Σελ. 381 στ. 2, Ὡρόν τε καὶ Ζείδωρον ἀποκαλοῦντες.] Ἀντὶ τοῦ Ὧρον, ἐν ταῖς ΚΑ γράφεται, Ὡραῖον· οὐκ ὀρθῶς. ἐξήλειψα δὲ τὸ πρὸ τοῦ, Ζείδωρον, ἄρθρον, ὅπερ λείπει καὶ ἐκ τῆς Β. καὶ τὸ μὲν Ζείδωρον ἐπιθετικκῶς λέλεκται πρὸς τὸν Νεῖλον, ὡς αὐτὸ τὸ ζῆν δωρούμενον τῇ τῶν πρὸς τὸ ζῆν ἀφθόνῳ χορηγίᾳ, καθὰ καὶ Ζείδωρον ἄρουραν, ἐν πολλοῖς ὁ ποιητὴς καλεῖ τὴν γῆν. Ἐμπεδοκλῆς δὲ καὶ τὴν Ἀφροδίτην, Ζείδωρον ὠνόμασεν, ὡς φησὶ Πλούταρχος (Ἐρωτικ. § 13), διὰ τὸ καὶ αὐτὴν παραιτίαν εἶναι τῆς εἰς τὸ ζῆν πρώτης ἐλεύσεως. ἀπορίας δὲ ἄξιον τί βούλεται τῷ Δ ἡ λέξις Zedeas, δι' ἧς ἡρμήνευσε τὸν Ζείδωρον. ἠπόρηται δὲ καὶ τοῦτο, τί παθὼν Ἡλιόδωρος, Ὧρον εἶναι φησὶ νῦν τὸν Νεῖλον, ὃν ἐν τοῖς πρόσθεν (σελ. 363) Ὄσιριν ἀπεκάλει· ὁ γὰρ Ὧρος υἱὸς ἦν Ὀσίριδός τε καὶ Ἴσιδος. καὶ ῥητέον ὅτι οὐχ Ἡλιοδώρου τὸ ἁμάρτημα, ἀλλ' ἁπάντων ὡς εἰπεῖν τῶν Ἑλλήνων, οἳ τὰ τῶν Αἰγυπτίων ἀναμίξαντες τοῖς ἰδίοις θρησκεύμασιν, ἄλλοι ἄλλως παρέδωκαν, νῦν μὲν πολλῶν τῶν παρ' Αἰγυπτίοις θεῶν ἰδιότητας εἰς ἕνα τὸν παρ' ἑαυτοῖς συμφορήσαντες, νῦν δ' αὖ ἕνα τῶν Αἰγυπτιακῶν, εἰς πολλοὺς τοὺς οἰκείους κατακερματίσαντες. ἔστι δὲ τοῦτο πιστώσασθαι καὶ ἐκ τῆς κατὰ τὸν Ὄσιριν ἱστορίας, ὃν τινὲς μὲν τὸν αὐτὸν τῷ Ἡλίῳ ἐπίστευον· ἄλλοι δὲ, τοῦτον μὲν, Διόνυσον ἔλεγον, τὸν δ' υἱὸν αὐτοῦ Ὧρον εἶναι τὸν Ἥλιον, τὸν ἄλλως καλούμενον Ἀπόλλωνα ἐπίστευον (Ἡροδότ. Β, ρμδ΄)· ὅθεν καὶ ὁ Ὡραπόλλωνα, κύριον ὄνομα. τοῦτον δὲ τὸν θεὸν, ΩΡ τοῖς Αἰγυπτίοις καλούμενον, ὅπερ εἰκὸς παρ' αὐτοῖς, Φῶς σημαίνειν, καθὰ καὶ παρ' Ἑβραίοις τὸ ΩΡ καὶ τὸ ΩΡΑ, Ἕλληνες ἀπραγμόνως μετέλαβον εἰς τὸν Ὧρον, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ παρ' αὐτοῖς ἤδη ὁ Ὧρος ἐσήμαινεν οὐ μόνον τὸν χρόνον, ἀλλὰ καὶ μέρος χρόνου, τὸν ἐνιαυτὸν καλούμενον, τῇ τοῦ ἡλίου περιφορᾷ μετρούμενον, καθὰ καὶ ἡ Ὥρα, μέρος τοῦ ἐνιαυτοῦ

δηλοῖ. « Ὡρογράφοι (γάρ φησιν Ἡσύχιος) ἱστοριογράφοι, τὰ » κατ' ἔτος πραττόμενα γράφοντες· Ὧροι γὰρ οἱ ἐνιαυτοί ». τούτου δ' ἄρα ἐπιλαθόμενος ὁ φιλολογώτατος Ἰατρὸς Ῥείσκιος, ἐν τοῖσδε τοῦ Πλουτάρχου (περὶ τῆς Ἡροδ. κακοηθ. § 36), « Οἱ μὲν » γὰρ Ναξίων ὡρογράφοι λέγουσι, κ. τ. λ. », οὐ δεόντως τὸ, Ὡρογράφοι, εἰς τὸ Χωρογράφοι, ἢ Πατριογράφοι μεταβλητέον εἶναι ἔκρινεν. Ὡρογράφους γὰρ ἐνταῦθα Ναξίων Πλούταρχος λέγει τοὺς τὰ κατ' ἔτος πραχθέντα, ἢ συμβάντα, Ναξίοις γεγραφότας, οὓς ἡ συνήθεια Χρονογράφους καλεῖ. οἱ δὲ Ὧροι, οὐ μόνον τοὺς ἐνιαυτοὺς, ὥς φησιν Ἡσύχιος, ἐδήλουν, ἀλλὰ καὶ αὐτὰ τὰ κατ' ἐνιαυτὸν ἱστορούμενα τῶν πραττομένων, ἅπερ οἱ μὲν Ῥωμαῖοι *Annales*, ἡ δὲ συνήθεια Χρονικὰ καλεῖ· ὅπερ ἄξιον ἐπισημήνασθαι, ἵν' ἐντεῦθεν ἔχωμεν διορθοῦσθαι τὸ ἡμαρτημένον ἐν τοῖσδε τοῦ Λουκιανοῦ (Μακροβ. § 14), « Κῦρος δὲ ὁ Περσῶν βασιλεὺς, ὁ παλαιὸς, ὡς » δηλοῦσιν οἱ Περσῶν καὶ Ἀσσυρίων ὉΡΟΙ, κ. τ. λ. » μεταγράφοντες, ὯΡΟΙ. — Στ. 4, Πατέρα καὶ δημιουργόν.] Αἰνίττεται ὅ φησιν Ἡρόδοτος (Β, ε'), παρὰ τῶν Αἰγυπτίων ἱερέων παραλαβὼν, « Αἴγυπτος... ἐπίκτητός τε γῆ καὶ δῶρον » τοῦ ποταμοῦ ». τοῦτο δὲ καὶ Ἀριστοτέλης (Μετεωρολογ. Α, ιδ') ἔπειτα, καὶ ἄλλοι τῶν Ἑλλήνων, οὕτως ἔχειν ἐπίστευσαν, τὸ τὴν Αἴγυπτον δηλονότι, ἢ γοῦν τὸ καλούμενον τῆς Αἰγύπτου Δέλτα, οὐδὲν ἄλλ' εἶναι ἢ πρόσχωσιν τοῦ Νείλου, καὶ οἱονεὶ δημιουργηθεῖσαν ὑπὸ τοῦ ποταμοῦ γῆν. — Στ. 5, Νεῖλον ἐντεῦθεν ὀνομαζόμενον.] Ἐτυμολογούμενον δηλαδὴ παρὰ τὸ ΝΕ'Α Ι'ΛΥ'Σ. ταύτην δὲ τὴν παραγωγὴν ἐγκρίνει καὶ ὁ Ἐτυμολόγος (σελ. 602) προστιθεὶς καὶ ἄλλας ταύτης οὐδὲν ἧττον γελοίας. Ὅμηρος δὲ, Αἴγυπτον, ὁμωνύμως τῇ χώρᾳ καλεῖ τὸν Νεῖλον. ὠνομάζετο δὲ τὸ πάλαι καὶ Μέλας, ὥς φησιν Εὐστάθιος ἐν τοῖς εἰς τὸν Διονύσιον τὸν περιηγητὴν (στίχ. 222). οὗτος δὲ ὁ περιηγητὴς, Νεῖλον καλεῖσθαι φησὶν ὑπ' Αἰγυπτίων, Σῖριν δὲ ὑπ' Αἰθιόπων. Νεῖλον δέ τινας φάναι ὠνομάσθαι τὸν ποταμὸν Εὐστάθιος λέγει, ἀπὸ Νείλου τινὸς ἀπογόνου Ἄτλαντος, βασιλεύσαντος τῶν ἐκεῖ· ἄλλους δὲ, ἀπό τινος Νείλου βασιλικοῦ παιδὸς, ἐκεῖ ῥίψαντος ἑαυτόν. Ἀπολλώνιος δὲ (Ἀργοναυτ. Δ, 269 μετὰ τῶν σχολ.) καὶ

Τρίτωνα τὸν Νεῖλον ὠνομάσθαι τὸ πάλαι δηλοῖ. — Στ. 10, Οὐδέν.] Αἱ ΑΑ, Οὐδένα. — Στ. 11, Ἄνικρυς.] Προπαρωξυτόνησα τὸ τοῖς πρὸ ἐμοῦ ὀξυτονηθέν. τί δὲ διαφέρει τὸ Ἄνικρυς τοῦ Ἀνικρὺ, διδασκέτω σε Ἀμμώνιος. — 12, Τῶν γοῦν . . . εἰς ψήφους μεταλαμβανομένων κ. τ. λ.] Ἀντὶ τοῦ Γοῦν, ἐν τῇ Β ἐμφέρεται, Γάρ. Ψήφους δ' ἐνταῦθα λέγει τὰ σημεῖα τῶν ἀριθμῶν, ἅπερ οἱ Γάλλοι *Chiffres* καλοῦσι. καὶ ὁ μὲν νοῦς πρόδηλος, καίπερ τῆς Ἡλιοδώρου ὀξύτητος ἀνάξιος, Τὸ τοῦ Νείλου ὄνομα εἰς ἀριθμοὺς ἀναλυόμενον τὴν ποσότητα τῶν τξέ τοῦ ἐνιαυτοῦ ἡμερῶν ἀποτελεῖ· ὃ δὲ μάλιστα ἐπισημήνασθαι ἄξιον ἐνταῦθα, ὡς συντελοῦν εἰς τὴν τῶν Ἀρχαίων συγγραφέων κατανόησιν, ἐκεῖνό ἐστιν, ὅτι ἐπεὶ τὰ εἰκοσιτέσσαρα γράμματα, οὐ μόνον στοιχεῖά ἐστι τῶν συλλαβῶν καὶ τῶν λέξεων, ἀλλὰ καὶ ὡς ἀριθμῶν δηλωτικὰ παραλαμβάνεται, οἷον τὸ ᾱ τῆς μονάδος, τὸ β̄ τῆς δυάδος, κ. τ. λ. οὐκ ἀπεικότως ἡ συνήθεια Ψηφία αὐτὰ ἐκάλεσεν. ὅθεν ἐξηγείσθω μὲν ὁ Ἡρόδοτος (Β, λϛ´), ἐν οἷς φησὶ, «Γράμματα γράφουσι » καὶ λογίζονται ψήφοισι, Ἕλληνες μὲν ἀπὸ τῶν ἀριστερῶν » ἐπὶ τὰ δεξιὰ φέροντες τὴν χεῖρα, Αἰγύπτιοι δὲ ἀπὸ τῶν » δεξιῶν ἐπὶ τὰ ἀριστερά »· ἐξηγείσθω δὲ καὶ ὁ Σικελιώτης Διόδωρος (ΙΒ, ιγ´), λέγων διὰ τῆς Γραμματικῆς « Τὰ πλεῖ» στα καὶ χρησιμώτατα τῶν πρὸς τὸν βίον ἐπιτελεῖσθαι, ψή» φους, ἐπιστολὰς, διαθήκας, νόμους κ. τ. λ. ». ἐν ἀμφοτέροις γὰρ τοῖσδε τοῖς συγγραφεῦσι, τὰς ψήφους οὐχ ἑτέρας παρὰ τὰ γράμματα, ἀλλ' αὐτὰ ταῦτα τὰ γράμματα καὶ στοιχεῖα τῶν λέξεων, εἰς ἀριθμῶν σημεῖα μεταλαμβανόμενα, ἐκληπτέον. — Στ. 20, Κύτος ἅπαν τὸ ποτάμιον.] Ὁ Α ἡρμήνευσε, *Tout ce que contient le canal d'icelui*· ὁ δὲ Λ οὐδὲ συνῆκεν ὅλως. ὁ Τριλλέρος, ἡμαρτῆσθαι τὸ χωρίον ὑπονοήσας, μετέβαλλεν (Παρατηρ. κριτικ. σελ. 210) εἰς τὸ, Κῦδος ἅπαν τὸ ποτάμιον, ἢ Κῦδος ἁπάντων ποταμῶν. μακρῷ δὲ πιθανωτέρως διωρθοῦτο ὁ Οὐεσσελίγγιος (Σημ. εἰς τὸν Σικελ. Διόδ. Γ, ιε´), Κῆτος ἅπαν τὸ ποτάμιον, Κήτη λέγων τοὺς Κροκοδείλους, τοὺς Ἱπποποτάμους, καὶ ἄλλα τοιαῦτα ζῶα τοῦ Νείλου, ἅπερ ὡς θεοὺς ἐσεβάζοντο Αἰγύπτιοι. τὸ μὲν γὰρ Κύτος τοῦ ποταμοῦ οὐδὲν ἄλλο σημαίνειν δύναται, ἢ αὐτὸ τὸ κοίλωμα

Ππ 2

(τὸ ἐν τῇ συνηθείᾳ Ῥυάκιον), δι' οὗ ῥέει ὁ ποταμὸς, ὃ οἱ μὲν Ἀρχαῖοι Ἔλυτρον καὶ Ῥεῖθρον ἔλεγον, οἱ δὲ μετὰ τὸν Ἡλιόδωρον καὶ Κοίτην ὠνόμασαν, ὡς ἐν αὐτῇ κοιταζομένου δῆθεν τοῦ ποταμοῦ (ὅθεν καὶ τὸ τῶν Ἰταλῶν *Letto del fiume*). εἶπεν οὖν ἂν ἀκύρως ὅτι ἡ Αἰθιοπία παραπέμπει τὸ κύτος τοῦ Νείλου ἄχρις Αἰγύπτου, χωρὶς εἰ μή τις τῷ Κύτος ποτάμιον, ἀντὶ τοῦ Σῶμα ποτάμιον, ἔκ τινος ποιητοῦ παρῳδήσαντα χρήσασθαι ὑπολάβοι· σημαίνει γὰρ τὸ Κύτος καὶ σῶμα ἢ ὄγκον, ὥς φησιν Ἡσύχιος. καὶ γίνεται τοῦτο πιθανὸν οὐ μόνον ἐκ τοῦ τραγικοῦ Χαιρήμονος, ὃς Ποταμοῦ σῶμα εἴρηκε τὸ ὕδωρ (παρὰ τῷ Ἀθην. Β, σελ. 43), οἰδαινούσῃ καὶ διθυραμβικῇ χρησάμενος τῇ λέξει, ἀλλὰ καὶ ἐκ τοῦ Στράβωνος (ΙΖ, σελ. 786), ὃς περὶ αὐτοῦ τούτου τοῦ Νείλου τὸν λόγον ποιούμενος, «Τὸ κατ' «εὐθεῖαν σῶμα τοῦ Νείλου,» διαῤῥήδην οὕτω φησί. καὶ ταῦτα μὲν περὶ τῆς γραφῆς. οὐ μόνον δὲ, ὡς ἐκ τῆς Αἰθιοπίας ῥέοντα, τοῖς Αἰθίοψι προσήκειν τὸν Νεῖλον ἐπίστευον, ἀλλ', ὥς φησι Φιλόστρατος (ἐν Ἀπολλων. Τυαν. βίῳ Ϛ, κϛ'), ἐκ Πινδάρου λαβὼν, καὶ Δαίμονα ταμίαν ἐφεστάναι ταῖς πηγαῖς αὐτοῦ, πρὸς τὸ τῆς ῥεύσεως σύμμετρον, ἐτερατεύοντο. — Στ. 23, Ἔφασαν οἱ ἱερεῖς.] Προσέθηκα τὸ ἄρθρον, ὡς ἀναγκαῖον. σημείωσαι δὲ ὅπως ὀξέως ἅμα καὶ διὰ βραχέων παρέστησε καὶ τὴν ἀνδραποδώδη τῶν Αἰγυπτίων ἱερέων κολακείαν, καὶ τὴν σεμνὴν καὶ βυσσίνην ὄντως τοῦ βασιλέως παραίτησιν τῆς τοῦ θεοῦ προσηγορίας. ἔοικε δὲ Ἡλιόδωρος, ἔν τε τῷ παρόντι βιβλίῳ καὶ τῷ ἐχομένῳ, χρηστοῦ βασιλέως εἰκόνα πλάσασθαι τὸν Ὑδάσπην, ἀπιδὼν εἰς τὸν Ῥωμαϊκὸν Αὐτοκράτορα Θεοδόσιον, τὸν φερωνύμως ἐπικληθέντα Μέγαν.

Σελ. 382, στ. 1, Εἰς τὴν σκηνὴν εἰσελθών.] Παρέλιπε ταύτας τὰς λέξεις ὁ Α. ἐν δὲ τῇ Β (ᾗ κατηκολούθησε καὶ ὁ Λ) ἀντὶ τοῦ Σκηνὴν γράφεται, Συήνην. — Στ. 8, Στρατιᾷ.] Κἀνταῦθα καὶ ἐν τοῖς ἑξῆς, ὡς καὶ ἐν τοῖς πρόσθεν, διώρθωκα τὴν γραφήν. τὸ δ' ἐχόμενον, Πρὸς ἀγορασίαν, ἐν ταῖς ΚΑ καὶ ΑΛ γράφεται, Καθ' ἀγορασίαν. σημείωσαι δὲ καὶ τὴν ἀγορασίαν, τῆς παρακμασάσης Ἑλλάδος λέξιν, καίπερ τανῦν, Ἀγόρασιν, Ἑλληνικώτερον ἡμῶν λεγόντων, οἱ πολλὰ μέντοι ἄλλα τῶν εἰς ις διὰ τοῦ ια σχηματίζειν εἰώθαμεν· φαμὲν

γὰρ, Κλεψία, Πατησία, Ὑπόκρισις καὶ Ὑποκρισία, Ὑβρισία, Χώρισις καὶ Χωρισία, κ. τ. λ. τὸ δὲ καταχωρισθὲν εἰς τὸ Λεξικὸν τοῦ Δουκαγγίου, Ἀγοράδα, ὡς σημαῖνον τὴν Ἀγόρασιν ἢ Ἀγορασίαν, εἰ μὴ ἡμάρτηται (μυρία γάρ ἐστιν ἐν τῷ Λεξικῷ τούτῳ τὰ ἐπανορθώσεως χρήζοντα), τῇ τῶν πρὸ ἡμῶν βαρβαρότητι ἀναγραπτέον. — Στ. 16, Καὶ ὅς.] Τουτέστι, Καὶ ἐκεῖνος. ἀναφέρεται δὲ εἰς τὸ ἐχόμενον εἶπεν. οἱ πρὸ ἐμοῦ οὐδὲ τὸ μικρὸν τοῦτο ἁμαρτημάτιον, Καὶ ὡς, διορθῶσαι ἐτόλμησαν. — Στ. 20, Ξιφιστῆρα.] Ξιφιστὴρ, ὁ καὶ Ξιφιστὴς τῷ Ἡσυχίῳ καλούμενος, κατὰ δὲ Μακεδόνας, ὡς αὐτός φησιν, Ἀορτεὺς, ἐστὶν ὁ ζωστὴρ ἢ τελαμὼν, ἐξ οὗ ἤρτηται τὸ ξίφος (ὁ τοῖς Γάλλοις λεγόμενος *Baudrier*). ὁ δὲ Α, διὰ τοῦ *Fourreau* ἑρμηνεύσας, ἐπὶ τῆς Ξιφοθήκης ἐξεδέξατο τὴν λέξιν. ὅτι δὲ πολυτελέστατοι ἦσαν οἱ τῶν βαρβάρων στρατηγῶν ἢ Βασιλέων Ξιφιστῆρες, δηλοῖ καὶ Πλούταρχος (Πομπ. § 42) φάσκων τὸν Μιθριδάτου ξιφιστῆρα ἀπὸ τετρακοσίων πεποιῆσθαι ταλάντων.

Σελ. 383, στ. 8, Οὐδὲ λίθοι.] Οὕτως αἱ ΑΑ. ἀντὶ δὲ τοῦ, Λίθοι ἐν ταῖς ΚΑ ἑνικῶς, Λίθος. — Στ. 10, Ἀποκείμενον.] Ἴσως ἡ ἀρχαία γραφὴ ἦν, Ἐναποκείμενον, μετὰ διπλῆς προθέσεως, ὡς καὶ ἐν τοῖς πρόσθεν (σελ. 181) εἴρηκε. Στ. 14, Παρὰ σοί.] Ἐν ταῖς ΚΑ, Παρὰ σοῦ· ὅπερ ὤφειλον προελέσθαι. σημείωσαι καὶ τὴν λέξιν Μεγαλοδωρεά νεωτερίζουσαν· παρὰ γὰρ Λουκιανῷ, Ἡρωδιανῷ καὶ τοῖς κατ' αὐτοὺς καὶ μετ' αὐτοὺς ἀκμάσασιν εὕρηται· — Στ. 18, Εἰς τοὺς σκευοφόρους.] Ἀπήλειψα τὸν σύνδεσμον, οὗ τὴν νοθείαν συνῆκαν καὶ οἱ μεταφράσαντες ἀμφότεροι. — Στ. 25, Εἰς τὴν τότε ὥραν.] Ἤγουν μέχρις ἐκείνης τῆς ὥρας· ἡ διόρθωσις ἐκ τῶν ΑΑ.

Σελ. 384, στ. 9, Καὶ τὰ τέλη.] Σημείωσαι τὰ Τέλη πληθυντικῶς πολὺ ὂν ἐν τῇ συνηθείᾳ· φαμὲν γὰρ, Πρὸς τὰ τέλη τοῦ μηνὸς, τοῦ χρόνου, τοῦ χειμῶνος, τοῦ καλοκαιρίου κ. τ. λ. καὶ Καλὰ τέλη, ὅθεν καὶ ῥήματα σύνθετα τὸ Καλοτελεύω, καὶ Κακοτελεύω. οὐ μετακινητέον οὖν τὴν γραφὴν τοῦ παρὰ τῷ Λόγγῳ (Ποιμενικ. Α, σελ. 18) χωρίου τουτουῒ, « Ἦρος » οὖν ἤδη τέλη, καὶ θέρους ἀρχὴ, καὶ πάντα ἐν ἀκμῇ », ὡς

ἔδοξέ τινι τῶν κριτικῶν, καὶ μάλα σοφῷ. καὶ γὰρ οὐδὲ παρὰ τοῖς Ἀρχαίοις ἠγνόηται ὅλως ὁ παρὰ τοῖς ὕστερον ἐπιπολάσας πληθυντικὸς σχηματισμὸς τῶν τοιούτων· αὐτίκα Ἱπποκράτης (Ἀφορισμ. Β, λ΄), « Περὶ τὰς ἀρχὰς καὶ τὰ τέλη » πάντα ἀσθενέστερα· περὶ δὲ τὰς ἀκμὰς ἰσχυρότερα ». — Στ. 13, Συμπλοκή.] Γνησιώτερον ἴσως τὸ ἐν ταῖς ΚΑ καὶ ΑΑ δίχα προθέσεως γραφόμενον, Πλοκή· ἔχει γάρ τι σεσοφισμένον καὶ ταῖς ἀκοαῖς προσιστάμενον ἡ παρήχησις τῶν δύο προθέσεων, Σύμπασα συμπλοκή· — Στ. 17, Αἰχμαλώτους.] Οὐκ ὤκνησα μεταῤῥυθμίσαι τὴν γραφὴν εἰς τὸ πληθυντικὸν, τοῦτο καὶ τῶν πρόσθεν εἰρημένων καὶ τῶν ἐχομένων σαφῶς δηλούντων. καὶ ὁ Α δὲ πληθυντικῶς ἡρμήνευσε *Si le Roy faisoit un present de nous, comme d'esclaves, à quelqu'un.* ὁ δὲ Λ τὸ Αἰχμάλωτον ἐπιθετικῶς ἐξεδέξατο πρὸς τὸ δῶρον· τί δ' αὐτῷ βούλεται τὸ Αἰχμάλωτον δῶρον, αὐτὸς ἂν εἰδείη. — Στ. 20, Νυνὶ μὲν γὰρ . . . ἀκηκόαμεν.] Λείπει τὸ Μὲν ἐκ τῶν ΑΑ· ἀντὶ δὲ τοῦ Ἀκηκόαμεν γράφεται ἐν αὐταῖς, Ἀκήκοας· ἐν δὲ ταῖς ΚΑ παρὰ τοῦτο καὶ, Ἀκήκοα. — Στ. 24, Παραβαθῆναι.] Οὕτως ἡ Β, ᾗ συνᾴδουσι καὶ αἱ ΑΑ. — Στ. 25, Ἐκτετιμηκότων.] Ἐπιτείνει ἐνταῦθα ἡ πρόθεσις. ἐν ταῖς ΚΑ, Τετιμηκότων, δίχα προθέσεως· ἐν δὲ τῇ Β καὶ ταῖς ΑΑ, Ἀνεκτετιμηκότων, μετὰ διπλῆς τῆς προθέσεως, κακῶς παραπλασθείσης τῆς τελευταίας τοῦ, Εὐσέβειαν, τῇ ἐχομένῃ λέξει, οἷα φιλεῖ γίγνεσθαι πολλάκις.

Σελ. 385, στ. 1, Τὸ ὅλον.] Οὕτως αἱ ΑΑ, αἷς συνομολογεῖ πως καὶ ἡ ἡμαρτημένη γραφὴ τῶν ΚΑ, Τὸ ὅλων. — Στ. 2, Τὰ καθ' ἡμᾶς.] Ἀμείνων ἴσως ἡ γραφὴ τῶν ΚΑ, Τὰ καθ' ἑαυτούς. — Στ. 4, Λάθωμεν.] Ἐκ τῶν ΑΑ. — Στ. 5, Ὑφιστάμενοι.] Ἔκ τε τῶν ΚΑ καὶ ΑΑ. — Στ. 13, Καὶ συνεκθεμένοις.] Οὕτως ἡ Β διὰ τοῦ συμπλεκτικοῦ, ᾗ κατηκολούθησαν καὶ ἀμφότεροι οἱ μεταφρασταί. — Στ. 16, Ὅρμοι.] Ἐν ταῖς ΑΑ, Ὅρμος. ἀντὶ δὲ τοῦ ἐχομένου, Προσάπτοντες, ἐν τῇ Β, Προσάπτουσιν. — Στ. 20, Θεάγενες.] Αἱ ΑΑ μετὰ τοῦ κλητικοῦ μορίου, Ὦ Θεάγενες. — Στ. 23, Τοῦτο οὖν μὴ προώμεθα.] Ἔκ τε τῆς ἡμαρτημένης τῶν πρὸ ἐμοῦ, Τοῦτο οὖν προώμεθα, καὶ τῆς ἐν ταῖς ΚΑ καὶ ΑΑ, Τοῦτο οὖν μὴ

παρωσόμεθα, διεσκεύακα τὴν γραφὴν, ἧ δὴ καὶ ὁ Κ ἠρέσκετο. διέλυσα δὲ καὶ τὸν ἀδιανόητον παρὰ πᾶσι σύνδεσμον, Διότι, εἰς τρία μέρη λόγου, Δι' ὅ, τι. εἰ δέ τις βούλοιτο πάντως περιγράφειν τὴν ἀπαγόρευσιν, τηνικαῦτα διασταλτέον ἐρωτηματικῇ στίξει μετὰ τὸ φανείη, ἵνα ᾖ ὁ νοῦς (ὡς ἡρμήνευσαν ὁ Λ καὶ ὁ Α), Βούλει οὖν, ὦ Θεάγενες, ἵνα καταμελήσωμεν καὶ καταφρονήσωμεν τούτου, ἤγουν τῆς ἀποῤῥήτου μητρικῆς συμπαθείας, δι' ἣν καὶ τὰ ἄλλα γνωρίσματα ἂν πιστὰ φανείη;

Σελ. 386, στ. 1, Τοιαῦτα.] Ἐν τῇ Β, Ταῦτα. — Στ. 2, Συμπαρῆν δὲ καὶ ὁ.] Προσείληφα τὸν Καὶ ἐκ τῶν ΑΑ, οὗ τὴν χρείαν καὶ δίχα τῆς ἐκ τῶν Ἀντιγράφων διδασκαλίας οὐ χαλεπὸν ἦν συνιδεῖν. — Στ. 4, Ἱλήκοιτε.] Οὕτως ἡ Β. κακῶς ὁ Κ (ὅπερ ἐπελαθόμην σημειώσασθαι ἐν αὐτῇ τῇ σελίδι) καὶ οἱ μετ' αὐτὸν (πλὴν τοῦ Μ), Ἱλείκοιτε. — Στ. 14, Ὁπόθεν.] Ἐκ τῶν ΑΑ. — Στ. 16, Ἔφη.] Αἱ ΑΑ, Εἶπεν. Στ. 20, Πρὸς τοὺς παρόντας εἶπεν, εἴπερ κ.τ.λ.] Οὐκ ὤκνησα ἀποκαταστῆσαι τὸ Εἶπεν, καταποθὲν δηλονότι διὰ τὴν ὁμοιότητα ὑπὸ τοῦ προσεχοῦς Εἴπερ. ἔοικε δὲ καὶ ὃ φθὰς ὁ λόγος ἐδήλωσεν ἐκ τῶν ΑΑ Εἶπεν, ὡς διάφορον γραφὴν τοῦ Ἔφη, ἐνταῦθα μᾶλλον προσήκειν. — Στ. 22, Μέλλοντα.] Ἐν ταῖς ΚΑ, Μέλλον. — Στ. 25, Σπουδάζεται γὰρ ἥδε ἡ γλῶσσα κ.τ.λ.] Ἀντὶ τοῦ Ἥδε κακῶς αἱ ΚΑ, Ἤδη, καὶ, Ἤδέ. Φιλόστρατος ἐν Ἀπολλωνίου βίῳ (Β, λα') φησὶν, ὅτι οἱ παρ' Ἰνδοῖς σοφοὶ, οἱ καὶ Βραχμᾶνές τε καὶ Γυμνοσοφισταὶ λεγόμενοι οὐ μόνον αὐτοὶ σινίασι τὴν Ἑλλάδα φωνὴν, ἀλλὰ καὶ « Οὓς » ἂν ὑποδέξωνται τὴν Ἑλλήνων φωνὴν εἰδότας, ἀγαπῶσι » μᾶλλον, ὡς ἐς τὸ ὁμόηθες αὐτοῖς ἤδη προσήκοντας ».

Σελ. 387, στ. 1, Ἀποκρινομένη.] Οὕτως αἱ ΚΑ. — Στ. 4, Συνίεμεν.] Ἐκ τῶν ΚΑ. — Στ. 10, Φύντας.] Ἀντὶ τοῦ Φύσαντας, περὶ οὗ εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 72). — Στ. 14, Καὶ Εὐνοῦχος.] Προσείληφα τὸν σύνδεσμον ἐκ τῶν ΑΑ. — Στ. 15, Τῶν Ὀροονδάτου κτῆμα τὸ τιμιώτατον.] Γραπτέον οἶμαι ἐνταῦθα, Τῶν Ὀροονδάτου κτημάτων τὸ τιμιώτατον, ὡς τῇ Ἡλιοδώρου κομψείᾳ, καὶ ὅλως τῇ τῶν χαριεστέρων χρήσει καταλληλότερον. εἴρηκε δὲ καὶ ἀνωτέρω

(σελ. 346), « Κτημάτων τοῦ Σατράπου τὸ τιμιώτατον », περὶ αὐτοῦ τούτου λέγων. — Στ. 19, Ἔχει τι ζηλότυπον ἔμφυλον κ. τ. λ.] Προσείληφα ἐκ τῶν ΚΑ, ΑΑ καὶ ΔΑ635, τὴν λέξιν, Ἔμφυτον. — Στ. 24, Ἐπεσκόπει.] Οὕτως αἱ ΑΑ μετὰ τῆς προθέσεως· ἐν αὐταῖς δὲ καὶ τὸ πρὸ τούτου Παριόντας ἐν τάξει, ἀνεστραμμένως γράφεται, Ἐν τάξει παριόντας.

Σελ. 388, στ. 3, Δέκα δὲ νέους.] Ἔτρεψα τὸν Δὴ εἰς τὸν Δὲ· ἔχεται γὰρ τοῦ προηγησαμένου ἐπιμερισμοῦ. — Στ. 5, Ἄγεσθαι.] Ἀπήλειψα τὴν πρόθεσιν, οὐδὲν οὖσαν ἄλλο ἢ ἡμαρτημένην ἐπανάληψιν τῆς τελευταίας τοῦ Χρείαν. — Στ. 9, Συνῃρηκώς.] Κομψῶς τοῦτο· σημαίνει γὰρ τὸ Συναιρῶ τὸ Εἰς ἓν συναγαγὼν ἢ συστρέψας αἱρῶ, ἢ καὶ ἀφανίζω. πρῶτος ἐχρήσατο Ὅμηρος (Ἰλιάδ. Π, 740),

Ἀμφοτέρας δ' ὀφρῦς σύνελεν λίθος . . . . . . .

χαίρει δὲ τῇ λέξει καὶ Πλούταρχος, ὃς καὶ, Συνῃρηκὼς τὸν πόλεμον, παρεκινδύνευσεν εἰπεῖν (Λυσάνδρ. § 11) ἀντὶ τοῦ, Πέρας ἐπιθεὶς τῷ πολέμῳ. τὸ δὲ ἐχόμενον ὅλον τουτὶ, « Καὶ τὰς ἐξ ἀρχῆς προφάσεις τῆς ἔχθρας, τάς τε Φίλας » καὶ τὰ Σμαράγδεια μέταλλα ὑπ' ἐμαυτῷ πεποιημένος », λείπει ἐκ τῆς Β. — Στ. 10, Σμαράγδεια.] Γέγραφα διὰ διφθόγγου, ὡς γέγραπται καὶ ἐν τοῖς πρόσθεν (σελ. 100). οἱ λοιποὶ πάντες διὰ τοῦ Ι, Σμαράγδια. ἀντὶ δὲ τοῦ ἐχομένου, Ὑπ' ἐμαυτῷ, ἐν ταῖς ΑΑ γράφεται, Ἐπ' ἐμαυτῷ. — Στ. 18, Τῶν ἐξ ἀρχῆς Σατράπευε.] Ὀρθώτερον ἐνταῦθα μετὰ γενικῆς τὸ Σατραπεύω, περὶ οὗ ἐν τοῖς πρόσθεν (σελ. 88) εἰρήκαμεν. — Στ. 22, Βουλόμενον.] Ἐκ τῶν ΑΑ. — Στ. 23, Εἰ αὖθις.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ· ἐν δὲ τῇ Β, Εἰσαῦθις, μόνον ἄνευ τοῦ συναπτικοῦ.

Σελ. 389, στ. 1, Εἰς δεκάδα.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ — Στ. 6, Τὴν δεξιὰν ἐπὶ θατέραν παραλλάξας.] Ἡμάρτηται καὶ πάλιν τὸ Θατέραν· ὤφειλε γὰρ εἰπεῖν, Τὴν ἑτέραν. σημείωσαι δὲ καὶ τὸν Περσικὸν τοῦ προσκυνεῖν τρόπον, τὸν αὐτὸν σχεδὸν ὄντα τοῦ παρὰ τοῖς Τούρκοις ἐν χρήσει· κλίνοντες γὰρ οὗτοι τὴν κεφαλὴν, ἐν ταὐτῷ καὶ τὰς χεῖρας προτείνουσι κυκλοτερῶς, καὶ ἐπιβάλλοντες τὴν δεξιὰν ἐπὶ τὴν ἑτέραν ἀμφοτέρας τῷ στήθει προσάγουσιν. ὁ δὲ Λουκιανὸς (Πλ. ἢ Εὐχ. § 30)

30), εἴτε παίζων, οἷα φιλεῖ τὰ πολλὰ, εἴτε καὶ τῶν τὰ μὴ ὄντα ἱστορησάντων πυθόμενος, ἐναντία τοῖς εἰρημένοις λέγει περὶ τῆς Περσικῆς προσκυνήσεως, « Ὑποκύψας εἰς τὸ Περσικὸν » προσκυνῶ σε, περιαγαγὼν εἰς τοὐπίσω τὼ χεῖρε ». — Στ. 8, Ἕτερον.] Παρὰ τὸν βασιλέα Περσῶν δηλονότι. — Στ. 9, Τούτῳ τῷ τρόπῳ.] Αἱ ΚΑ καὶ ΑΑ, Τοῦτον τὸν τρόπον. — Στ. 10, Εἰ βασιλέα γνωρίζω τὸν κ. τ. λ.] Ἡ γραφὴ ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 18, Εἰ δέ τι πάθοιμι.] Ἐὰν δὲ ἀποθάνω. Στ. 20, Τὸν Ὑδάσπου.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ.

Σελ. 390, ΗΛΙΟΔΩΡΟΥ ΑΙΘΙΟΠΙΚΩΝ ΔΕΚΑΤΟΝ.] Προσθετέον ἐνταῦθα ὃ κατ' ἀρχὰς τοῦ δευτέρου τῶν Αἰθιοπικῶν ὤφειλον σημειώσασθαι. ἐν πάσαις ταῖς πρὸ τῆς ἡμετέρας ἐκδόσεσι, καὶ δὴ καὶ ταῖς διαφόροις γραφαῖς, τὸ μὲν πρῶτον καὶ δέκατον τῶν Αἰθιοπικῶν, οὐδετέρως ἐμφέρεται, οἷον, Ἡλιοδώρου Αἰθιοπικῶν πρῶτον, καὶ Ἡλιοδώρου Αἰθιοπικῆς (ὁ Μ Αἰθιοπικῶν) ἱστορίας δέκατον, συνυπακουομένου δηλονότι τοῦ Βιβλίου· τὰ δὲ μεταξὺ ὀκτὼ βιβλία ἅπαντα ἀρσενικῶς ἐπιγράφεται, Ἡλιοδώρου Αἰθιοπικῶν λόγος Β, Γ, κ. τ. λ. ταύτην ἡμεῖς τὴν ποικιλίαν, ὡς τοῖς Ἀντιγραφεῦσι καινοτομηθεῖσαν, περιεγράψαμεν ὅλως, τὸν τρόπον τῆς ἐπιγραφῆς τοῦ πρώτου βιβλίου, καὶ ἐν τοῖς λοιποῖς ἅπασι φυλάξαντες. — Στ. 1, Πραχθέντα.] Ἴσως, Προαχθέντα. — Στ. 2, Παρὰ τοσοῦτόν μὲν.] Ἀντὶ τοῦ Μὲν ἐν τῇ Β, Μόνον. Στ. 3, Δι' εὐνομίαν ἀνδρὸς μεταβαλοῦσαν.] Αἱ ΑΑ, Μεταβάλλουσαν· ἐν δὲ ταῖς ΚΑ αὐτό τε τοῦτο καὶ, Μεταλαβοῦσαν. ἔοικε δ' ἐξεῤῥυηκέναι τοῦ χωρίου ἡ γενικὴ Ἑνὸς, γράψαντος, ὡς ἔμοι γε δοκεῖ, τὴν ἀρχὴν Ἡλιοδώρου, Δι' ἑνὸς εὐνομίαν ἀνδρὸς (ἢ Δι' εὐνομίαν ἀνδρὸς ἑνὸς) μεταβαλοῦσαν. οὕτω γὰρ εἰώθασι λέγειν οἱ χαριέστεροι ἐν ὁμοίᾳ τῇ χρείᾳ. αὐτίκα Ἰσοκράτης (Πανηγυρ.), « Ἑνὸς δὲ ἀνδρὸς εὖ φρονή» σαντος, ἅπαντες ἂν ἀπολαύσειαν. . . τῆς ἐκείνου διανοίας »· ᾧ παρατεθείσθω καὶ Πλούταρχος (Λυσάνδρ. § 11), « Ὃς » (πόλεμος) μυρίας μορφὰς ἀγώνων καὶ πραγμάτων μετα» βολὰς ἀμείψας. . . ἑνὸς ἀνδρὸς εὐβουλίᾳ καὶ δεινότητι συν» ήρητο »· καὶ αὖθις (Δίων. § 11) « Προσδοκήσας δι' ἑνὸς » ἀνδρὸς, ὥσπερ ἡγεμονικοῦ μέρους, ἐκκαθαρθέντος, ὅλην

» ἰατρεύειν Σικελίαν νοσοῦσαν ». — Στ. 9, Παραποταμίας.] Διώρθωκα τὸ ἡμαρτημένον παρὰ πᾶσι, Παραποταμίαις.— Στ. 10, Θύσας τῷ Νείλῳ.] Θεοὶ γὰρ οἱ ποταμοὶ παρὰ βαρβάροις ὁμοίως τε καὶ Ἕλλησι. διὸ καὶ Ἀχιλλεὺς παρὰ τῷ Ποιητῇ (Ἰλιάδ. Ψ, 144) φησὶ τὸν πατέρα Πηλέα εὔξασθαι τῷ ποταμῷ Σπερχειῷ, νοστήσαντος τοῦ υἱοῦ εἰς τὴν πατρίδα,

. . . . . . Κόμην κερέειν, ῥέξειν θ' ἱερὴν ἑκατόμβην.

καὶ διαβατηρίους δὲ θυσίας προσάγειν ἔθος εἶναι τοῖς ποταμοῖς εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 161).

Σελ. 391, σl. 8, ΥΔΑΣΠΗΣ.] Ἐν ταῖς ΑΑ, Ὁ ΥΔΑΣΠΗΣ, ἐνάρθρως. — Στ. 12, Προφητείαν ὑμῶν.] Ἀντὶ τοῦ, Ὑμῶν, ἐν τῇ Β, Ὅμως. — Στ. 13, Τῷ γράμματι προδεξιούμενος.] Οὕτως αἱ ΑΑ. σημείωσαι δὲ τὸ Γράμμα, ἀντὶ τῆς Ἐπιστολῆς, ὡς καὶ ἡ συνήθεια λέγει, ἣ καὶ Γραφὴν αὐτὴν καλεῖ, καθὰ καὶ αὐτὸς Ἡλιόδωρος μικρῷ πρόσθεν (σελ. 354) ἐκάλεσε. καὶ τὴν μὲν Γραφὴν ἔστι καὶ ἐκ Θουκυδίδου (Α, ρκθ´) πιστώσασθαι εἰπόντος « Τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου· Ξέρξης δὲ » ἥσθη τε τῇ ἐπιστολῇ κ. τ. λ. »· ἀντὶ δὲ τοῦ Γράμμα ἡ Ἀρχαιοτέρα χρῆσις Γράμματα λέγειν προείλετο πληθυντικῶς, ὡς καὶ ἐν τῇ συνηθείᾳ ἔστιν ὅτε. αὖθις ὁ Θουκυδίδης (Ζ, η´), « Ἔγραψεν ἐπιστολὴν . . . καὶ οἱ μὲν ᾤχοντο φέροντες οὓς » (ἴσ. οἷς) ἀπέστειλε τὰ γράμματα ». ταὐτὸ δὲ τοῦτο συνέπεσε καὶ τῇ Λατίνων φωνῇ πάθημα· *Literæ* γὰρ πληθυντικῶς παρὰ τοῖς ἀρχαίοις Ῥωμαίοις καλουμένης τῆς ἐπιστολῆς, οἱ ὕστερον λεληθότως εἰς τὸ ἑνικὸν, *Litera*, ἐξεῤῥύησαν, ὅθεν τὸ τῶν Ἰταλῶν *Lettera*, καὶ τὸ τῶν Γάλλων *Lettre*. — Στ. 16, Εὐαγεστέρας.] Ἐν τῇ Β, Εὐεργεστέρας. —Στ. 23, Τοῖς πατρίοις ἡμῶν θεοῖς.] Ἀντὶ τοῦ Ἡμῶν ἐν τῇ Β, Ἡμῖν. Πατρίους ὀνομάζει θεοὺς Ἥλιον καὶ Σελήνην καὶ Διόνυσον. παρὰ δὲ τούτους καὶ τὴν Ἶσιν καὶ τὸν Πᾶνα, πρὸς δὲ, καὶ Ἡρακλέα καὶ Δία σέβεσθαι φασὶ τοὺς ἀνώτερον Μερόης οἰκοῦντας. ὀλίγους δέ τινας τῶν Αἰθιόπων καθόλου θεοὺς οὐ νομίζειν εἶναι· διὸ καὶ τὸν Ἥλιον, ὡς πολεμιώτατον, ὄντα κατὰ τὰς ἀνατολὰς βλασφημήσαντες φεύγουσι πρὸς τοὺς ἑλώδεις τῶν τόπων (Διοδ. Σικ. Γ, η´, καὶ Στραβ. ΙΖ, σελ. 822). — Στ. 24, Πρὸ τοῦ ἄστεος ὀργάδα.] Ἡ τοῖς θεοῖς ἀφιερωμένη ὀργὰς αὕτη ἡ πρὸ

τοῦ ἄστεος, ἣ αὐτὴ ἔοικεν εἶναι καὶ ἣν Ἡρόδοτος, (Γ, ιη') Τράπεζαν Ἡλίου καλεῖ, «Ἡ δὲ τράπεζα τοῦ Ἡλίου τοιήδε » τις λέγεται εἶναι· ΛΕΙΜΩΝ ἐστι ἐν τῷ ΠΡΟΑΣΤΕΙΩ, ἐπί- » πλεος κρεῶν ἑφθῶν πάντων τῶν τετραπόδων κ. τ. λ.». ταύτην καὶ γὰρ Παυσανίας (ς, κς') ὑπὸ τῶν ὑπὲρ Συήνην Αἰθιόπων μυθεύεσθαι λέγων, αὐτοὺς τούτους τοὺς ἐν τῇ Μερόῃ Αἰθιόπας δῆλός ἐστιν αἰνιττόμενος· ὁ δὲ Πομπόνιος Μέλας (Γ, θ'), καὶ σαφέστερον παρὰ τούτοις εἶναι λέγει τὴν τράπεζαν. Ὀργάδα δὲ αὐτὴν Ἑλληνικώτερον, ἢ μᾶλλον εἰπεῖν Ἀττικώτερον ἐκάλεσεν ὁ πολυμαθὴς καὶ κομψὸς Ἡλιόδωρος· ὡς γὰρ φησὶν Ἑλλάδιος (παρὰ Φωτ. Κώδ. σοθ'), «Ὀργὰς μὲν κοινῶς » πᾶσα ἡ γῆ, ὅση ἐπιτηδεία πρὸς καρπῶν γονάς· Ὀργάδα δὲ » ἰδίως ἐκάλουν οἱ Ἀθηναῖοι τὴν ταῖν θεαῖν ἀνειμένην τῆς » Ἀττικῆς μεταξὺ καὶ τῆς Μεγαρίδος». ἄλλοι δ' ἄλλως ἑρμηνεύουσι τὴν Ὀργάδα, περὶ ὧν ὁ βουλόμενος ἀναγνώτω τὰς εἰς τὸν Ἁρποκρατίωνα, Ἡσύχιον, καὶ Σουΐδαν σημειώσεις τῶν Κριτικῶν. ταύτης τῆς Ὀργάδος τὴν ἀποτομὴν αἰτίαν ποιησάμενος Περικλῆς πόλεμον ἐξήνεγκε Μεγαρεῦσιν, ἥ φησι Πλούταρχος (Περικλ. §30). σημειωτέον δὲ ὅτι τοῦ Ὀργὰς παρὰ τὸ ἐργάζεσθαι ὄντος, ὡς ὀρθῶς ἑρμηνεύει ὁ Ἐτυμολόγος (σελ. 629), καὶ τῶν ἀρχαίων Ὀργᾶν λεγόντων οὐδετέρως ἐπὶ τοῦ ἐπιτεταμένως ἐπιθυμεῖν, Ὀργάζειν δὲ μεταβατικῶς, ἀλλὰ γενικωτέρως, ἐπὶ τοῦ λύειν καὶ μαλάττειν ἢ πηλοποιεῖν, ἡ συνήθεια καὶ τὸ Ὀργόω, παρ' οὐδενὶ μέν πω εὑρεθὲν τῶν Ἀρχαίων (πλὴν εἰ μή τις τὸ παρὰ τῷ Σουΐδᾳ ἀμφιβαλλόμενον, Ὀργώσας, προτείνοιτο), οὐδὲν ὅμως ἧττον Ἑλληνικὸν ὂν καὶ αὐτὸ, μεταβαλοῦσα εἰς τὸ Ὀργόνω, εὐσήμως μάλα ἐπὶ τοῦ τὴν γῆν κατεργάζεσθαι καὶ εἰς σπερμάτων ὑποδοχὴν ἑτοιμάζειν τέταχε.

Σελ. 392, στ. 2, Τοῦτ' ἦν ἄρα.] Πολλαχοῦ Ἡλιόδωρος κέχρηται κομψῶς τῷ Ἄρα ἐπὶ τῆς σημασίας τοῦ Ὡς ἔοικεν, Ὡς φαίνεται. ἐνταῦθα δὲ σημειώσασθαι τὴν χρῆσιν ἠξίωσα, οὐ τὰ πᾶσι δῆλα προθυμούμενος γράφειν, ἀλλὰ διορθοῦσθαι Χαρίτωνα βουλόμενος, ἐν οἷς ἐκεῖνος λέγει (Γ, γ') περὶ τοῦ λῃστεύοντος τοὺς συλλῃστὰς Θήρωνος, «Ὤετο μὲν οὖν » τεχνικόν τι πεποιηκέναι· τὸ δὲ ὍΡΑ τῆς προνοίας ὈΡ-

» ΓΗΝ βασάνοις καὶ σταυρῷ τὸν ἄνδρα τηρούσης ». δῆλον γὰρ ὅτι γραπτέον . . . « Τὸ δὲ ἌΡΑ τῆς προνοίας ἜΡΓΟΝ » ἪΝ βασάνοις κ. τ. λ. ». — Στ. 3, Κύειν τέ με οἰομένη.] Λείπει ἡ ἀντωνυμία ἐκ τῶν ΑΑ, καὶ λείπουσα οὐδὲν τὸν λόγον λυμαίνεται. ἀντὶ δὲ τοῦ Οἰομένη κακῶς ἐν τῇ Β, Οἰομένην. — Στ. 5, Γάμου.] Προσέθηκα τὸ Γάμου ἔκ τε τῶν ΚΑ καὶ ΑΑ. διώρθωκα δὲ καὶ τὸ ἐχόμενον, τρέψας τὸν κακῶς ἐν ἅπασιν ἐμφερόμενον Γὰρ εἰς τὸν Μέν. — Στ. 16, Φατρίας.] Φατρία ἐστὶν ἣν Ἴωνες Πατριὰν καὶ Πάτρην ἔλεγον, ταὐτόν πως δηλοῦσαν τῇ Φρατρίᾳ, περὶ ἧς εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 24), ἔσθ' ὅτε δὲ καὶ αὐτῇ τῇ Φυλῇ. ὅθεν καὶ Πατριάρχαι παρὰ τοῖς Χριστιανοῖς οἱ δώδεκα υἱοὶ Ἰακώβ, ὡς ἀρχηγοὶ τῶν δώδεκα πατριῶν ἢ φυλῶν τοῦ Ἰσραὴλ, ἔπειτα καὶ τῶν Ἐκκλησιαστικῶν Ἱεραρχῶν τινες. οἱ δὲ Βυζαντινοὶ συγγραφεῖς ἐπὶ κακοῦ τὴν Φατρίαν ἐξέλαβον, ὡς ταὐτὸ δυναμένην ταῖς κατὰ πολιτικὴν στάσιν γινομέναις συνόδοις ἀνθρώπων. ὅθεν μετηνέχθη τὸ ὄνομα καὶ ἐπί τινας τῶν αἱρετικῶν Πατριαρχῶν, οὓς Φατριάρχας ἐκάλουν σκώπτοντες. ἔλεγον δὲ καὶ Φατριάζειν, τὸ ἐπὶ κακῷ συνίστασθαι. ἐνταῦθα δὲ Ἡλιόδωρος Φατρίας ἔοικε λέγειν ἃς ἡ χυδαΐζουσα συνήθεια Φαμιλίας (παρὰ τὸ τῶν Λατίνων *Familia*) καλεῖ, Πατριάς τινας οὔσας καὶ αὐτάς. — Στ. 20, Δι' εὐνομίαν τε ἅμα κ.τ.λ.] Δῆλον κἀντεῦθεν, ὃ καὶ ἐν τοῖς πρόσθεν (σελ. 316) ἐσημειωσάμεθα, ὅτι πρὸς Θεοδόσιον ἀποβλέψας τὸν μέγαν, ἔγραψεν Ὑδάσπου τοῦ Αἰθιόπος τὴν εἰκόνα ὁ Ἡλιόδωρος· καὶ γὰρ καὶ εὐνομίας φροντίσαι, καὶ πρὸς τοὺς ὑπηκόους ἤπιος γεγονέναι ἱστόρηται ὁ Θεοδόσιος. — Στ. 24, Ὀρύγων.] Οὐ χαλεπὸν ἦν ἐκ τῆς ἡμαρτημένης γραφῆς τῶν ΚΑ, Ὠρύγων, συνιδεῖν ὅτι γραπτέον ἐστὶν Ὀρύγων, ὅπερ διορθώσασθαι κομπάζει ὁ Βουρδελότος. ἔστι δὲ ὁ Ὄρυξ ζῶον τετράπουν δορκάδι κατὰ τὴν χροιὰν παραπλήσιον, ὥς φησιν Ἡσύχιος, οὐχ ὁ αὐτὸς τῷ Ὀνάγρῳ, ἧπερ ἔδοξέ τισι.

Σελ. 393, στ. 2, Ηὐτρεπίσθαι.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 4, Πανίον.] Τουτέστι, τὸν ναὸν τοῦ Πανός. εἴρηται δ' ἡμῖν (σελ. 322) ὅτι καὶ τὸν Πᾶνα ἐσέβοντο οἱ Αἰθίοπες, καὶ ὅτι καὶ Αἰγύπτιοι ἐξαιρέτως ἐτίμων αὐτὸν (σελ. 77).

Στ. 13, Σισιμίθρης.] Αἰθιοπικὸν τοὔνομα, συγκείμενον ἐκ τοῦ Μίθρας, ὃ σημαίνει τὸν Ἥλιον, ὡς φθάντες εἰρήκαμεν (σελ. 149). καὶ παρὰ Πέρσαις δὲ Σουσαμίθρης, ὄνομα κύριον (Ἰδ. Πλούταρχ. Ἀλκιβ. § 39), ὅπερ εἴη ἂν ἴσως ἐξελληνιζόμενον, Κρινήλιος· Σοῦσα γὰρ παρ᾽ ἐκείνοις τὰ Κρίνα. — Στ. 17, Καταστρέψουσαν.] Οὕτω διώρθωκα διὰ τὸν προηγησάμενον μέλλοντα, Ἐσομένην. — Στ. 19, Εἰς τότε τὸ ζητούμενον.] Οὕτως αἱ ΑΑ· ἐν δὲ ταῖς ΚΑ διπλῆ φέρεται γραφὴ, Εἰς τότε ζητούμενον, καὶ Ἴστε τὸ ζητούμενον. ὁ Α ἑρμηνεύει ὥσπερ ἂν εἰ ἐγέγραπτο, Εἰς τέλος τὸ ζητούμενον.

Σελ. 394, σΙ. 5, Τὴν γραφήν.] Ἤγουν τὴν ἐπιστολὴν, ὡς καὶ ἐν τῇ συνηθείᾳ, περὶ ἧς εἰρήκαμεν μικρῷ πρόσθεν (σελ. 322). — Στ. 6, Γυναιξί.] Ἐν ταῖς ΑΑ μετὰ τοῦ ἄρθρου, Ταῖς γυναιξί. — Στ. 8, Φανωτάτοις.] Τουτέστι, Φωτεινοτάτοις, παρὰ τὸ Φανὸς ἐπίθετον. ἔλεγον δὲ καὶ οὐσιαστικῶς οἱ Ἀττικοὶ Φανὸν τὴν λαμπάδα, ἤγουν αὐτὸ τὸ φαῖνον, καὶ καιόμενον, ὥς φασιν Ἀμμώνιός τε καὶ Φρύνιχος, τὸ δὲ περιέχον, κέρατος πεποιημένον ὡς τὰ πολλὰ, Λυχνοῦχον ἢ Λαμπτῆρα. ἡ δὲ συνήθεια νῦν ἐν μὲν τῷ Φανὸς, τῷ σημαίνοντι τὴν κατὰ τὴν εἰκοστὴν τετάρτην τοῦ Ἰουνίου δεισιδαιμόνως ὑπὸ τῶν χυδαιεστέρων ἐν τοῖς οἴκοις, ἢ πρὸ τῶν οἴκων, ἀναπτομένην πυρὰν, ὑπαττικίζει. ὅταν δὲ Φανὸν καὶ Φανάριον καλῇ τὸν Λυχνοῦχον ἢ Λαμπτῆρα, κατακολουθεῖ τῇ ἐξ αὐτῶν ἔτι τῶν Ἀμμωνίου χρόνων ἐπικρατησάσῃ χρήσει. τῷ δὲ τοῦ Λυχνούχου ὀνόματι ἐχρήσατο ἀνωτέρω Ἡλιόδωρος, ἀλλ᾽ ἐφ᾽ ἑτέρας τῆς παρὰ τοῖς Ἀττικοῖς σημασίας, ὡς ἐσημειωσάμεθα (σελ. 271) κατ᾽ ἐκεῖνο τὸ χωρίον. — Στ. 15, Ἔμελλε δὲ ἄρα καί.] Προσέθηκα τὸν Καὶ, ἀναγκαῖον ὄντα. — Στ. 17, Ὁρμή.] Ἀπήλειψα τὸ βαρβάρως πλεονάσαν ἄρθρον. — Στ. 25, Τῆς τε ὕλης ἕνεκα καὶ ἄχθους.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ.

Σελ. 395, σΙ. 2, Τομὴν ἑκάστην σκάφιον.] Ἐν τῇ Β, Τομὴ ἑκάστη σκαφεῖον (ἴσως ἐξ ἑτέρας γραφῆς, Τομῇ ἑκάστῃ σκαφεῖον)· ἐν δὲ ταῖς ΚΑ καὶ ΑΑ, Τομὴν ἑκάστην σκαφὴν (γρ. σκάφην). ἔστι δὲ τὸ Σκάφιον, καθὰ καὶ τὸ Σκαφίδιον καὶ ἡ Σκαφὶς, ὑποκοριστικὸν τοῦ Σκάφη, ὅπερ οὐ μόνον τὸ πᾶσι γνώριμον κατοικίδιον σκεῦος, ὃ μέχρι δεῦρο Σκάφην ἡ συνήθεια κα-

λεῖ, ἐδήλου, ἀλλὰ καὶ τὸ μονόξυλον πλοιάριον πρῶτον (τὸ καὶ παρὰ τοῖς Λατίνοις *Scapha* ), διὰ τὸ καὶ αὐτὸ ἐσκάφθαι καὶ κεκοιλῶσθαι κατὰ τὰς σκάφας, ἔπειτα καὶ πᾶσαν ἁπλῶς ναῦν. καὶ ἐκ μὲν τοῦ δηλοῦντος τὸ πλοιάριον ἔλαβον οἱ Ἰταλοὶ τὸ *Schiffo* καὶ οἱ Γάλλοι τὸ *Esquif*· ἐκ δὲ δὲ τοῦ σημαίνοντος ἁπλῶς τὴν ναῦν, οἱ Γερμανοὶ τὸ Schiff. — Στ. 5, Τριγωνίζουσα.] Διόδωρος ὁ Σικελιώτης (Α, λγ´) καὶ Στράβων (σελ. 821) θυρεοειδῆ τὸ σχῆμα λέγουσιν εἶναι τὴν Μερόην. οὕτω δ᾽ ὀνομασθῆναί φησιν ὁ Διόδωρος ἀπὸ Μερόης, τῆς μητρὸς Καμβύσου τοῦ κτίσαντος. — Στ. 6, Τῷ Ἀσταβόῤῥᾳ καὶ τῷ Ἀσασόβᾳ.] Οὕτως ἐν ἅπασι γέγραπται τὰ ὀνόματα τῶν ποταμῶν τούτων, πλὴν τοῦ Βουρδελότου, ὃς, οὐκ οἶδ᾽ ὅθεν λαβών, Ἀρσασόβᾳ γράφει τὸ δεύτερον, καὶ τῆς Β τε καὶ τῶν ΑΑ, ἐν αἷς δι᾽ ἑνὸς ρ̄ τὸ πρῶτον, καθὰ καὶ παρὰ τῷ Στράβωνι (Ις, 771, καὶ ΙΖ, 786, 822) μονοῤῥωγραφούμενον εὕρηται. τὸν δὲ Ἀσασόβαν, ὁ Γεωγράφος ποτὲ μὲν Ἀστασόβαν (σελ. 822), ποτὲ δὲ Ἀστοσάβαν (σελ. 786), ἄλλοτε δὲ Ἀσταγάβαν (771) καλεῖ, ἔστι δ᾽ ὑφ᾽ ὧν καὶ Ἀστάποδα αὐτὸν ὀνομάζεσθαι λέγει. παρ᾽ ἄλλοις δὲ καὶ ἄλλαι γραφαὶ εὕρηνται, περὶ ὧν ἀνάγνωθι τὸν Κελλάριον (Παλ. Γεωγρ. Δ, η´, σελ. 959)· ἐν γὰρ ταῖς τῶν ξενικῶν ὀνομάτων γραφαῖς, ἅπερ οὔθ᾽ οἱ Ἀντιγράψαντες, οὔτ᾽ αὐτοὶ οἱ τὴν ἀρχὴν γράψαντες ἀκριβῶς ᾔδεσαν, ἐπὶ πλεῖον ἐνδιατρίβειν, ταυτόν ἐστι καὶ τὸ ἐν σκότῳ τὰς τῶν σωμάτων διακρίνειν πειρᾶσθαι χροιάς. Στ. 12, Τό τε ῥεῦμα καὶ τοὔνομα.] Παρ᾽ ἅπασι γράφεται, ὡς καὶ παρὰ τῷ Κ, Τό τε ῥεῦμα, τοὔνομα, ὅπερ ὁ Κασωβὼν (σημ. εἰς τὸν Στράβων. σελ 786) διωρθοῦτο, Τό, τε ῥεῦμα τό, τ᾽ οὔνομα, οὐκ ἐπιστήσας τὸν νοῦν τῇ Ἰωνικῇ λέξει, Οὔνομα, ᾗπερ οὐκ εἰκὸς χρήσασθαι τὸν Ἡλιόδωρον. διωρθώκαμεν οὖν, τηρήσαντες τὴν Ἀττικὴν συναίρεσιν Τοὔνομα (ὅπερ ἐστὶ Τὸ ὄνομα) καὶ προσθέντες τὸν Ἀντιγραφέων ἀβλεψίᾳ ἐξεῤῥυηκότα Καὶ σύνδεσμον. — Στ. 13, Μέγεθος.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. — Στ. 14, Τρισχιλίοις κ. τ. λ.] Πρὸ τοῦ Τρισχιλίοις ἐν ταῖς ΚΑ καὶ ΑΑ ἐμφέρεται τάδε, « Ὅλον ψεῦδος, ἐὰν » ἀκριβῶς ψηφίσῃς »· ἅπερ ἐστὶ σημείωσις δηλονότι κομπολακύθου τινὸς Γραμματικοῦ, ψευδόμενον ἐλέγξαι βουλομένου

τὸν Ἡλιόδωρον. ἠγνόησε δ᾽ ἄρα ὅτι τὸ ψεῦδος οὐχ Ἡλιοδώρου τοῦ Μυθιστοροῦντος, τῶν δὲ πρώτως ἱστορησάντων· ἐπεὶ καὶ Διόδωρος ὁ Σικελιώτης (Α, λγ´), καὶ Στράβων (σελ. 821) τὸν αὐτὸν σταδιασμὸν τῆς Μερόης παραδεδώκασι παρὰ τῶν προγενεστέρων καὶ αὐτοὶ παραλαβόντες, πλὴν ὅτι Στράβων ἀπιστοῦντι ἔοικε τῷ τηλικούτῳ μεγέθει. — Στ. 15, Ζώων τε.] Ἔτρεψα τὸν Δὲ εἰς τὸν Τε. ἡ αἰτία δὲ πρόδηλος. — Στ. 17, Δένδρα παραλλάττοντα ἢ κατ᾽ ἄλλας.] Οὕτως αἱ ΑΑ. ἐν δὲ ταῖς ΚΑ παρὰ ταύτην τὴν γραφὴν ἐμφέρεται καὶ, Δένδρα πλατάνους κρείττω ἢ κατ᾽ ἄλλας. ὁ νοῦς, Φέρειν ἀγαθὴ δένδρα διάφορα τῶν κατ᾽ ἄλλας χώρας ἢ γαίας φερομένων. ἐπήνεγκε δὲ καινοπρεπῶς τῷ Παραλλάττοντα τὸν ἐπακολουθοῦντα τοῖς συγκριτικοῖς Ἢ σύνδεσμον, διὰ τὸ καὶ τὸ Ἄλλος (παρ᾽ ὃ τὸ Ἀλλάσσω), καὶ τὸ Διάφορος, καὶ τὰ τούτοις συνώνυμα καὶ ταυτόσημα, ἔσθ᾽ ὅτε συγκριτικοῦ σύνταξιν ἐπιδέχεσθαι. ἐνδέχεται μέντοι καὶ τὴν γραφὴν τοῦ Κ καὶ τῶν μετ᾽ αὐτὸν, Καὶ δένδρα πλάττουσα ἢ κατ᾽ ἄλλας φέρειν ἀγαθὴ, ἐξ ἀμείνονος ἑτέρας ἐξεστηκέναι τῆς, Καὶ δένδρα πλουτοῦσα, καὶ τἄλλα φέρειν ἀγαθή. ταύτῃ δὲ τῇ μετ᾽ αἰτιατικῆς συντάξει τοῦ Πλουτεῖν χαίρει μάλιστα ὁ κατὰ τοὺς αὐτοὺς Ἡλιοδώρῳ χρόνους ἀκμάσας τῆς Ναζιανζοῦ Γρηγόριος. Στ. 18, Ἐκτὸς γὰρ ὅτι κ. τ. λ.] Ταῦτα φησὶ Στράβων (ΙΖ, σελ. 822) περὶ τῆς Μερόης νήσου, « Πλεονάζει δὲ τῶν φυ-
» τῶν ὅ, τε φοίνιξ καὶ ἡ Περσέα, καὶ ὁ ἔβορος, καὶ ἡ κερα-
» τεία· θήρα δὲ καὶ ἐλεφάντων ἐστὶ, καὶ λεόντων, καὶ παρ-
» δάλεων. εἰσὶ δὲ καὶ δράκοντες οἱ ἐλεφαντομάχοι, καὶ ἄλλα
» θηρία πλείω ». — Στ. 23, Φύει τοιοῦτον.] Ἐν ταῖς ΚΑ, Φύειν τοιοῦτος. καὶ τὸ μὲν Τοιοῦτος ἡμάρτηται προδήλως· τὸ δὲ Φύειν ἄμεινον τοῦ Φύει.

Σελ. 396, στ. 4, Μικρὸν δὲ πρὸ τῆς ὀργάδος.] Περιέγραψα τὸν κακῶς πλεονάσαντα Καί. — Στ. 12, Ἐν τῷ πεδίῳ.] Προσείληφα τὴν πρόθεσιν ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 24, Δευτερευούσης.] Ἡμάρτηται τὸ παρ᾽ ἅπασι, Δευτερούσης· τὸ μὲν γὰρ Δευτερέω οὐκ οἶδεν ἡ χρῆσις· τὸ δὲ Δευτερόω ἕτερόν τι σημαίνει. γέγραφα οὖν Δευτερευούσης, παρὰ τὸ Δευτερεύω, ᾧ καὶ ἀλλαχοῦ (σελ. 216) ἐχρήσατο.

Σελ. 397, σ7. 1, Εἰς κύκλον.] Ἀπήλειψα τὸ εἰς οὐδὲν δέον πλεονάσαν ἄρθρον. καὶ προϊὼν δὲ (σελ. 427) ἀνάρθρως χρήσεται τῇ λέξει. — Στ. 2, Ἀλλήλων ἐχομέναις.] Ἡμάρτηται τὸ Ἐχομένων τῶν ΚΑ καὶ ΑΑ, ὡς καὶ τὸ Ἀλλήλαις τῆς Β. ἔοικε δὲ παρῳδεῖν τὸ τοῦ Ὁμήρου (Ἰλιάδ. Π, 215),

Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.

Κτ. 5, Μικρὰ δή.] Ἐν ταῖς ΑΑ, ὡς καὶ ἐν τῷ Κ καὶ τοῖς λοιποῖς ἅπασι, Μικρὰ δὲ δή· ἐν δὲ τῇ Β, Μικρὰ δὲ, δίχα τοῦ ἑτέρου συνδέσμου. δεῖν ἔγνων γράφειν, Μικρὰ δὴ, ἄνευ τοῦ Δέ. — Στ. 9, Ἡρμένων.] Αἱ ΚΑ καὶ ΑΑ, Ἡρμοσμένων. Στ. 10, Τοῖν μὲν δυοῖν κεχωρισμένως.] Οὕτως αἱ ΚΑ. ἡ Β, ὡς ὁ Κ καὶ οἱ μετ' αὐτὸν πάντες, Τῶν μὲν δυοῖν κεχωρισμένων· αἱ δὲ ΑΑ, Τῶν μὲν δυοῖν κεχωρισμένως. — Στ. 12, Ἰδιάζοντος.] Ἴσως ἐγέγραπτο, Ἰδιαζόντως, διὰ τὸ προηγησάμενον Κεχωρισμένως· ὁ γοῦν Λ ἀμφότερα ἐπιῤῥηματικῶς ἡρμήνευσε. — Στ. 13, Ἐπέσφαττον.] Οὕτω διωρθωσάμην τὸ Ὑπέσφαττον τοῦ Κ, ὅπερ Ὑπεσφάττοντο γράφεται ἐν ταῖς ΚΑ καὶ ΑΑ. — Στ. 15, Ἡλίῳ μὲν τέθριππον λευκὸν ἐπῆγον, τῷ ταχυτάτῳ τῶν θεῶν κ. τ. λ.] Προσέθηκα τὸ πληθυντικὸν ἄρθρον, διὰ τὰ αὐτίκα ῥηθησόμενα. ἐν ταῖς ΑΑ γράφεται Τῷ ταχυτάτῳ θεῷ· ἐκ δὲ τῆς Β λείπει ὅλον τοῦ χωρίου τουτὶ τὸ κομμάτιον, ἀπὸ τοῦ Ἐπῆγον μέχρι τοῦ Καθοσιοῦντες· καὶ εἰκὸς μηδὲ γεγράφθαι τὴν ἀρχὴν ὑφ' Ἡλιοδώρου, ὑπὸ κακοσχόλου δέ τινος σοφιστοῦ παρεμβληθῆναι, ἐξ Ἡροδότου μετενεγκόντος. λέγει δὲ ἐκεῖνος περὶ Μασσαγετῶν ἐπὶ λέξεως οὕτω (Α, σις'), « Θεῶν δὲ μοῦνον Ἥλιον σέβονται, τῷ θύουσι ἵππους. νόμος δὲ οὗτος τῆς θυσίης, ΤΩΝ ΘΕΩΝ ΤΩ ΤΑΧΙΣΤΩ πάντων τῶν θνητῶν ΤΟ ΤΑΧΙΣΤΟΝ δατέονται ». καὶ Πέρσαι δὲ ἵππους ἔθυον Ἡλίῳ, ὥς φησι Ξενοφῶν (Κυρ. παιδ. Η, σελ. 127). — Στ. 19, Ὡς ἔοικε.] Αἱ ΑΑ, Ὡς ἐοικὸς, ἐξ ἑτέρας οἶμαι γραφῆς τῆς, Ὡς εἰκός. ἀντὶ δὲ τοῦ ἐχομένου, Τοὺς γηπονίᾳ, ἐν ταῖς ΚΑ γράφεται, Τῆς γηοπονίας. Στ. 21, Βοή τις.] Εἰς τὰς δύο ταύτας λέξεις μετεῤῥύθμισα τὸ μὴ πάνυ τι ἐν χρήσει Βόησις· εἴρηκε δὲ καὶ ἐν ἄλλοις (σελ. 47, 160 καὶ 413) Δοῦπός τις, Βοή τις, καὶ Ἠχήν τινα. Στ. 23, Συγκλύδων.] Ἐν ταῖς ΔΑ613, Σὺν κλύδωνι, ἣν

γραφὴν

γραφὴν γνησίαν εἶναι πιθανῶς ὁ Δορβῖλλος εἰκάζει, παρατιθέμενος τὸ ἐν τοῖς ἑξῆς (σελ. 415) Κλυδώνιον τοῦ δήμου. περὶ τοῦ Συγκλύδων (ἀντὶ τοῦ Συμμίκτων καὶ πανταχόθεν εἰς ἓν οἱονεὶ συῤῥυέντων) παρὰ τὸ Σύγκλυς ὕδος, εἰκότως ἠπόρησεν ὁ Οὐεσελίγγιος (σημειώσ. εἰς Διόδωρ. τὸν Σικελ. ΙΔ, ξϛʹ) εἰ ὅλως ἐστὶν Ἑλλήνων ἡ λέξις. εὕρηται μὲν γὰρ καὶ παρὰ τοῖς Ἀρχαίοις, καὶ πολλῷ πλέον παρὰ τοῖς μεταγενεστέροις, οἷον Πλουτάρχῳ, Διοδώρῳ, Στράβωνι, κ. τ. λ. τὸ Σύγκλυδες· ἔοικε μέντοι οὐδὲν ἀλλ᾽ εἶναι ἢ αὐτὸ τὸ Συνήλυδες, κακῶς που τὴν ἀρχὴν ὑπὸ τῶν Ἀντιγραφέων μεταποιηθὲν, εἶτα διὰ τὸ τῆς μεταφορᾶς πιθανὸν, κατασχὸν εἰς ὃν ἅπαξ εἰσέφρησε τόπον, καὶ οἱονεὶ πολιτογραφηθὲν τοῖς Ἕλλησιν. ὁ μὲν γὰρ Σουΐδας ἐξηγεῖται τὸ Συγκλύδων διὰ τοῦ Συμμίκτων καὶ ἘΠΗΛΥΔΩΝ, ὅπερ οὐδὲν ἧττον ἑρμηνεύει τὸ Συνηλύδων. Στράβων δὲ (Δ, σελ. 190) τοὺς *Convenæ* τῶν Λατίνων, οὓς Κονουένας ὀνομάζει, τοῦ σαφεστέρου χάριν ἐξελληνίσαι βουλόμενος, Συγκλύδας καλεῖ, οὐδὲν ἄλλο ὄντας ἢ ἀνθρώπους συμμίκτους καὶ συνήλυδας· τοῦτο γὰρ βούλεται παρὰ Ῥωμαίοις τὸ *Convenæ*.

Σελ. 398, στ. 8, Ἔσεσθαι.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. — Στ. 12, Κατεστεμμένοι.] Καὶ τοῦτο ἐκ τῶν ΚΑ καὶ ΑΑ. ἀντὶ δὲ τοῦ ἐχομένου Κατηφεῖς, αἱ μὲν ΚΑ, Κατήφεια· αἱ δὲ ΑΑ, Κατηφείᾳ, κατὰ δοτικὴν, ὅπερ καθ᾽ ἑαυτὸ μὲν οὐκ ἀπόβλητον, ἐπεὶ ἀντιδιέσταλται πρὸς τὴν ἐχομένην δοτικὴν, Φαιδρῷ τῷ προσώπῳ, μάλιστα δ᾽ εἰ συνάπτοιτο ἀδιαστίκτως πρὸς τὸ Κατεσταλμένοι, ἵνα ᾖ Κατεσταλμένοι κατηφείᾳ (ὅπερ ἐξέφρασε καὶ ὁ Α), ἧττον μέντοι πιθανὸν τῆς ἑτέρας γραφῆς, Κατεστεμμένοι. ἐστεμμένα γὰρ προσάγειν ἔθος ἦν τὰ σφαγιασθησόμενα ἱερεῖα. — Στ. 14, Φαιδρῷ.] Ἡμάρτηκα ἴσως ἐξελὼν τὸν Καὶ σύνδεσμον, καίπερ οὐδὲ παρὰ τῷ Λ κείμενον· ἐμφαίνει γάρ τινα πρὸς τὴν τοῦ Θεαγένους κατήφειαν ἀντιδιαστολὴς, οἷον Ὁ μὲν Θεαγένης κατηφὴς ἦν ἐπ᾽ ἔλαττον τῶν ἄλλων, ἡ δὲ Χαρίκλεια τοσοῦτον ἀπέσχε τοῦ καὶ κατὰ μικρὸν κατηφῆσαι, ὥστε καὶ φαιδρῷ τῷ προσώπῳ κ. τ. λ. οὕτω δὲ παρέφρασε καὶ ὁ Α. — Στ. 17, Στενάξασα.] Ἐν τῇ Β, Στενάξασαν, ὅπερ καλῶς ἂν εἶχεν, εἰ ἀντὶ τοῦ ἐχομένου, Εἶπεν,

ἐγέγραπτο, Εἰπεῖν. — Στ. 22, Τὸ ἅπαξ μοι.] Προσέθηκα τὴν ἀντωνυμίαν ἐκ τῶν ΑΑ.

Σελ. 399, σῖ. 6, Ἐπήγγελτο.] Αἱ ΚΑ καὶ ΑΑ Ἐπηγγέλλετο. — Στ. 7, Ἀδύνατον.] Οὕτως ἡ Β καὶ αἱ ΑΑ. — Στ. 10, Προσάγειν.] Διέγραψα τὸν πρὸ τοῦ Προσάγειν σύνδεσμον ὡς περιττόν. — Στ. 16, Ἁγνεύουσα.] Ἐκ τῶν ΑΑ, — Στ. 21, Μὴ οὐκ εὐπρεπές.] Αἱ ΑΑ, Μὴ οὐκ ἀπρεπές.

Σελ. 400, σῖ. 3, Ταῦτα.] Μετεποίησα τὸ Τοιαῦτα εἰς τὸ Ταῦτα, ὅπερ ἡρμήνευσαν ὅ, τε Λ καὶ ὁ Α — Στ. 16, Τῶν δὲ ἀπεναντίως.] Ἐκ τῶν ΑΑ· ἐν δὲ ταῖς ΚΑ παρὰ ταύτην τὴν γραφὴν, φέρεται καὶ, Ἀπεναντίας. συνυπακουστέον δὲ τὸ Ἐχόντων, ἢ Διακειμένων, τουτέστι τῶν καθαρῶν καὶ εὐόρκων. — Στ. 18, Ἑλληνίδων.] Αἱ ΚΑ, Νεανίδων. — Στ. 22, Πρὸς ἁπάντων.] Ἐν ταῖς ΚΑ, Παρ' ἁπάντων. — Στ. 24, Τῶν Ἀφροδίτης.] Οὕτως ἅπαντες, πλὴν τῆς Β, ἐν ᾗ γράφεται, Τῶν ἀφροδισίων.

Σελ. 401, σῖ. 1, Καλὰ . . . ἀλλ' ὦ φιλτάτη·] Οὕτως ἐμφέρεται ἀπαραλλάκτως ὅλον τὸ χωρίον τουτὶ ἐν ταῖς ΑΑ. ἡ δὲ Β, « Καὶ λέγων ἠρέμα πρὸς τὴν Χαρίκλειαν τἀπίχειρα » παρ' Αἰθίοψι τῶν καθαρῶς βιούντων θυσίαι καὶ σφαγαὶ » τὰ ἔπαθλα τῶν σωφρονούντων. ἀλλ' ὦ Χαρίκλεια ». ταύτην τὴν γραφὴν ὁ Κ (ᾧ κατηκολούθησαν καὶ οἱ λοιποὶ), προσθεὶς ἐξ ἀντιγράφων ἑτέρων τὸ Τοιάδε, καὶ τὸ Φιλτάτη, τήν τε στίξιν ἐρωτηματίσας, ἐξήνεγκεν οἵαν κατεχωρίσαμεν ὑπ' αὐτῇ τῇ σελίδι. — Στ. 8, Ἢ τίς ποτε εἴης.] Ἔτρεψα τὸν παρὰ πᾶσι σόλοικον συναπτικὸν εἰς τὸ λεγόμενον ὑποτακτικὸν ἄρθρον. — Στ. 10, Διαδράσῃ,] Ἀνάττικον τὸ Διαδράσῃς τῆς Β καὶ τῶν ΑΑ. — Στ. 12, Ταλαντεύει τὰ καθ' ἡμᾶς ἡ μοῖρα.] Προσέθηκα τὸ ἀναγκαῖον ἄρθρον, ὃ παρέλιπον ἅπαντες· καὶ ἐν τοῖς πρόσθεν γὰρ (σελ. 112) μεταβατικῶς ἐχρήσατο τῷ Ταλαντεύω. ἀντὶ δὲ τοῦ Μοῖρα, ἐν ταῖς ΚΑ γράφεται, Τύχη. ἔοικε δὲ παρῃνίχθαι τὰ Ὁμηρικὰ τάλαντα, οἷς ὁ Ζεὺς σταθμᾶται τὴν ζωὴν καὶ τὸν θάνατον τῶν Ἀχαιῶν καὶ τῶν Τρώων (Ἰλιάδ. Θ, 69),

Καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα·
Ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων.

Στ. 16, Κοκκοβαφέσι.] Λείπει τοῦτο ἔκ τε τῆς Β καὶ τῶν ΑΑ. — Στ. 17, Ἀνεῖσα.] Οὕτως ὀρθῶς κατὰ τὸν ἀόριστον ἡ Β μόνη· — Στ. 20, Τῷ τε κάλλει, τότε πλέον.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. σημείωσαι δὲ καὶ τὸ ἐχόμενον Καταστράπτουσα, ἀμεταβάτως ἐνταῦθα, ἤγουν ἐναντίως ἢ πρόσθεν (σελ. 368) εἴρηκε.

Σελ. 40I, 5, Ἀπήχησαν.] Διωρθωσάμην τὸ Ἀπηχησάντων (ἀνθ' οὗ αἱ μὲν ΑΑ, Ἐξηχησάντων, αἱ δὲ ΚΑ παρὰ τοῦτο καὶ, Ἐπηχησάντων), περιελὼν τὴν τελευταίαν, κακῶς προσκολληθεῖσαν παρὰ τοῦ ἐχομένου ἄρθρου. — Στ. 7, Ἐτήρει.] Ἔτρεψα τὸ ἀδιανόητον Ἐγείρει εἰς τὸ ἀναγκαῖον Ἐτήρει, ὃ καὶ ὁ Α συνῆκεν· ἑρμηνεύει γὰρ *Pource qu'elle avoit jusques là gardé impoluë sa beauté ... en la vigueur de son corps etc.* ἐκ τούτων δὲ τῶν τελευταίων, *En la vigueur*, δῆλον ὅτι καὶ ἀντὶ τοῦ Καὶ τὸ ὥριον ἀναγνωστέον ὑπείληφε Κατὰ τὸ ὥριον, ἢ Κατὰ τὸ ὡραῖον. καὶ ἀντὶ δὲ τοῦ ἐχομένου Κοσμούμενον, γραπτέον Κοσμουμένην, ἵνα ἔχῃ ἀναφέρεσθαι πρὸς τὸ Σωφροσύνην. ὁ δὲ νοῦς τοῦ ὅλου χωρίου, Καὶ πλέον ἀγασθέντες ὅτι ἐτήρει ἄθικτον, ἤγουν ὑπὸ μηδενὸς ψαυσθὲν, κάλλος οὕτως ὑπὲρ ἄνθρωπον κατ' αὐτὴν τὴν ὥραν καὶ ἀκμὴν τῆς ἡλικίας, καὶ ὅτι ἐνεδείκνυτο ἔχειν σωφροσύνην, ἥτις ἐκοσμεῖτο μᾶλλον ὑπὸ τῆς ὥρας. καὶ γὰρ μᾶλλον θαυμάζομεν τὴν σωφρονύνην ἐν ταῖς καλαῖς τε καὶ νέαις ἢ ἐν ταῖς μὴ τοιαύταις. σημείωσαι δὲ ὅτι ἡ συνήθεια οὐ μόνον τὸ Ὡραῖος, ἀλλὰ καὶ τὸ συνωνυμοῦν Ὥριος, ἐπὶ τοῦ καλοῦ, ἐτήρησε, καθὰ δηλοῖ καὶ τὸ Πανώριος ἐπὶ τοῦ καλλίστου τεθειμένον. — Στ. 9, Καὶ ἄλλους τῶν ὄχλων.] Ἴσως ἐγέγραπτο, Καὶ ἄλλως τὸν ὄχλον, ᾗ γραφῇ συνᾴδει καὶ ἡ ἑρμηνεία τοῦ Α, *Si estoit tout le peuple bien marry de quoy etc.* δηλοῖ δὲ καὶ ἡ ἀπόδοσις, Πλέον δὲ ἠνία τὴν Περσίναν· τῶν γὰρ συγκριτικῶν ἢ ὑπερθετικῶν ἐπιρρημάτων προηγεῖται ἔσθ' ὅτε τὸ Ἄλλως. — Στ. 13, Σὺν πολλῷ τῷ κακῷ, οὐδὲ εἰς καιρὸν, τῇ σωφροσύνῃ σεμνυνομένη.] Τὴν μὲν τοῦ Κ γραφὴν (τὴν αὐτὴν οὖσαν τῇ τε τῆς Β καὶ τῇ τῶν ἄλλων ἁπάντων) ὑπεσημειωσάμεθα ἐν αὐτῇ τῇ σελίδι, ἔχουσαν οὕτως, Σὺν ΠΟΛΛΩ͂ ΚΑΙ ΟΥ̓Κ εἰς καιρὸν κ. τ. λ. ἐν δὲ ταῖς ΚΑ καὶ ΑΑ γράφεται μικρὸν παρηλλαγμένως, Σὺν πολλῷ οὐδὲ εἰς καιρὸν κ. τ. λ. ἐκ τούτων ἡμεῖς

τῶν γραφῶν, ἡμαρτημένων ἀμφοῖν, διασκευάσαι δεῖν ἔγνωμεν ταύτην, Σὺν ΠΟΛΛῼ Τῼ ΚΑΚῼ, οὐδὲ εἰς καιρὸν κ. τ. λ. ὥρα δὲ καὶ παραδείγμασι πιστώσασθαι τὴν διόρθωσιν, τὰς ἑρμηνείας πρότερον παραθεμένοις τῶν ἄλλων. ὁ μὲν οὖν Λ, *Nequicquam et haud opportune* φράσας, ὅπερ ἐστὶ, Μάτην καὶ οὐκ εἰς καιρὸν, ἐν ἀφανεῖ κατέλιπεν ὅπως ἐνόει τὸ Σὺν πολλῷ· ὁ δὲ Α, ἑρμηνεύσας, *Qui à la mal'heure pour elle est si fort louée et exaltée de sa chasteté, quand, Helas! il fault que ces belles louanges maintenant lui coustent la vie*, δῆλός ἐστι τὸ μὲν Σὺν πολλῷ, ἐπὶ τῆς σημασίας τοῦ ἐπιῤῥηματικοῦ Πολλὰ (ἤγουν Λίαν) συνάψας τῷ Σεμνυνομένη, ὅπερ ἐξεδέξατο ἀντὶ τοῦ Ἐπαινουμένη, τὸ δὲ Οὐδὲ εἰς καιρὸν διὰ τοῦ *à la mal'heure* ἐκφράσας. ἴσως δὲ καὶ ἀντὶ τοῦ ἐχομένου Πολλῶν, Καλῶν ὑπείληφε γραπτέον εἶναι. καὶ ταῦτα μὲν οἱ μεταφρασταί· μαρτυρεῖ δὲ τῇ ἡμετέρᾳ διορθώσει πρῶτος αὐτὸς ὁ κομψὸς Ἡλιόδωρος, εἰρηκὼς ἐν τοῖς πρόσθεν (σελ. 37), « Ἕως σὺν πολλῷ τῷ κακῷ καὶ ὀλέθρῳ τῶν οἰκείων . . . ἐπ» εκρατήσαμεν ». τούτῳ παρατεθείσθω Πλούταρχος (Φλαμιν. § 15), « Ὡς ἑώρα σὺν κακῷ μεγάλῳ τῶν ἄλλων Σπαρτιατῶν » ἀπολούμενον τὸν τύραννον ». καὶ Εὐριπίδης δὲ εἴρηκέ που ( Ἱππολ. 528 ),

Μή μοι ποτὲ σὺν κακῷ φανείης
Μηδ' ἄῤῥυθμος ἔλθοις.

Ξενοφῶν δὲ, Σὺν ζημίᾳ, εἶπεν, ἀντιδιαστείλας πρὸς τὸ Σὺν ἀγαθῷ ( Κύρ. Παιδ. Γ, σελ. 38 ), « Πότερα δ' ἡγῇ, ὦ Κῦρε, » ἄμεινον εἶναι σὺν τῷ σῷ ἀγαθῷ τὰς τιμωρίας ποιεῖσθαι, ἢ » σὺν τῇ σῇ ζημίᾳ; ». καὶ τὸ, Οὐδὲ εἰς καιρὸν, δὲ τοῦ Ἡλιοδώρου, Πλούταρχος ( Περικλ. § 18 ) κατὰ δοτικὴν ἐξήνεγκεν, « Ὁρῶν δὲ Τολμίδην . . . σὺν οὐδενὶ καιρῷ παρασκευα» ζόμενον εἰς Βοιωτίαν ἐμβαλεῖν ». — Στ. 17, Μάτην, ἔφη, μοι ἐνοχλεῖς. ] Παρείληφα τὴν ἀντωνυμίαν ἐκ τῶν ΑΑ. — Στ. 20 Καὶ ἀποστρέψας. ] Ἀπήλειψα τὸν Ἀλλὰ, πρὸ τοῦ Καὶ, ἀκολουθήσας ταῖς ΑΑ.

Σελ. 403, στ. 5, Ὡς εἴθε γε κ. τ. λ. ] Εὐσεβὴς τῶν Γυμνοσοφιστῶν ἡ ἀποτροπὴ τῆς θυσίας, καὶ κατάλληλος τοῖς εἰρημέναις Πλουτάρχῳ ( Πελοπίδ. § 21 ) περὶ τῶν ἀποτρε-

ψάντων Πελοπίδαν τοῦ ἀνθρωποθυτῆσαι μάντεων· ἔλεγον γὰρ κἀκεῖνοι, « Δαίμονας δὲ χαίροντας ἀνθρώπων αἵματι » πιστεύειν μὲν ἴσως ἐστὶν ἀβέλτερον· ὄντων δὲ τοιούτων, » ἀμελητέον ὡς ἀδυνάτων· ἀσθενείᾳ γὰρ καὶ μοχθηρίᾳ ψυ- » χῆς ἐμφύεσθαι καὶ παραμένειν τὰς ἀτόπους καὶ χαλεπὰς ἐπι- » θυμίας ». λέγει δὲ ὁ αὐτὸς Πλούταρχος (Συμποσιακ. Η, ή) ὅτι οἱ παλαιοὶ « Οὐ μόνον ἐδωδὴν, ἀλλὰ καὶ φόνον, ζώου » μὴ βλάπτοντος, ἔργον ἐναγὲς καὶ ἄθεσμον ἐποιοῦντο· πλή- » θει δ' ἐπιχεομένῳ καθειργόμενοι, καὶ χρησμοῦ τινος (ὥς » φασιν) ἐκ Δελφῶν ἐπικελευσαμένου τοῖς καρποῖς ἀρήγειν » φθειρομένοις, ἤρξαντο μὲν καθιερεύειν· ἔτι δὲ ὅμως ταρατ- » τόμενοι καὶ δειμαίνοντες, ἝΡΔΕΙΝ μὲν ἐκάλουν καὶ ῬΕ- » ΖΕΙΝ, ὥς τι μέγα δρῶντες τὸ θύειν ἔμψυχον· ἄχρι δὲ νῦν » παραφυλάττουσιν ἰσχυρῶς τὸ μὴ σφάττειν πρὶν ἐπινεῦσαι » κατασπενδόμενον. οὕτως εὐλαβεῖς πρὸς ἅπασαν ἀδικίαν » ἦσαν ». — Στ. 7, Καθ' ἡμέτερον νόον.] Οὐ πάνυ τι ῥᾴδιον ἀποφήνασθαι εἴθ' οὕτω δεῖ γράφειν, εἴτε, ὡς ἐμφέρεται ἔν τε ταῖς ΚΑ καὶ ΑΑ, Καθ' ἡμέτερον νόμον. προειλόμην τὴν πρώτην γραφὴν διὰ τὴν παρῳδίαν, εἰς ἣν εὐεπίφορός ἐστιν ὁ Ἡλιόδωρος. λέγει τοίνυν ὁ Νέστωρ πρὸς τὸν βασιλέα Ἀγαμέμνονα, παρ' Ὁμήρῳ (Ἰλιάδ. Ι, 108),

Οὔτι καθ' ἡμέτερόν γε νόον· μάλα γάρτοι ἔγωγε
Πόλλ' ἀπεμυθεόμην .........................

ἀντὶ δὲ τοῦ ἐχομένου Ἀρκουμένων ἐν ταῖς ΚΑ γράφεται, Ἀρκουμένους. — Στ. 12, Δεησόμενος, ἴσως δὲ καὶ οὐ δεησόμενος.] Οὐδ' ἐνταῦθα ἐφείσατο τῆς παρῳδίας, Εὐριπίδου μνημονεύσας εἰρηκότος (Φοινίσσ. 906),

Βούλει σὺ μέντοι, κοὐχὶ βουλήσει τάχα.

Στ. 15, Τῷ περιλάμποντι φωτὶ τοὺς ξένους.] Σημειούσθω τὸ λεγόμενον, ὡς μετενηνεγμένον ἐκ τῶν Χριστιανικῶν μαρτυρολογίων. Στ. 18, Μετάστασιν.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. — Στ. 25, Πρόκειται.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. ἐρεῖ δὲ καὶ προϊὼν (σελ. 405), Τὴν κρίσιν τὴν νῦν προκειμένην. ἀποσκορακιστέον οὖν τὸ παρὰ τοῖς λοιποῖς ἅπασι Πρόσκειται.

Σελ. 404, στ. 1, Τοῖς τοσούτοις.] Τουτέστι, τοῖς οὕτω μεγάλοις καὶ δυνατοῖς. μέτιθι τὸν Σουΐδαν (λέξ. Τοσούτῳ).

Στ. 9, Αὐτὰ . . . δηλώσει τὰ λεχθησόμενα.] Παροιμιακὸν, κατὰ τὸ Αὐτὸ δείξει, περὶ οὗ μέτιθι τὸν Ἡσύχιον, τὸν Σουΐδαν, καὶ τὰ τοῖς σοφοῖς ἐν ἐκείνοις σεσημειωμένα. Εὐριπίδης δὲ ἐν μὲν Βάκχαις (974) εἰς τὸ, Αὐτὸ σημανεῖ, μετέλαβεν, ἐν Ὀρέστῃ δὲ (1131) κατὰ τὸ πλῆρες, ὡς καὶ Ἡλιόδωρος, ἐξήνεγκεν εἰπὼν, « Αὐτὸ δηλοῖ τοὖργον ». — Στ. 12, Διαδικάσομαι.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ, ἐν αἷς ἀμφοτέραις καὶ ἀντὶ τοῦ παρὰ τοῖς λοιποῖς Δυσωπεῖ, γράφεται Δυσωπεῖται. — Στ. 17, Ὁ νόμος.] Οὕτως αἱ ΑΑ μετὰ τοῦ ἄρθρου. — Στ. 18, Μόνον.] Περιττὸν τὸ Μόνον· καὶ ἔοικεν ὑπὸ τῶν Ἀντιγραφέων, ἐκ τοῦ Μᾶλλον εἰς τὸ Μόνον οὐκ ὀρθῶς μετασχηματισθὲν, ἀπὸ τῶν ἑξῆς ἐνταῦθα τοῦ χωρίου μετενεχθῆναι, τῆς ἀρχαίας γραφῆς οὔσης, Οὐ τοῖς προσώποις, ἔφη, τὰ δίκαια γ. ἰ. π. τ. σ. ἀλλὰ μᾶλλον τοῖς τρόποις. — Στ. 19, Ἀλλὰ τοῖς τρόποις.] Γραπτέον ἔοικεν, Ἀλλὰ μᾶλλον τοῖς τρόποις, ὡς φθάσαντες ἔφημεν, καὶ ὡς ἑρμηνεύει ἐνταῦθα καὶ ὁ Λ, ἢ γοῦν, Ἀλλὰ καὶ τοῖς τρόποις, ὡς ἐξέφρασεν ὁ Α. Στ. 21, Τῶν τὰ τελευταῖα.] Οὕτως αἱ ΑΑ μετὰ διπλοῦ τοῦ ἄρθρου. — Στ. 23, Ἐπειδὴ βούλεται Σισιμίθρης.] Δῆλός ἐστι πρὸς ὀργὴν ἐξαγόμενος ὁ Ὑδάσπης ὑπὸ τῆς ἀνυποστόλου τοῦ Σισιμίθρου παῤῥησίας. εὐφυῶς δὲ ταῦτα μετήνεγκεν ἀπὸ τῆς ἱστορουμένης ἄλλως περὶ τῶν ἐν Μερόῃ ἱερέων ἐξουσίας, περὶ ὧν φησὶ Στράβων (ΙΖ σελ. 822), ὅτι « Καὶ τῷ βασιλεῖ » προσέταττον ἔσθ᾽ ὅτε ἀποθνήσκειν πέμψαντες ἄγγελον, καὶ » καθίστασαν ἀντ᾽ αὐτοῦ ἕτερον· ὕστερον δὲ κατέλυσέ τις τῶν » βασιλέων τὸ ἔθος, ἐπιὼν μεθ᾽ ὅπλων, ἐπὶ τὸ ἱερὸν, ὅπου ὁ » χρυσοῦς νεώς ἐστι, καὶ τοὺς ἱερέας ἀποσφάξας πάντας ».

Σελ. 405, στ. 4, Ὑπήκουσεν.] Ἐν ταῖς ΚΑ, Ἐπήκουσεν. Στ 6, Εἰς τοὺς Καταδούπους . . . ὡς τὸν Ὀροονδάτην.] Εἰρήκαμεν περὶ τούτων ἐν τοῖς πρόσθεν (σελ. 104 καὶ 105). Στ. 10, Τὴν μὲν οὖν ὄψιν τἀνδρὸς οὐκ ἀνέφερεν.] Σημείωσαι τὸ Ἀναφέρω ἐπὶ τοῦ Ἀναμιμνήσκομαι, ἐκ τῆς κοινῆς συνηθείας ληφθὲν, καὶ ἀπ᾽ αὐτῶν ἤδη τῶν Καισαρικῶν χρόνων ἀρξάμενον· ἐπεὶ καὶ Πλούταρχος ἐχρήσατο τῇ λέξει (περὶ φυγῆς § 17), εἰπὼν περὶ τῆς εἰς σῶμα μεθισταμένης ψυχῆς, « Ὀστρέου τρόπον ἐνδεδεμένη τῷ σώματι, διὰ τὸ μὴ μνημο-

» νεύειν, μηδ' ἀναφέρειν—Ἐξ οἵης τιμῆς τε καὶ ὅσσου μήκεος » ὄλβου—μεθέστηκεν κ.τ.λ.», ὅπου ὁ φιλολογώτατος ἰατρὸς Ῥείσκιος, ἐπειδὴ μὴ εὕρισκεν ἐν τοῖς λεξικοῖς καταχωρισθεῖσαν τὴν λέξιν ἐπὶ τῆς τοιαύτης σημασίας, ἡμαρτῆσθαι τοῖς ἀντιγράφασι τὸ Ἀναφέρειν ὑπολαβὼν, εἰς τὸ, Ἀναφέρειν εἰς τὴν ἔννοιαν, μετατρέπειν ἠβούλετο. — Στ. 11, Ἑπταέτης.] Παροξυτόνως ἐνταῦθα εἶπεν ἢ αὐτὸς, ἢ οἱ ἀντιγράψαντες εἰρήκαμεν δὲ καὶ περὶ τούτου (σελ. 102 - 103).—Στ. 16, Ἥλιε Γενάρχα κ. τ. λ.] Κἀνταῦθα αἵ τε ΚΑ καὶ ΑΑ, Γενεάρχα. περὶ δὲ τῆς ἐπικλήσεως τοῦ Ἡλίου ὅτι παρῴδηται, εἰρήκαμεν ἀνωτέρω (σελ. 267). — Στ. 20, Τῶν προσόντων.] Παρείληφα τὸ ἄρθρον ἐκ τῶν ΑΑ. — Στ. 22, Ὁ νόμος ] Κἀνταῦθα τὸ, τε ἄρθρον καὶ ἡ τάξις τῶν λέξεων ἐκ τῶν ΑΑ. ἐν δὲ τῇ Β γράφεται, Ἢ ἐγχωρίους ἱερουργεῖσθαι κελεύεις, δευτεροπροσώπως.—Στ. 24, Ὑμεδαπήν.] Διωρθωσάμην τὸ ἡμαρτημένως παρ' ἅπαξάπασι γραφόμενον, Ἡμεδαπήν.

Σελ. 406, στ. 3, Ἐγχώριος ] Οὕτως αἱ ΚΑ. — Στ. 11, Οἷ περιέστη.] Ἐκ τῆς ἡμαρτημένης γραφῆς τῶν ΚΑ, Οἱ· ἐν αἷς γράφεται καὶ Ἧ, ὅπερ ἐμφέρεται καὶ ἐν ταῖς ΑΑ. ὁ δὲ νοῦς, Ὅποι προβέβηκεν, ἢ προῆλθεν, ἢ εἰς τί κατήντησεν ἡ ἐμὴ ἀνεξικακία. — Στ. 13, Παρατόλμοις.] Εὐεπίφορος μάλιστα ὁ Πλούταρχος εἰς τὸ Παράτολμος, ὃ πλέον τι βούλεται τοῦ Τολμηρός. — Στ. 16, Μηδεπώποτε.] Ἐκ τῶν ΑΑ, διὰ τὸ ἐχόμενον Εὐτυχήσαντος· κατὰ γὰρ τοὺς Τεχνικοὺς, τὸ μὲν Οὐδεπώποτε καὶ Μηδεπώποτε ἐπὶ παρῳχημένου, τὸ δὲ Οὐδέποτε καὶ Μηδέποτε ἐπὶ μέλλοντος· ἕτεροι δὲ, τὸν κανόνα κολάζοντες, ἐκεῖνα μὲν ἀεί ποτε παρῳχημένως λέγεσθαι, τὸ δὲ Οὐδέποτε καὶ Μηδέποτε ἐπαμφοτερίζειν φασί. — Στ. 21, Τέως ἂν μὴ τοῦτο κ.τ.λ.] Ἴσως γραπτέον, Ἕως ἂν μὴ τοῦτο, ἢ γοῦν, Τέως, ἕως ἂν μὴ τοῦτο· τοῦτο γὰρ βούλεται ἡ πλείων χρῆσις. εὕρηται μέντοι καὶ παραδείγματα τοῦ Τέως ἀντὶ τοῦ Ἕως καὶ παρὰ τοῖς ἀρίστοις, οἷον Πλάτωνι, Δημοσθένει κ.τ.λ. Στ. 22, Ξενοκτονεῖν μέν.] Λείπει ὁ σύνδεσμος ἐκ τῶν ΑΑ.

Σελ. 407, στ. 3, Ἐκ τῶν μαρτύρων.] Λείπει τὸ ἄρθρον ἐκ τῶν ΑΑ. — Στ. 7, Μεγίστη δ' ἔοικε.] Ἐκ τοῦ παρ' ἅπασιν ἀδιανοήτου, Μεγίστη δὲ οἱ καὶ, διορθωσάμενος ἐξεκόλαψα

τὴν ὀρθὴν ταύτην γραφήν. — Στ. 8, Γράμματα δὲ τάδε, τύχης τῆς ἐμῆς τε καὶ ὑμῶν διηγήματα.] Παρείληφα τὸν Τε σύνδεσμον ἐκ τῶν ΑΑ. ἀντὶ τοῦ Διηγήματα ἐν ταῖς ΚΑ γράφεται, Γνωρίσματα. ἄμεινον δὲ τὸ πρῶτον, καὶ μᾶλλον οἰκεῖον οἷς εἴρηκε φθάσας (σελ. 150), «Ἐλεεινῷ διηγήματι τῶν σῶν τε κἀμαυτῆς». — Στ. 12, Ἀνειλήσασα.] Ἐνταῦθα ἀντὶ τοῦ Ἐξειλήσασα, ὅπερ ἡ συνήθεια Ἐκτυλίξασα ἢ Ξετυλίξασα λέγει· Πλούταρχος δ' ἀπεναντίως ἀντὶ τοῦ Εἰλέω ἐχρήσατο τῷ Ἀνειλέω, ὡς ἐσημειώσατο Στέφανος ἐν τῷ Θησαυρῷ — Στ. 17, Ἐφ' οἷς.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. — Στ. 23, Εἰπεῖν.] Οὕτω διώρθωκα, διὰ τὸν σολοικισμὸν τοῦ Εἶπεν.

Σελ. 408, σ. 13, Ὡς αὐτὴ Περσίνα.] Περιεῖλον τὸν σολοικον σύνδεσμον. — Στ. 14, Διασώσας.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. Στ. 16, Οὗ καὶ αἰχμάλωτος.] Οὕτως ὀρθῶς αἵ τε ΚΑ καὶ ΑΑ. Στ. 19, Μή τις δαίμων ἡμῖν ἐπιπαίζει.] Λείπουσιν αἱ πέντε λέξεις αὗται ἔκ τε τῆς Β καὶ τῶν ΑΑ. παρέλιπον δ' αὐτὰς καὶ ἀμφότεροι οἱ μεταφρασταί. εἰκὸς μέντοι ταῦτα συνάψαι τοῖς ἐχομένοις, Καὶ ὥσπερ προσωπεῖον κ.τ.λ. τὸν Ἡλιόδωρον, καθὰ καὶ ἀνωτέρω (σελ. 89) πεποίηκεν, «Ὁ τότε εἰληχὼς δαίμων » οἱονεὶ προσωπεῖον αὐτὴν ὑπῆλθε». — Στ. 20, Ὥσπερ προσωπεῖον τῇ κόρῃ ταῦτα περιθείς.] Οὕτω διορθωσάμην, τρέψας τὸ Προσωπείῳ εἰς τὸ Προσωπεῖον, καὶ τὸ Ταύτῃ εἰς τὸ Ταῦτα, ἵνα ᾖ ὁ νοῦς, Καὶ περιθεὶς τῇ κόρῃ ταῦτα τὰ γνωρίσματα ὥσπερ προσωπεῖον, ἤγουν κρύψας τὸ μὴ γνήσιον αὐτῆς ὑπὸ τοῖς γνησίοις καὶ ἀληθέσι τούτοις γνωρίσμασι. Προσωπεῖον δὲ κατ' αἰτιατικὴν ἔοικεν ἀνεγνωκέναι καὶ ὁ Λ. — Στ. 23, Καθάπερ νέφει.] Οὕτως αἱ ΔΑ343 (αἷς κατηκολούθησε καὶ ὁ Μ). καὶ τοῦτο μὲν ὀρθῶς· τὸ δ' ἐχόμενον Ταινίᾳ γράφεται ἐν αὐταῖς, Ταινίῃ, Ἰωνικῶς, ὅπερ ἀλλότριον τῆς Ἡλιοδωρείου διαλέκτου. ἀντὶ τοῦ Ἐπισκιάζων, φέρουσιν αὗταί τε αἱ ΔΑ καὶ αἱ ΑΑ, Περισκιάζων· αἱ δὲ ΚΑ παρὰ τοῦτο καὶ, Ἐπιπερισκιάζων.

Σελ. 409, σ. 9, Παρὰ σοὶ μάλιστα γνωριζομένην.] Ἐν ταῖς ΑΑ γράφεται, Παρὰ σοὶ μάλιστα καὶ γνωριζομένην· ἀλλ' ἔοικεν ὁ Καὶ σύνδεσμος οἰκειοτέρως ἂν τῆς προθέσεως προηγεῖσθαι, διὰ τὸ προηγησάμενον Γνωρίζω· ἔσται γὰρ ὁ

νοῦς

νοῦς τηνικαῦτα, Οὐ μόνον ἐγὼ γνωρίζω τὴν ταινίαν, ἀλλὰ καὶ παρὰ σοὶ ἔγνωσται τὸ κατεστίχθαι ταύτην αὐταῖς χερσὶ τῆς Περσίνης. — Στ. 11, Τῷ ὑποδεξαμένῳ.] Διέγραψα τὸν σόλοικον Γε, ὃς οὐδ᾽ ἐν ταῖς ΑΑ ἐμφέρεται. — Στ. 13, Ταῦτα.] Γραπτέον οἶμαι Καὶ ταῦτα, μετὰ τοῦ συνδέσμου, καθάπερ ἡρμήνευσε καὶ ὁ Α. τοῦ δὲ ἐχομένου Ἐπεδείκνυτο κατὰ μέσην διάθεσιν, μακρῷ ἂν ἄμεινον ἦν τὸ ἐνεργητικὸν, Ἐπεδείκνυ· καὶ ἴσως οὕτως ἐγέγραπτο. ἐρεῖ γὰρ καὶ μετ᾽ ὀλίγα, « Ἐδείκνυ τὴν Παντάρβην ». — Στ. 14, Οὓς πλέον κ. τ. λ.] Ἀποκατέστησα τὸ Οὓς, ἀφανισθὲν, ὡς ἔοικεν, ὑπὸ τῆς τελευταίας τοῦ Ὅρμους, μεταβαλὼν ἅμα καὶ τὴν στίξιν. οὕτω δ᾽ ἡρμήνευσαν καὶ οἱ μεταφρασταὶ ἀμφότεροι. — Στ. 23, Βελτίστη.] Ἐν τῇ Β, Βέλτιστε.

Σελ. 410, στ. 15, Τὴν ἐμοὶ συμβιοῦσαν.] Οὕτω διωρθωσάμην τρέψας τὴν κτητικὴν εἰς τὴν πρωτότυπον ἀντωνυμίαν. συγγνοῖεν δ᾽ ἂν ἡμῖν τῆς τόλμης οἱ τὰς ἡμαρτημένας γραφὰς ἴσα καὶ θεοῦ φωνὰς δυσωπούμενοι, ἀναμνησθέντες ὅτι καὶ ἐν τοῖς πρόσθεν (σελ. 176) τὴν αὐτὴν ἁμαρτίαν διωρθωσάμεθα ἐκ τῶν ΔΑ. ἀντὶ δὲ τοῦ ἐχομένου Λευκὴν, ἐν ταῖς ΑΑ γράφεται, Λευκὸν, συνυπακουομένου δηλονότι τοῦ Τέκνον, ὅπερ δυνάμει ἐμπεριέχεται ἐν τῷ Ἐτεκνώσαμεν. — Στ. 18, Ὅ, τι πάσχεις.] Ἡ Β, Ὃ πάσχεις. — Στ. 19, Ἀπὸ τοῦ τρόπου τοῦ σοῦ.] Ἀνεβίβασα τὸν τόνον τῆς προθέσεως, ἢ μᾶλλον ἔτρεψα τὴν πρόθεσιν εἰς ἐπίρρημα, ἵνα ᾖ ὁ νοῦς, Ἔξω τοῦ σοῦ τρόπου, ἢ Παρὰ τὸν σὸν τρόπον, ὡς ἄριστα συνῆκε καὶ μετέφρασεν ὁ Α, *Contre vostre nature*.

Σελ. 411, στ. 2, Οὐδένα ὑπόλογον τούτων ποιουμένων.] Παρὰ τὴν γραφὴν, Οὐδένα ὑπόλογον ποιούμενον, ἣν παρείληφεν ἐκ τῆς Β ὅ, τε Κ καὶ πάντες οἱ μετ᾽ αὐτὸν, ἐν ταῖς ΑΑ φέρεται, Οὐδένα ὑπόλογον τούτου ποιούμενον, ἐν δὲ ταῖς ΚΑ, αὐτή τε αὕτη, καὶ, Οὐδένα ὑπόλογον τοῦτον ποιούμενον· ὧν ἁπασῶν ἀδιανοήτων καὶ βαρβάρων οὐσῶν, ἐγράψαμεν, Οὐδένα ὑπόλογον τούτων ποιουμένων, τὸ μὲν Τούτων ἀναφέροντες πρὸς τὰ Γινωσκόμενα ὑπὸ τοῦ Ὑδάσπου, τὸ δὲ Ποιουμένων, πρὸς τὸ Ἡμῶν. ὁ νοῦς, Ἡμῶν οὐδένα λόγον ἢ φροντίδα ποιουμένων τούτων, ὧν βούλει γινώσκειν περὶ ἡμῶν, ὃν ἐξέφρα-

σαν καὶ οἱ μεταφρασταί. οὐκ ἄτοπον δὲ καὶ ἀντὶ τοῦ, Τούτων, ἑνικῶς ἀναγινώσκειν, Τούτου, τουτέστι τοῦ Γινώσκειν σε ἃ βούλει περὶ ἡμῶν. σημείωσαι δὲ καὶ τὸ Ὑπόλογον ποιεῖσθαι, τοῦ ἀρχαίου καὶ χρηστοῦ κόμματος ὄν· χρῆται γὰρ αὐτῷ οὐχ ἅπαξ ὁ Δημοσθένης ἐπὶ τῆς δηλωθείσης σημασίας. — Στ. 4, Καλὸν κἀγαθόν. ] Αἱ ΑΑ, Καλόν τε κἀγαθόν. ἡ δὲ φράσις ὅλη, Τὸ δὲ αὐτὸ καλὸν κἀγαθὸν ζηλοῦντες ἑαυτοὺς πείθειν ἀγαπῶμεν, οὐ πάνυ τι σαφής. ἔοικε μέντοι πρὸς τὸ ἐναντίον οἷς ἀνωτέρω (σελ. 303) γνωμολογοῦντα παρήγαγε τὸν Θεαγένην ἐκδεκτέον εἶναι τὸ προκείμενον. ἐκεῖ μὲν γὰρ ἔλεγεν ὁ Θεαγένης, « Ἀρκεῖ μὲν γὰρ ἴσως καὶ τὸ, μηδὲν ἑαυτῷ συνειδότα » φαῦλον, εὐμενείᾳ τῇ παρὰ τῶν κρειττόνων ἐπελπίζειν· » καλὸν δὲ καὶ ἀνθρώπων ΤΟΥΣ ΣΥΝΟΝΤΑΣ ΠΕΙΘΟΝΤΑ, » σὺν παῤῥησίᾳ τὸν ἐπίκαιρον τοῦτον βίον διάγειν »· ἐνταῦθα δὲ τοῦτο βούλεται λέγειν ὁ Σισιμίθρης, Οὐ γὰρ οὕτω βιοῦμεν ὥστε ἀρέσκειν ἑτέροις, ἀλλὰ ζηλοῦντες καὶ μεταδιώκοντες τὸ καλὸν, ταυτὸ ὑπάρχον τῷ ἀγαθῷ, στέργομεν καὶ ἀρκούμεθα (οὕτω γὰρ ἐκληπτέον ἐνταῦθα τὸ Ἀγαπῶμεν, ὡς ὀρθῶς ἡρμήνευσεν ὁ Α) τῷ ΠΕΙΘΕΙΝ ΕΑΥΤΟΥΣ, τουτέστι τῷ συνειδέναι ἑαυτοῖς ἐναρέτως βιοῦσι, κἂν εἰ μὴ πείθοιμεν τοῦτο τοὺς ἄλλους. — Στ. 8, Ἀπὸ τῆς κατὰ τὴν Ἀνδρομέδαν πρὸς σὲ ὁμιλίας ὁρωμένην. ] Κακῶς αἱ ΚΑ, Περὶ σὲ, ἀντὶ τοῦ, Πρὸς σέ. παρείληφα τὸ Ὁρωμένην ἐκ τῶν ΚΑ καὶ ΑΑ. τὸ δ᾽ ἑξῆς, Ἀπὸ τῆς πρὸς σὲ ὁμιλίας, τῆς γενομένης κατὰ τὴν Ἀνδρομέδαν ὁρωμένην, τουτέστιν, Ἀπὸ τοῦ συγγενέσθαι σοι ἐνώπιον τῆς εἰκόνος τῆς Ἀνδρομέδας, ἣν ἑώρα. οὕτω δ᾽ ἡρμήνευσαν καὶ ἀμφότεροι οἱ μεταφρασταὶ, ὧν ἅτερος, ὁ Α, οὐκ οἶδ᾽ ὅθεν λαβὼν, μετὰ προσθήκης ἐξέφρασεν, ὥσπερ εἰ ἐγέγραπτο, Ἀπὸ τῆς κατὰ τὴν καλὴν Ἀνδρομέδαν. ἀλλὰ, καὶ τούτων οὕτως ἐχόντων, ὅμως φαμὲν, ὅτι μακρῷ ἂν σαφέστερον καὶ οἷς εἴρηκεν ἀνωτέρω (σελ. 149) καταλληλότερον ἐξέφρασεν Ἡλιόδωρος τὸ προκείμενον, εἰ οὕτως ἔλεγεν, Ἀπὸ τῆς Ἀνδρομέδας, κατὰ τὴν πρὸς σὲ ὁμιλίαν ὁρωμένης. — Στ. 11, Ἐπισκόπει. ] Παρειληφὼς τὸ προστακτικὸν ἀπὸ τῶν ΑΑ, ἐξ ἀνάγκης μετήλλαξα καὶ τὴν στίξιν. ταύτῃ δὲ τῇ γραφῇ κατηκολούθησαν ὅ, τε Λ καὶ ὁ Α. — Στ. 13, Πρὸς τὰ λεχ-

θέντα.] Ἀντὶ τῶν τριῶν τούτων λέξεων ἐν ταῖς ΚΑ γράφεται, Προσταχθέντες. κακῶς δ' αὗταί τε καὶ αἱ ΑΑ, ἀντὶ τοῦ ἐχομένου Ἐκίνησαν, φέρουσιν Ἐκίνησε.

Σέλ. 412, στ. 1, Συνθήματι.] Αἱ ΚΑ καὶ ΑΑ, Σπιλώματι. σημείωσαι δὲ καὶ πάλιν τὸ Φύντων ἀντὶ τοῦ Φυσάντων, περὶ οὗ ἀρκούντως ἐν τοῖς πρόσθεν (σελ. 72) εἰρήκαμεν. — Στ. 4, Αὐτίκα.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 5, Ἐλέφαντα τὸν βραχίονα μιαίνων.] Παρὰ τὸ Ὁμηρικὸν (Ἰλιάδ. Δ, 141),

Ὡς δ' ὅτε τίς τ' ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ.

Στ. 10, Μυκηθμῷ.] Τὸ παρὰ τῷ Κ τυπογραφικῶς ἁμαρτηθὲν, Μυκυθμῷ, ἅπαντες οἱ μετ' αὐτὸν ἀσκέπτως παρέλαβον. — Στ. 12, Μικρόν τε ἔφθη συγκατενεχθῆναι τῇ Χαρικλείᾳ.] Ἡ μὲν τῆς Β γραφὴ, Μικρόν τε ἔφη κ. τ. λ. προδήλως ἡμάρτηται. ἐν δὲ ταῖς ΚΑ καὶ ΑΑ φέρεται καὶ ἑτέρα γραφὴ, Μικρόν τε ἔδει κ. τ. λ. οὐδὲν ἧττον ἀσαφὴς τῆς προκειμένης, Μικρόν τε ἔφθη· ὁποτέρως γὰρ ἂν γράφοις, ἀπορήσειας ἂν εἰκότως, πότερον, ὀλίγου δεῆσαι συγκατενεχθῆναι τῇ Χαρικλείᾳ τὴν Περσίναν, βούλεται λέγειν Ἡλιόδωρος, ὡς ἐν ἄλλοις (σελ. 177, 264 καὶ 434), καὶ ὡς ἐξεδέξατο ὁ Λ, ἢ συγκατενεχθῆναι ἀληθῶς, καθάπερ ἡρμήνευσεν ὁ Α. τὸ μὲν γὰρ πρῶτον ψευδές ἐστιν, ἐπείπερ οὐ μικροῦ ἐδέησε καλενεχθῆναι εἰς τοὔδαφος, ἀλλὰ κατηνέχθη, ὡς δῆλον ἐκ τῶν ἐχομένων, « Συγκατενεχθεῖσαν τῇ θυγατρὶ . . . ἀνεγείρων ». εἰ δὲ τοῦθ' οὕτως ἔχοι, ῥητέον τὸν Ἡλιόδωρον ἀκύρως πάνυ, καὶ τῇ χρήσει τῶν δοκίμων συγγραφέων ὑπεναντίως, χρήσασθαι τῷ Μικρὸν, ἀντὶ τοῦ Ἐν βραχεῖ, ἢ τοῦ κομψότερον διὰ μιᾶς λέξεως λεγομένου Ἔμβραχυ (Ἁρποκρατ. καὶ Ἡσύχ. λέξ. Ἐν βραχεῖ, καὶ Σουΐδ. λέξ. Ἔμβραχυ), ὅπερ ἡ συνήθεια διὰ τοῦ, Εἰς ὀλίγα λόγια, ἐξηγεῖται. δῆλος δ' ἐστὶ καὶ ὁ Α, οὕτως ἐκδεξάμενος τὸ χωρίον, *Brief, elle tomba à terre avecques Chariclea, qu'elle tenoit entre ses bras.* ἐνδέχεται δ' ἄλλως καὶ τῷ Μικρὸν ἐλλειπτικῶς ἀντὶ τοῦ Μετὰ μικρὸν χρήσασθαι, τῇ τῶν Εὐαγγελιστῶν ἰδέᾳ τοῦ λόγου κατακολουθήσαντα· οἷόν ἐστι τὸ (Ἰωάνν. ιϛ, 16) « Μικρὸν, » καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν, καὶ ὄψεσθέ με ». ἀλλ'

ὅπως ἂν δήποτε ταῦτα ἔχοι, ἔστι καὶ αὖθις φάναι, ὅτι ἐπιλήψιμος ὁ Ἡλιόδωρος, ἀσαφῶς ἅμα καὶ ἀκύρως τὸ Μικρὸν τῷ Ἔφθη συνάψας ἐπὶ τοῦ προκειμένου χωρίου· οὐδὲ γὰρ αὐτὸ τὸ Ἔφθη, εἰς ὅπερ ἄλλως εὐεπίφορος τυγχάνει (σελ. 49, 253, καὶ ἀλλαχοῦ) ἔῤῥωται ἐνταῦθα. τὸ γὰρ Φθῆναί τι ποιήσαντα ἢ παθόντα σημαίνει τὸ πρὸ ἑτέρου τι ποιῆσαι ἢ παθεῖν, οἷον ἐν τούτοις τοῦ Πλουτάρχου (Πῶς ἄν τις διακρ. τὸν κόλακ. τοῦ φίλ. § 31), « Ἔφθης με (φησὶ) μικρὸν » εἰπών· ἐγὼ γὰρ αὐτὸ τοῦτο λέγειν ἔμελλον ». — Στ. 13, Ὁ δὲ Ὑδάσπης ἠλέει μὲν τὴν γυναῖκα . . . ἀπομαχόμενος.] Οὕτως αἱ ΑΑ μετὰ τοῦ ἄρθρου, Τὴν γυναῖκα. ὅλον δὲ τουτὶ τὸ χωρίον οἰκείως ἅμα καὶ ἐπιχαρίτως παρῴδηται ἐκ τῶν Ὁμήρου (Ὀδυσσ. Τ, 209),

...................Αὐτὰρ Ὀδυσσεὺς
Θυμῷ μὲν γοόωσαν ἑὴν ἐλέαιρε γυναῖκα,
Ὀφθαλμοὶ δ᾽ ὡσεὶ κέρα ἕστασαν, ἠὲ σίδηρος,
Ἀτρέμας ἐν βλεφάροισι· δόλῳ δ᾽ ὅγε δάκρυα κεῦθε.

ἐπιχάριτος δὲ καὶ ἡ τροπὴ, Τὰς ὠδῖνας τῶν δακρύων· διατυποῖ γὰρ γραφικῶς τοὺς μήπω μὲν δακρύοντας ὀφθαλμοὺς, προθυμουμένους δὲ, καὶ οἷον ὠδίνοντας τῷ μόλις κατίσχειν δύνασθαι τὰ δάκρυα. — Στ. 18, Ἀνδρείῳ τῷ Λήματι κυματουμένης, καὶ κ.τ.λ.] Οὕτως αἱ ΑΑ καὶ ΔΑ87, μετὰ τοῦ ἄρθρου Τῷ, καὶ μετὰ τοῦ Καὶ συνδέσμου. ὀρθῶς δὲ καὶ Λήματι (ἀνθ᾽ οὗ ἡ Β, Βουλήματι) ἐν ταῖς ΑΑ δι᾽ ἑνὸς μ γέγραπται· οὐκ ὀρθῶς δὲ, Κυματούμενος καὶ Στασιαζόμενος, ἀντὶ τοῦ Κυματουμένης καὶ Στασιαζομένης.

Σελ. 413, στ. 8, Ἠχήν τέ τινα.] Ἐν ταῖς ΑΑ, Ἦχον δέ τινα. — Στ. 11, Κατασείων.] Αἱ ΔΑ613, Κατασείσας· καθ᾽ ὃν δὴ χρόνον ἐχρήσατο καὶ ἀνωτέρω (σελ. 398). — Στ. 23, Ἀωρίαν.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Ἀπορίαν.

Σελ. 414, στ. 6, Οὐδ᾽ εἴπερ ἣν ἐξῴκισαν . . . προσδέξονται.] Συγκέχυται ἡ σύνταξις τῶν πλείστων τῆς σελίδος ταύτης, εἴτε τῶν ἀντιγραψάντων, εἴτε καὶ αὐτοῦ Ἡλιοδώρου ἀβλεψίᾳ, οἷα φιλεῖ γίνεσθαι ἐν ταῖς πέρα τοῦ δέοντος μηκυνομέναις τῶν περιόδων, οὐκ εὐκρινῶς ἐπαγομένων τῶν ἀποδόσεων. ἔοικε μέντοι ἀπὸ κοινοῦ ληπτέον εἶναι τὸ προηγησάμε-

νον, Οὐκ ἔχω λέγειν κ. τ. λ. ἵνα ᾖ τὸ ἑξῆς, Οὐδὲ ἔχω λέγειν εἰ προσδέξονται οἱ θεοὶ ἱερουργουμένην αὐτοῖς πάλιν ταύτην, ἣν ἐξῴκισαν τῆς ἐνεγκούσης ἐπὶ πέρατα γῆς, ΑΥ̃ΘΙΣ ΔΈ μοι διὰ θαυματουργίας, ἘΝΕΧΕΊΡΙΣΑΝ, ὑμῖν δὲ καταλείπω σκοπεῖν. καὶ οὐχ ὑπερθήσομαι ἐναγίζειν θυγατέρα φανεῖσαν, ἣν ὡς πολέμιον κ. τ. λ. τοιοῦτον δέ τινα τοῦ λόγου εἱρμὸν προείλετο καὶ ὁ Λ. ὁ δὲ Α δῆλος μέν ἐστι καὶ αὐτὸς ἀπὸ κοινοῦ ἐκδεξάμενος τὸ Οὐκ ἔχω λέγειν, ἀλλ' ἑρμηνεύει οὐκ ὀρθῶς οἶμαι, ὥσπερ εἰ ἐχρῆν τὸν μὲν μετὰ τὸ Αὖθις σύνδεσμον Δὲ, μετενεγκεῖν μετὰ τὸ ἐχόμενον Ταύτην, στίζειν δὲ εἰς τὸ Ἐνεχείρισαν, οὕτω πως, Οὐδ' ἔχω λέγειν, εἴπερ ἣν ἐξῴκισαν τῆς ἐνεγκούσης ἐπὶ πέρατα γῆς, αὖθίς μοι διὰ θαυματουργίας ἘΝΕΧΕΊΡΙΣΑΝ. ΤΑΎΤΗΝ ΔῈ αὐτοῖς πάλιν ἱερουργουμένην προσδέξονται· καὶ οὐχ ὑπερθήσομαι ἐναγίζειν θυγατέρα φανεῖσαν, ἣν ὡς πολέμιον κ. τ. λ. — Στ. 8, Θαυματουργοῦντες.] Σημείωσαι καὶ πάλιν τὴν λέξιν, περὶ ἧς καὶ ἐν τοῖς πρόσθεν (σελ. 268) εἰρήκαμεν. ἀντὶ δὲ τοῦ ἐχομένου, Ἐν αἰχμαλώτῳ τῇ τύχῃ, ἐν ταῖς ΔΑ520 γράφεται, Ἐν αἰχμαλώτων τύχῃ. — Στ. 9, Αὐτοῖς.] Τουτέστι τοῖς θεοῖς. ἔστι δ' ἡ γραφὴ ἐκ τῶν ΑΑ καὶ ΔΑ520. — Στ. 10, Πολέμιον.] Αἱ ΑΑ καὶ ΔΑ520, Πολέμιος. — Στ. 14, Πήσομαι.] Ἐν ταῖς ΑΑ, Πείσομαι. τῆς δὲ τοιαύτης γραφῆς, καίπερ ἐπιπολαζούσης παρὰ τοῖς συγγραφεῦσιν, εἴτε βοιωτικῇ τροπῇ τοῦ η εἰς τὸ ει, ὥς φασί τινες, εἴτε καὶ ἀπ' ἀχρήστου ἐνεστῶτος τοῦ Πένθω (καθ' ὁμοιότητα τοῦ Σπένδω Σπείσω), ἀμείνων ἡ διὰ τοῦ η, εἰ μὴ δι' οὐδὲν ἄλλο, διά γοῦν τὴν πρὸς τὸ Πείσομαι, παρὰ τὸ Πείθω, συνέμπτωσιν. ἄλλως τε τὸ Πήσομαι ἀπὸ ἐνεστῶτος ἀχρήστου ἐστὶ τοῦ Πήθω, καθὰ τὸ Δήξω, Ἥσομαι, Λήξομαι, Λήσομαι, Λήψομαι, παρὰ τὸ Δήκω, Ἥδω, Λήχω, Λήθω, Λήβω. ὅτι δὲ πρὸς ταῦτα ἀναλόγως ἔχει τὸ Πήσομαι, δῆλον καὶ ἐκ τῶν διὰ τοῦ ανω ἐξ αὐτῶν παρηγμένων ῥημάτων· ὡς γὰρ Δαγκάνω (ὅπερ εὕρηται παρὰ τῷ Ἐτυμολόγῳ καὶ τῷ Εὐσταθίῳ, καὶ σώζεται ἐν τῇ συνηθείᾳ), Ἁνδάνω, Λαγχάνω, Λανθάνω, Λαμβάνω, λέγεται, οὕτω καὶ Πανθάνω ῥήματος ὅ, τε Ἐτυμολόγος καὶ ὁ Εὐστάθιος μνημονεύουσι, καὶ τὴν χρῆσιν οἱ ὀλίγαις πρότερον ἑκατονταετηρί-

σιν ἡμῶν γεγονότες ᾔδεσαν (Ἴδ. Δουκάγγ. σελ. 1078). τὰ πλεῖστα δὲ τῶν τοιούτων ἡ νῦν συνήθεια, οὐ μόνον διὰ τοῦ ανω, ὡς ἡ ἀρχαία, ἀλλὰ καὶ διὰ τοῦ αινω ἐκφέρειν πολλάκις φιλεῖ· καὶ γὰρ Λαχαίνω, Λαβαίνω, καὶ Παθαίνω λέγει. ἀλλ' οὐ διὰ τοῦτο χυδαιότητα καταγνωστέον αὐτῆς, ἐπεὶ καὶ παρὰ τοῖς ἀρχαίοις ἐδιφορεῖτο τινὰ τῶν διὰ τοῦ αζω, οἷον Λιπάζω καὶ Λιπαίνω, Ὀνομάζω καὶ Ὀνομαίνω, Ὑφάζω καὶ Ὑφαίνω. καὶ αὐτὸ δὲ τὸ Λαχαίνω τῶν Παλαιῶν, καίπερ ἕτερον σημαῖνον τοῦ ἐν τῇ συνηθείᾳ Λαχαίνω, παρὰ τὸ Λαγγάνω ἐστὶ, ἢ γοῦν τὴν αὐτὴν ἔχουσιν ἄμφω ἀρχήν τε καὶ γένεσιν. Λαχαίνειν γὰρ, ἥ φησιν Ἡσύχιος, σημαίνει τὸ « Ὀρύσσειν » σκάπτειν, ἀφ' οὗ καὶ τὸ Λάχανον »· Λαγχάνειν δὲ, τὸ Κληροῦν, ὡς αὐτὸς αὖθις Ἡσύχιος λέγει. ἀλλὰ μὴν τὸ Κληροῦν ἐγίνετο, τῶν κλήρων εἰς κοῖλόν τι καθιεμένων καὶ οἱονεὶ κατορυσσομένων, οἷον ὑδρίαν, κοιτίδα, κάδον, ἤ τι τοιοῦτον· οἱ δὲ παρ' Ὁμήρῳ ἥρωες, ὁπότε λαγχάνειν ἔχρῃζον καὶ εἰς κυνῆν τοὺς κλήρους καθίεσαν (Ἰλιάδ. ψ, 861),

> Κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες·
> Τεῦκρος δὲ πρῶτος κλήρῳ λάχεν..........

καὶ ταῦτα μὲν περὶ τοῦ Λαγχάνω τε καὶ Λαχαίνω, οἷς προσσημειούσθω ἐν παρόδῳ, ὅτι καὶ Ἐκλαγχάνειν ἐλέγετο ὁ κλήρῳ λαχὼν, ὅ δὴ, μόνου σημειωσαμένου Ἡσυχίου (λεξ. Ἐκλαχὼν), οὕπω παρέλαβον οἱ μετ' αὐτὸν Λεξικογράφοι. — Στ. 15, Ὀκλάσω.] Ἔτρεψα τὸ Ὀκλάζω εἰς τὸ Ὀκλάσω (ὅπερ ἡρμήνευσαν καὶ οἱ μεταφρασταὶ) διὰ τοὺς προηγησαμένους μέλλοντας. — Στ. 16, Τρέψομαι.] Αἱ ΑΑ, καὶ ΔΑ178, Τρέπομαι. — Στ. 17, Πρὸς τὸν νόμον.] Αἱ ΔΑ178, Πρὸς τῶν νόμων. — Στ. 18, Προσθεμένου.] Ἐν ταῖς ΚΑ εἰκάζει γραπτέον εἶναι ὁ Κ, Προσθέμενος, ὃ κατεχώρισεν εἰς τὴν ἰδίαν ἔκδοσιν ὁ Μ, εἴτε παρὰ τοῦ Κ λαβὼν, εἴτε παρὰ τῶν ΔΑ178, ἐν αἷς καὶ Προσθέμενος καὶ Προστιθέμενος εὕρηται, ἀλλ' ὡς διόρθωσις μᾶλλον ἢ διάφορος γραφὴ τοῦ Κ. — Στ. 24, Πρωτοτόκου.] Ἐν ταῖς ΔΑ250, Ἀτόκου.

Σελ. 415, στ. 3, Ποθητόν.] Αἱ ΚΑ, Ποθεινόν. — Στ. 8, Μή μοι σύγχει τὸν θυμὸν ὀδυρομένη.] Ἐξ Ὁμήρου (Ἰλιάδ. Ι, 608),

Μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων.

καὶ ἡ συνήθεια δὲ σέσωκε τὴν φράσιν, ὡς ἔφθην σημειωσάμενος (σελ. 265). — Στ. 17, Εἰ δή τι.] Περιέγραψα τὸν Καὶ, ὃν παρέλιπε καὶ ὁ Α. — Στ. 22, Πλείονι δὲ αὐτὸς πυρὶ τῷ πάθει τὴν καρδίαν σμυχόμενος.] Ὅλον τουτὶ τὸ κομμάτιον λείπει ἐκ τῶν ΑΑ καὶ τοῦ Λ. τὸ Πυρὶ παρείληπται ἐκ τῶν ΚΑ (ἐξ ὧν λείπει τὸ προηγούμενον Αὐτὸς) καὶ τοῦ Α.—Στ. 24, Τῶν ἐνηδρευμένων.] Τουτέστι, Τῶν προσποιητῶς καὶ μετὰ δόλου εἰρημένων, ἀπὸ μεταφορᾶς τῶν ἐνεδρευόντων. ἡ δὲ κατὰ παρακείμενον γραφὴ ἐκ τῶν ΑΑ.

Σελ. 416, στ. 14, Καὶ διὰ τῶν ἄλλων θυσιῶν.] Λείπει ὁ σύνδεσμος ἐκ τῶν ΑΑ. οἱ δὲ μεταφρασταὶ ἡρμήνευσαν, ὥσπερ εἰ ἐγέγραπτο, Καὶ δι' ἄλλων θυσιῶν, δίχα τοῦ ἄρθρου.

Σελ. 417, στ. 2, Συμφυλαχθείς.] Ἐκ τῶν ΑΑ. τοῦτο δ' ὅλον τὸ κομμάτιον, Καὶ εἰς τὰς ἐπινικίους σπονδὰς τοῖς θεοῖς συμφυλαχθεὶς, λείπει ἐκ τῆς Β. — Στ. 3, Προσιδρυμένος.] Ἐν τῇ Β, Προσιδρυνόμενος. — Στ. 5, Οὗτος ἡμέτερος.] Διωρθωσάμην ἐκ τῆς ἡμαρτημένης γραφῆς τῶν ΚΑ, Οὕτως ἡμέτερος. — Στ. 10, Ἀνήρ τε γάρ ἐστιν, ἐμοῦ τε τῆς γυναικὸς εὐθαρσέστερον.] Οὕτως αἱ ΑΑ. — Στ. 16, Κατὰ τὴν σκηνήν.] Λείπει κακῶς τὸ ἄρθρον ἐκ τῶν ΑΑ. — Στ. 17, Ἐνευφραίνεσθαί τε σοι παρέχουσα.] Ἡ ἀντωνυμία ἐκ τῶν ΑΑ, ἐν αἷς οὐκ ὀρθῶς, Παρέχουσαν, κατ' αἰτιατικήν. ὁ νοῦς (ὃν οὐδέτερος τῶν μεταφρασάντων συνῆκε), Παρέχουσα τῇ μητρὶ τὸ ἐπὶ σοὶ εὐφραίνεσθαι, ἣ δὴ μήτηρ πλέον ὠδίνει ἐπὶ τοῦ παρόντος, διὰ τὴν ἐπιθυμίαν τοῦ ἀπολαύειν σου καλακόρως, ἢ ὅτε σε ἔτικτε. τὸ Ὠδινούσῃ τυπογράφων ἁμαρτίᾳ δίχα τοῦ ὑπογεγραμμένου ῑ χαραχθὲν παρὰ τῷ Κ, παρέλαβον οἱ λοιποὶ, πλὴν τοῦ Βουρδελότου. — Στ. 20, Μελήσει.] Οὕτω δι' ἑνὸς λ αἱ ΔΑ581, αἷς κατηκολούθησε καὶ ὁ Μ. — Στ. 21, Σφαγιασθησομένης.] Ἐκ τῶν ΔΑ581, ἐξ ὧν παρείληφε καὶ ὁ Μ.—Στ. 22, Παντοίως.] Ἀντὶ τοῦ Πάντως, ἐνταῦθα. καὶ ὁ μὲν Λ τῷ ἐχομένῳ Ἐπιλεχθείσης συνῆψε, *Delecta omnino*· ὁ δὲ Α, τῷ Σφαγιασθησομένης, *Pour estre sans respit immolée*, ὃ καὶ ἄμεινον ἔμοι γε δοκεῖ. — Στ. 24, Ἐξωλόλυξε.] Σημείωσαι τὸ Ὀλολύζειν ἐνταῦθα ἐπὶ θρήνου, περὶ οὗ μέτιθι ἅπερ ἐν τοῖς πρόσθεν (σελ. 121) εἰρήκαμεν.

Σελ. 418, σΓ. 1, Τοῦ Θεαγένους.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. Στ. 2, Τὸ συμφέρον ἀντιθεμένη πρὸς τὸ ἐκμανὲν τοῦ πάθους, καὶ διὰ τὸ χρειῶδες κ.τ.λ.] Οὕτω διορθωτέον ἔγνωκα, τρέψας τὸ Τιθεμένη εἰς τὸ Ἀντιθεμένη, καὶ προσθεὶς τὸν Καὶ σύνδεσμον, ὃν φέρουσι μὲν καὶ αἱ ΑΑ, ἀλλ' ἡμαρτημένως οὑτωσὶ προτεταγμένον τῆς προθέσεως, Τὸ συμφέρον θεμένη ΚΑΙ πρὸς τὸ ἐκμανὲν τοῦ πάθους διὰ τὸ χρειῶδες κ. τ. λ. συνῳδὰ δὲ τῇ ἡμετέρᾳ διορθώσει ἡρμήνευσε καὶ ὁ Α, *Mettant l'utilité à l'encontre de la violence de son amoureuse passion, et se parforçant de porter patiemment ceste parole, pource qu'il estoit expedient d'ainsi le faire, elle se revint à son but.* —Στ. 4, Πάλιν ὑφεῖρπε τὸν σκοπόν.] Τουτέστι, πάλιν ὑπέκρυπτε τὸν σκοπόν, ὃ δὴ διὰ τοῦ, *Elle se revint à son but*, παραφράσαντα τὸν Α ἐσημειωσάμεθα μικρὸν ἀνωτέρω· καὶ ὁ Λ δὲ *Rursus occulte adrepebat ad scopum* ἡρμήνευσεν. ὥστε δήλους εἶναι ἀμφοτέρους, τῆς μεταβατικῆς χρήσεως τοῦ Ὑφεῖρπε τὸ καινὸν ἀποδοκιμάσαντας, καὶ προελομένους ἐκφράσαι ὥσπερ εἰ ἐγέγραπτο, Πάλιν ὑφεῖρπεν εἰς τὸν σκοπόν. οἱ γὰρ δόκιμοι τῷ Ἕρπω καὶ τοῖς ἐξ αὐτοῦ συγκειμένοις ἅπασιν ἀμεταβάτως χρῶνται. ἔστι δὲ τὸ Ἕρπω κυρίως μὲν τὸ τῇ κοιλίᾳ πορεύομαι, ἐπὶ τῶν δι' αὐτὸ τοῦτο καὶ Ἑρπετῶν καλουμένων, ἤγουν τῶν ἀπόδων ζώων, λεγόμενον· καταχρηστικώτερον δὲ καὶ τὸ ἁπλῶς Βαδίζω σημαίνει. παρὰ τοῦτο τὸ Ἕρπω καὶ οἱ Λατῖνοι ἐσχημάτισαν τὸ *Repo* καὶ *Serpo*, τὸ μὲν κατὰ μετάθεσιν τῶν στοιχείων (οἷον καὶ παρὰ τὸ Ἅρπαξ τὸ *Rapax*), ὅθεν τὸ *Reptilia* τὰ παρὰ τοῖς ἀρχαίοις τε καὶ νέοις Ἕλλησιν Ἑρπετά· τὸ δὲ κατὰ προσθήκην Αἰολικὴν ἢ Δωρικὴν τοῦ ἀρχικοῦ Σ, ὅπερ καὶ αὐτὸ τοῦ Δίγαμμα τάξιν ἀνεπλήρου, καθὰ δηλοῖ παρὰ μὲν Ῥωμαίοις τὸ *Sex*, *Septem*, παρὰ τὸ Ἕξ, Ἑπτὰ, καὶ ἄλλα μυρία, οἷς ἐνδιατρίβειν οὐ τοῦ παρόντος καιροῦ, παρ' Ἕλλησι δὲ πολλὰ διττογραφούμενα, οἷον Ἑρμύλιοι καὶ Σερμύλιοι, Ὑρίσκος (ἢ Ὑῤῥίσκος) καὶ Συρίσκος Ὗς καὶ Σῦς κ. τ. λ. ἐκ τούτου δὲ τοῦ *Serpo* Ῥωμαίοις μὲν τὸ *Serpens* ἰδικῶς τὸν ὄφιν δηλοῦν, παρ' ἡμῖν δὲ ἐν τῇ συνηθείᾳ ὁ Σερπετὸς, τὸν ὀξὺν καὶ εὐκίνητον μεταφορικῶς σημαίνων, ἴσως παρὰ τὸν παρὰ τῷ Ποιητῇ (Ἰλιάδ. Μ, 208) « Αἰόλον » ὄφιν», ὃς οὐ μόνον τὸν ποικίλον ἀλλὰ καὶ τὸν εὐκίνητον δηλοῖ·

ὅθεν

ὅθεν καὶ ὁ παρὰ τῷ αὐτῷ Ποιητῇ Κορυθαίολος, ὁ εὐκίνητον ἔχων τὴν κόρυθα, καὶ ἡ παρὰ τῷ Κωμικῷ (Βατρ. 247) Αἰόλα χορεία, ἣν Πηδητικὴν ἐξηγεῖται Σουΐδας. ἐκ ταύτης δὲ τῆς τοῦ ἀρχικοῦ σ ἀποβολῆς ἢ προσθήκης διορθούσθω καὶ ὁ Ἡσύχιος· ἄλλως γὰρ ἂν κενοσπουδία εἴη ἡ περὶ τὰς λέξεις ἔρευνα, εἰμὴ καὶ τὴν ἐξ αὐτῶν ὠφέλειαν ἔχοιμι ἐπιδεῖξαι τοῖς τῶν Ἑλλήνων ἀληθῶς φιλομούσοις, οὓς καὶ διδάξαι ἕτοιμος, παρ᾽ ὧν καὶ μαθεῖν τι χρηστὸν ἑτοιμότερος, οἷς μόνοις καὶ γράφω, οὐχ Ἡλιόδωρον ἐξηγούμενος, οὐδὲ γὰρ τοῦτό μοι πρόκειται ὅτι μὴ πάρεργον, ἀλλὰ προτρέπων αὐτοὺς εἰς τὴν ἀκριβῆ τῆς Ἑλλάδος φωνῆς καλανόησιν, ἧς ἄνευ οὐδὲ τὴν καθωμιλημένην ταύτην τῶν Γραικῶν γλῶτταν δεόντως ἐπανορθοῦσθαι οἷόν τε. ἔστι τοίνυν τὸ διορθώσεως χρῇζον Ἡσυχίου χωρίον τοῦτο, « ΑΥ̓ΡΟΙ· ΛΟΓΟΙ ἼΣΑΥΡΟΙ ». τὰς μὲν οὖν δύο πρώτας λέξεις ἴσχυσαν ἔκ τε τοῦ Σουΐδα καὶ ἑτέρων λεξικογράφων διορθώσασθαι οἱ Κριτικοὶ, τρέψαντες εἰς τὸ, Αὖροι· λαγωοὶ (ἢ λαγοὶ). διὰ δὲ τῆς τρίτης τοῦτο ἀτυχῶς πάνυ εἴκασάν τινες βούλεσθαι λέγειν τὸν Ἡσύχιον, ὅτι τῇ Ἰσαύρων γλώσσῃ Αὖροι καλοῦνται οἱ Λαγωοί. ἀλλ᾽ ἦν ὅμως οὐ χαλεπὸν μνημονεύσαντα τῶν προκατειλεγμένων λέξεων, ἀσίγμων τε καὶ σιγματογραφουμένων τῶν αὐτῶν, οὕτως ἀναπληρῶσαι τὴν Ἡσυχίου διόρθωσιν, ΑΥ̓ΡΟΙ. ΛΑΓΟἸ, Ἠ ΣΑΥ̓ΡΟΙ. δι᾽ οὗ τοῦτο βούλεται λέγειν ὁ πολυμαθὴς Λεξικογράφος, ὅτι παρὰ τοῖς Ἀρχαίοις ὁ Σαῦρος ἐκαλεῖτο καὶ Αὖρος δίχα τοῦ σ· ὁ δὲ Αὖρος παρὰ τὸν Σαῦρον ἐδήλου καὶ τὸν Λαγόν. οὐ μόνον δὲ τοῦτο, ἀλλ᾽, ὥς φησιν Ἑλλάδιος (Χρηστομαθ. σελ. 7) καὶ τὸν κατὰ νοῦν ἐλαφρὸν ἐσήμαινε τὸ Καῦρος, μόνῳ τῷ πλεονασμῷ τοῦ κ διαφέρον τοῦ Αὖρος, δηλονότι παρὰ τὴν Αὔραν, τὴν πνοὴν τοῦ ἀνέμου· καθὰ Οὔριον ἐν τοῖς πρόσθεν (σελ. 124) ἐλέγομεν τὸν μωρὸν, παρὰ τὸν Οὖρον, τὸν ἄνεμον. καὶ σημείωσαι τῶν διφθόγγων τὴν συγγένειαν ἐν τῷ Αὔρα καὶ Οὖρος, ἵνα καὶ τοῦ ἐν τοῦ συνηθείᾳ Αὐτίου (τοῦ τῆς ἀκοῆς αἰσθητηρίου) μὴ καταγινώσκῃς βαρβαρότητα· ὃ γὰρ οἱ ἄλλοι Ἕλληνες, Οὖς, ὠτὸς, ἐκάλουν, τοῦτο Κρῆτες καὶ Λάκωνες, καθάπερ αὖθις αὐτὸς Ἡσύχιος λέγει (λεξ. Αὖς), Αὖς, αὐτὸς, ὠνόμαζον. ὡς οὖν παρὰ τὴν Ὠτὸς γενικὴν τὸ Ὠτίον, οὕτω καὶ παρὰ τὴν Αὐτὸς, τὸ Αὐτίον

Υυ

ἐσχηματίσθαι.—Στ. 16, Οὔπω τῶν ὄντων ἐπήβολος γιγνόμενος.] Ἠλίθιον ἀτεχνῶς παρίστησι τὸν Ὑδάσπην ὁ ὀξὺς Ἡλιόδωρος, εἰ μετὰ τοσαύτας φωνάς τε καὶ παραιτήσεις, οὔπω συνῆκε τῆς θυγατρὸς τὸ πάθος. τοῦτο δὲ ὅλως ἀπίθανον, ἄλλως τε οὐδὲ ἀναγκαῖον εἰς τὴν τοῦ δράματος διάθεσιν. — Στ. 23, Περιγραφῆναι.] Περιαιρεθῆναι, καταργηθῆναι.

Σελ. 419, σλ. 1, Θεῶν.] Ἐν ταῖς ΑΑ, Θεοῦ. — Στ. 12, Ἀναδειχθῆναι.] Οὕτως αἱ ΑΑ καὶ ΔΑ693. ἐν ταῖς ΚΑ αὐτό τε τοῦτο, καὶ, Ἀναδεχθῆναι. τὸ δὲ Ἀναχθῆναι, κἂν εἰ μὴ ἀπαρέσκῃ τῷ Μ τε καὶ τῷ Δορβίλλῳ, ἐμοὶ γοῦν ἐπιεικῶς βάρβαρον ἐνταῦθα δοκεῖ. — Στ. 18, Σεμνόν τι καί.] Ἐν ταῖς ΑΑ, Σεμνόν γε καί. σημείωσαι δὲ καὶ τὸ ἐχόμενον Ἐπίδοξον, ᾧ χρήσεται καὶ ἐν τοῖς ἑξῆς (σελ. 436 καὶ 442), ἐπὶ τῆς σημασίας τοῦ Ἔνδοξον, ὡς ἀλλότριον Ἀττικισμοῦ, δι᾽ ἅπερ φθὰς εἴρηκα (σελ. 136). — Στ. 22, Ἥδε ἡ πρᾶξις.] Οὐκ ὤκνησα διορθώσασθαι τῇ τοῦ ἄρθρου προσθήκῃ. — Στ. 23, Τῆς δέ.] Διορθωσάμην καὶ τοῦτο, τρέψας τὸν Τε εἰς τὸν Δὲ, διὰ τὸν προηγησάμενον Μέν. — Στ. 25, Αἴτησιν.] Οὕτως αἱ ΚΑ, ΑΑ, καὶ ἀμφότεροι οἱ μεταφρασταί. δηλοῖ δὲ καὶ τὰ ἑξῆς νόθον εἶναι τὴν παρὰ τοῖς ἄλλοις ἅπασι γραφὴν, Αἰτίαν.

Σελ. 420, σλ. 2, Προσκύψασα.] Διωρθωσάμην καὶ αὖθις τὸ Προκύψασα, οὗ καὶ πρὸ ἡμῶν ἕτεροι τὴν ἁμαρτίαν ἐφώρασαν. Στ. 10, Τολμᾶν . . . περιορᾶν.] Τὸ μὲν Τολμᾶν φέρουσιν αἱ ΚΛ ἐκ διορθώσεως τοῦ Ξυλάνδρου· τὸ δὲ Περιορᾶν αὐταί τε αὗται καὶ αἱ ΑΑ, ἀνθ᾽ οὗ κακῶς ἐν τῇ Β γράφεται Προορᾶν. ὁ νοῦς, Τὸ κατεπεῖγον τοῦ καιροῦ καὶ ὁ πρὸ ὀφθαλμῶν κίνδυνος τοῦ Θεαγένους κατηνάγκαζε τὴν Χαρίκλειαν τολμᾶν, καὶ περιορᾶν τὴν παρθένοις πρέπουσαν αἰδῶ. καὶ ἔοικεν ἄμεινον οὕτως ἐκφράζειν, ἀπὸ κοινοῦ λαμβάνοντα τὸ Κατηνάγκαζεν, ἢ τρέποντα εἰς τὸ Κατηνάγκαζον. τῶν δὲ μεταφραστῶν ὁ μὲν Λ ἡρμήνευσεν, ὥσπερ εἰ τοιοῦτόν τινα ἐχρῆν εἶναι τῶν λεγομένων τὸν εἱρμὸν, Τὸ γὰρ κατεπεῖγον καὶ ἐν ὀφθαλμοῖς ὁρώμενον τοῦ κινδύνου τῷ Θεαγένει, τολμᾶν τὴν Χαρίκλειαν, καὶ περιορᾶν τὴν αἰδῶ τὴν παρθένιον κατηνάγκαζεν· ὁ δὲ Α τοιοῦτόν τι ἔοικε λέγειν· Τὸ γὰρ κατεπεῖγον τολμᾷ (ἢ Τὸ γὰρ κατεπεῖγον ποιεῖ τολμᾶν) τὴν αἰδῶ τὴν παρθένιον περι-

ὁρᾶν· καὶ τὸ ἐν ὀφθαλμοῖς ὁρώμενον τοῦ κινδύνου τῷ Θεαγένει κατηνάγκαζεν εἰς τοῦτο τὴν Χαρίκλειαν, *Car une necessité urgente donne bien la hardiesse de mettre en arriere toute virginale vergoigne, et le danger de Teagenes qu'elle voyoit evidemment devant ses yeux la contraignoit de ce faire.* — Στ. 13, Ὡς κακὰ τοῖς καλοῖς κ. τ. λ.] Παρὰ τὸ τοῦ Εὐριπίδου (παρὰ Πλουτάρχ. Πῶς δεῖ τὸν νέον ποιημ. ἀκούειν § 6),

> Οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακὰ,
> Ἀλλ' ἔστι τις σύγκρασις............

Στ. 25, Καθωσιωμένης.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Καθιερωμένης.

Σελ. 421, στ. 10, Νηφάλιον.] Εἰς τοῦτο ἔτρεψα τὸ παρ' ἅπασι Νηφάλεον, ὅπερ ἔοικε γραφικῶς ἡμαρτῆσθαι ἢ τῷ τόνῳ, ἢ τῷ τῆς παραληγούσης στοιχείῳ, καίπερ εὑρισκομένης καὶ παρὰ τῷ Σουΐδα (λεξ. Νηφάλεος) τῆς τοιαύτης γραφῆς. εἰ οὖν προαιρῇ τὴν διὰ τοῦ εος παραγωγὴν, γράφε ἐν μὲν τῷ Ἡλιοδώρου χωρίῳ Νηφαλέον, παρὰ δὲ τῷ Σουΐδα, Νηφαλέος, παροξυτόνως· τὰ γὰρ διὰ τοῦ αλεος ὀνόματα πλὴν τεσσάρων τινῶν, ᾗ φησιν ὁ Ἐτυμολόγος (σελ. 261), ἅπαντα πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον Ἀργαλέος, Γηραλέος, Θαρσαλέος, Ῥωμαλέος κ. τ. λ. — Στ. 15, Ἀνευρεῖν.] Οὕτω διωρθωσάμην τὸ βάρβαρον Ἀνενευρεῖν, ὃ φέρουσιν ἅπαντες καὶ ἅπασαι, πλὴν τῶν ΚΑ, ὅπου γράφεται Ἀνερευνᾶν. — Στ. 16, Χρηματίσαι.] Σημαίνει ἡ λέξις τὸ ὁμιλεῖν καὶ διαλέγεσθαι περὶ χρημάτων, ἤγουν πραγμάτων, δημοσίων. καὶ ἔστι τοῦτο, ἡνίκα παρὰ βασιλέως πρὸς πρέσβεις ἢ ἄλλους τινὰς γίνεται ὁ χρηματισμὸς, τὸ παρὰ τοῖς Γάλλοις *Donner audience*· ὅθεν καὶ Χρηματιστήριον παρὰ τῷ Σικελιώτῃ Διοδώρῳ (ΙΔ, ζ') ὁ τόπος ἔνθα χρηματίζει ὁ βασιλεὺς, ὃν εἴποις ἂν τῇ Γάλλων φωνῇ *Salle d'Audience*. τοῦ χρόνου δὲ προϊόντος, μετέπεσε τὸ Χρηματίζειν εἰς τὴν σημασίαν τοῦ προσαγορεύεσθαι, οὗ παραδείγματα εὑρήσεις ἐν τῷ θησαυρῷ τοῦ Στεφάνου (Δ, σελ. 607). περὶ οὗ δὲ ἀμφισβητεῖ Στέφανος, εἰ τὸ Χρηματίζειν ἐτέθη ποτὲ καὶ ἀντὶ τοῦ Ὑπάρχειν, καθὰ παρέδωκαν ὅ, τε Σουΐδας καὶ ὁ Βουδαῖος, τοιοῦτόν ἐστι· τῆς φιλοκαίνου καὶ μεταβόλου χρήσεως τεταχυίας τὸ Χρηματίζειν ἐπὶ τοῦ πρώτως λαβόντος ἣν οὕτω

ἐκέκλητο προσηγορίαν, οἱ μεταγενέστεροι καὶ ἐπὶ τοῦ ἐν παρατάσει προσαγορευομένου τι ἐχρήσαντο τῇ λέξει· τοῦτο δ᾽ οὐδέν ἐστιν ἕτερον ἢ τὸ Ὑπάρχειν τι· ὃ γάρ τις διηνεκῶς ὀνομάζεται, τοῦτο καὶ ἐστί. τὸν αὐτὸν δὲ τρόπον, ἐπεὶ τὸ προσαγορευθῆναι πρώτως τι συμπίπτει πολλάκις τῷ ἀναγορευθῆναι, τοῦτο δ᾽ ἐστὶ ταυτὸν τῷ γενέσθαι, ἢ ἀποβῆναι, ἐξενίκησε τὸ Χρηματίσαι καὶ ταύτην προσλαβεῖν τὴν σημασίαν ἐν τῇ συνηθείᾳ· φαμὲν γὰρ, Ἐχρημάτισε βασιλεὺς, πατριάρχης, ἐπίσκοπος, ἀντὶ τοῦ Ἐγένετο, ἢ Γέγονε, ἢ Ὑπῆρξε βασιλεὺς κ. τ. λ. — Στ. 19, Τῆς τε σκηνῆς.] Κακῶς αἱ ΑΑ, Καὶ τῆς τε σκηνῆς, διὰ διπλοῦ τοῦ συνδέσμου. — Στ. 20, Ἐφ᾽ ὑψηλοῦ.] Ἐκ τῶν ΚΑ. — Στ. 22, Ὁ δὴ οὖν εἰσαγγελεὺς Ἁρμονίας.] Τὸ μὲν κύριον ὄνομα πέπλασται πρὸς τὸ ἐπιτήδευμα τοῦ Εἰσαγγελέως, ὃν τοῦ ἁρμόζοντος ἐστοχάσθαι προσήκει μάλιστα, καθὰ καὶ ἐν τοῖς πρόσθεν (σελ. 169) ὁ Ἡγησίας, διὰ τὸ στρατηγὸς εἶναι. Εἰσαγγελεὺς δὲ λέγεται παρ᾽ Ἡροδότῳ ὁ τοὺς δεομένους τῷ βασιλεῖ ἀγγέλλων, ὃς λέγοιτ᾽ ἂν διὰ τοῦτο καὶ Εἰσαγωγεὺς, ὡς παρὰ τῷ Σουΐδᾳ (λέξ. Εἰσαγωγεύς). εἰ δὲ καὶ πρέσβεις εἰσάγοι παρὰ τῷ βασιλεῖ, καθάπερ ὁ Ἡλιοδώρειος Ἁρμονίας, εἴη ἂν τηνικαῦτα ὁ παρὰ τοῖς Γάλλοις λεγόμενος *Introducteur des Ambassadeurs*. — Στ. 24, Κεκριμένως.] Οὕτως ἐπιῤῥηματικῶς αἵ τε ΚΑ καὶ ΑΑ, ᾗ γραφῇ συνηγορεῖ καὶ τὸ μετ᾽ ὀλίγα λεγόμενον ὑπὸ τοῦ βασιλέως, Διῃρημένως. τὸ δὲ ἐπαγόμενον Ἰδίᾳ, ὁ μὲν Λ οὐ συνῆκεν, ὁ δὲ Α παρέλιπεν, ὡς ταυτὸν ὂν τῷ Κεκριμένως· οὐκ ἔστι μέντοι. δύο γάρ τινα ἐρωτᾷ Ἁρμονίας, εἰ πάντας ὁμοῦ τοὺς πρεσβευτὰς εἰσάγειν ὀφείλοι, ἢ ἐν μέρει καὶ διακεκριμένως ἑκάστου ἔθνους, καὶ δεύτερον, εἰ ἰδίᾳ, τουτέστι μόνους πρὸς μόνον τὸν βασιλέα, μηδενὸς τῶν οἰκείων παρόντος. δῆλον δὲ τοῦτο γενήσεται παραθεμένοις ἕτερα παράλληλα χωρία (σελ. 287, 300 καὶ 301).

Σελ. 422, στ. 12, Ἀντὶ παιδὸς ἐμοὶ γιγνόμενον.] Οὐ μόνον διὰ τὸ συγγενὲς, ἀλλ᾽ ὅτι καὶ ἄπαις ἦν, ἢ γοῦν ἐπίστευεν εἶναι πρὸ τῆς ἀνευρέσεως τῆς Χαρικλείας. ἴσως δὲ καὶ γραπτέον, Γενόμενον, ἢ γεγενημένον. — Στ. 13, Εἶπεν, ὦ δέσποτα.] Ἀνεστραμμένως αἱ ΑΑ, Ὦ δέσποτα, εἶπεν. — Στ. 16, Δεομένου.]

Διώρθωκα τὸν σολοικισμόν. ἀπιθάνως δ' ἐνταῦθα γνωμολογοῦντα ποιεῖ τὸν Ἁρμονίαν περὶ τοῦ καιροῦ πρὸς τὸν βασιλέα· οὐδὲ γὰρ ὅμοιον τοῦτο τῷ κατὰ τὸν Ἡγησίαν (σελ. 169). ἐκείνῳ μὲν γὰρ στρατηγῷ ὄντι, καὶ προτρέψαι σπουδάζοντι τοὺς Δελφοὺς εἰς τὴν κατὰ τῶν Θεσσαλῶν νεανιῶν ἐκστρατείαν, ἐλυσιτέλει τὸ γνωμολογεῖν περὶ τοῦ καιροῦ· τῷ δὲ εἰσαγγελεῖ Ἁρμονίᾳ ἤρκει τὸ συγγνώμην αἰτήσασθαι παρὰ τοῦ βασιλέως, προϊσχόμενον τὴν διὰ τὰς βασιλίδας δυσωπησιν. — Στ. 21, Ἀξιοπρεπές τι νεανίου χρῆμα,] Λείπει κακῶς τὸ Νεανίου ἐκ τῶν ΑΑ. ἔστι γὰρ κατὰ τὸ Ἡροδότειον (Α, λϛ') Συὸς χρῆμα μέγα. — Στ. 23, Δεκάδα ἐτῶν.] Εἰς τοῦτο τρέψαι δεῖν ἔγνων τὸ παρὰ πᾶσιν ἡμαρτημένον Δέκα δὲ ἐτῶν. ἀντὶ δὲ τοῦ ἐχομένου Ἑβδομάδι, ἐν ταῖς ΚΑ καὶ ΑΑ γράφεται (ἡμαρτημένως καὶ τοῦτο), Ἑβδομάδα.

Σελ. 423, στ. 6 Ἑαυτοῦ.] Ἔκ τε τῶν ΚΑ καὶ ΑΑ. — Στ. 9, Καὶ γενάρχαι.] Αἱ ΚΑ καὶ ΑΑ, Γενεάρχαι. λείπει δ' ὁ σύνδεσμος ἐκ τῶν ΑΑ. — Στ. 11, Τῶν τελειοτέρων.] Οὕτως ὀρθῶς κατὰ γενικὴν αἵ τε ΚΑ καὶ ΑΑ. τὸ δὲ ἐχόμενον Εἴ τι μὲν, διώρθωκα μεταβαλὼν εἰς τὸ Εἴ τί με. — Στ. 15, Οἱονεὶ πυρὸς κ. τ. λ.] Τὸ ἀδιανόητον, Οἱονεὶ πρὸς αἰθάλην, μετήλλαξα εἰς τὸ Οἱονεὶ πυρὸς αἰθάλην. ὁ νοῦς, Δῆλος ἦν φοινιχθεὶς ὁ Μερόηβος, καίπερ μέλας ὢν, ἐπιδραμόντος τοῦ ἐρυθήματος τὴν χροιὰν, ὥσπερ ἂν εἰ πῦρ ἐπέτρεχεν αἰθάλην. τὸ δὲ Ἐπιτρέχειν κομψῶς ἐπὶ τοῦ ἐπιπολάζειν καὶ ἐπιφαίνεσθαι τεθειμένον, ἡ μὲν πλείων χρῆσις δοτικῇ συντάττει· ἐνιαχοῦ δὲ καὶ πρὸς αἰτιατικὴν εὕρηται συναπτόμενον (Ἴδ. Στεφ. Θησαυρ. Γ, 1660), καθὰ καὶ αὐτὸ τὸ Ἐπιπολάζω αἰτιατικῇ φιλεῖ συντάττειν ὁ Ἡλιόδωρος (σελ. 88 καὶ 324). Αἰθάλη δέ ἐστιν ἐνταῦθα τὸ ἐκ καμίνου μέλαν, εἶδος πεπυκνωμένου καπνοῦ, καθάπερ ἐξηγεῖται Σουΐδας, ὃ ἡ συνήθεια Καπνίαν καὶ Καμινίαν ὀνομάζει. ἔστι δὲ παρὰ τοῖς Ἀρχαίοις Αἰθάλη καὶ ἡ ἄλλως λεγομένη σποδὸς, ἢ τέφρα (Ἡσυχ. καὶ Σουΐδ. λέξ. Αἰθάλη), ἡ ἐν τῇ συνηθείᾳ μονοφθόγγως Ἀθάλη λεγομένη, καθὰ καὶ τὸ Ἀψὰ παρὰ τὸ Αἶψα, ὅπερ ἐσημειωσάμεθα ἐν τοῖς πρόσθεν (σελ. 96). τὴν δὲ λέξιν,

παραλειφθεῖσαν τοῖς Λεξικογράφοις, εὑρήσεις συνεχῶς ἐν τῷ καλουμένῳ Ἐρωτοκρίτῳ, οἷον (σελ. 76, ἐκδ. Ἐνετ. 1797),

Μὲ φρόνεψι τὸ κάρβουνον εἰς τὴν ἀθάλη τὄχει.

Στ. 20, Γεννάδαν.] Οὕτω διώρθωκα· ἔστι γὰρ παρὰ τὸ Γεννάδας. τὸ δὲ Γεννάδα τῶν λοιπῶν ἡμάρτηται· οὐδὲ γὰρ εὕρηται ὀνομαστικὴ Γεννάς· εἰ δὲ καὶ ἦν, ἕτερον ἄν τι ἐσήμαινεν, ἀνάλογον τῷ Τοκάς. — Στ. 21, Προσφόρως.] Ἐκ τῶν ΚΑ. — Στ. 24, Ἐν κόνει καὶ σταδίοις.] Αἱ ΑΑ, Ἐν κονικοῖς σταδίοις.

Σελ. 424, στ. 1, Ἐπεδείκνυ.] Διωρθωσάμην τὴν σύγχυσιν τῶν προθέσεων. — Στ. 5, Ὠγύγιος.] Ὠγύγια λέγονται τὰ παλαιὰ, τὰ ἀρχαῖα, ἀπὸ Ὠγύγου τοῦ πρώτου βασιλεύσαντος Θηβῶν. σημαίνει δὲ καὶ τὰ Ὑπερμεγέθη (Σουΐδ. λέξ. Ὠγύγιον)· ἴσως διὰ τὸ τοὺς Ἀρχαίους, κοινῇ δόξῃ μείζους τῶν μεταγενεστέρων ὑπειλῆφθαι τὴν ἡλικίαν. καλῶς ὁ Λ παρέφρασε *Prisca illa statura homo*. ὁ δὲ Α, εἴτε μὴ συνεὶς, εἴτε καὶ περιττὴν ἡγησάμενος τὴν λέξιν παρέλιπε. — Στ. 9, Ὅπλων τε καὶ χειρῶν.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. τὸ δὲ προστιθέμενον, Γυμνῶν (ἀνθ' οὗ αἱ ΚΑ, Γυμνὸν), καὶ πολὺ πλέον τὸ ἐν τῇ Β, Καὶ μεθ' ὅπλων καὶ γυμναῖς ταῖς χερσὶν, ἐπεξηγήσεις ἐοίκασιν εἶναι. — Στ. 16, Ἐξεκάγχασε.] Ἐκ τῶν ΚΑ. τὸ δὲ Καγχάζω, ὅ ἐστι τὸ ἀμέτρως καὶ ἀθρόως γελῶ, εἰκὸς διαφόρους σχηματισμοὺς λαχεῖν, ὡς καὶ πάνθ' ὡς εἰπεῖν τὰ ὀνοματοπεποιημένα· ἄλλου γὰρ ἄλλως μιμουμένου τοὺς ψόφους τε καὶ τὰς ἀνάρθρους φωνὰς, καὶ μηδενὸς κατατυγχάνοντος τῇ μιμήσει, ἀνεξέλεγκτα καὶ τὰ τοῦ σχηματισμοῦ. εὕρηται τοίνυν Καγχάω, Καγχάζω, Καγχαλάω, Καγχλάζω, Καγχαλίζω, καὶ ἄλλα, ἅτινα ἐσημειώσαντο οἱ Λεξικογράφοι. ἐντεῦθεν ἡ Ῥωμαίων φωνὴ, ὀνοματοποιήσασα καὶ αὐτὴ, ἐσχημάτισε τὸ *Cachinnor*, ὡς ἀπὸ τοῦ Καγχίνω δῆθεν ἢ Καχίνω, καὶ ἡ συνήθεια τὸ Κακανίζω, καὶ μικρῷ πρὸ ἡμῶν τὸ Χαχανίζω, οἱονεὶ ἀπὸ τοῦ Καγχανίζω, ὃ καὶ συνθέτως ἐνίοτε λέγει Κακανογελῶ. — Στ. 17, Τὴν δόξασαν αὐτοῖς ὑποκαλάκλισιν κ.τ.λ.] Τυπογραφικῶς ἁμαρτηθὲν τὸ Ὑποκαλάκλησιν παρὰ τῷ Κ, παρειλήφασιν οἱ μετ' αὐτὸν, πλὴν τοῦ Βουρδελότου. ἀντὶ τοῦ ἐχομένου Κατ' ἐκείνου, ἐγράψαμεν Κατ' ἐκεῖνον, ἵνα ἢ τῆς μεγα-

λαυχίας ἐκείνου, καθὰ καὶ πρὸ μικροῦ (σελ. 419) εἴρηκεν, Ἡ κατὰ σὲ παρθένια, ἀντὶ τοῦ, Ἡ σὴ παρθενία. οὕτω δὲ κτητικῶς ἐξεδέξαντο καὶ οἱ μεταφρασταὶ ἀμφότεροι· πλὴν εἰ μή τις προαιροῖτο γράφειν ἐνταῦθα Κατ' ἐκείνων, τουτέστι, τῆς κατὰ τοῦ δήμου μεγαλαυχίας τοῦ Αἰθίοπος. ἴσως δὲ καὶ τὸ Αὐτοῖς τρεπτέον εἰς τὸ Αὐτῶν (ὅπερ ἐμφέρεται ἐν ταῖς ΑΑ), ἵνα ᾖ ὁ νοῦς τοῦ χωρίου, Παρηγορηθεὶς ὁ δῆμος, ὃς, διὰ τὸ μηδένα τολμῆσαι συμπλακῆναι προκαλουμένῳ τῷ Αἰθίοπι, ἔδοξεν ὑποκατακλίνεσθαι καὶ ὁμολογεῖν τὴν ἰδίαν ἀσθένειαν, τῷ παρὰ τοῦ βασιλέως χλευασμῷ τῆς κατ' ἐκεῖνον μεγαλαυχίας, ἢ τῆς κατ' ἐκείνων μεγαλαυχίας.—— Στ. 21, Ἀραχνίων.] Ἀπὸ τῆς εὐθείας Ἀράχνιον. σημαίνει δ' ἐνταῦθα τὸ ζῶον αὐτὸ, καίπερ ἄλλως Ἀμμώνιος ἀποφαίνεται περὶ τούτου. κατ' ἐκεῖνον γὰρ, ἡ Ἀράχνη θηλυκῶς, καὶ τὸ Ἀράχνιον οὐδετέρως, τὸ ὕφασμα σημαίνουσιν. ὁ Ἀράχνης δ' ἀρσενικῶς, αὐτὸ τὸ ὑφαῖνον ζωΰφιον. ἀλλ' ἐν μὲν τοῖς πρωτοτύποις, ἴσως οὕτω διέκρινεν ἡ χρῆσίς ποτε, ἐπὶ μὲν τοῦ ζώου, Ὁ Ἀράχνης, ἐπὶ δὲ τοῦ ὑφάσματος, Ἡ ἀράχνη, λέγουσα· τὸ δὲ παράγωγον, καθ' ὑποκοριστικὸν τύπον, Ἀράχνιον, ἐξ ἀμφοτέρων ἔχον τὴν παραγωγὴν, οὐδὲν ἐκώλυε καὶ τὴν ἑκατέρου προσλαβεῖν σημασίαν. ἡ δὲ συνήθεια τὸ μὲν ζωΰφιον Ἀράχνην θηλυκῶς λέγει, τὸ δὲ ὕφασμα καὶ Ἀράχνην καὶ Ἀραχνίαν· ὅθεν καὶ ῥῆμα ἐσχημάτισε τὸ Ἀραχνιάζω, ὅπερ οἱ Ἀρχαῖοι Ἀραχνιόω ἔλεγον. καὶ ταῦτα μὲν περὶ τοῦ κυρίως λεγομένου Ἀράχνου, ἢ, ὡς ἐν τῷ προκειμένῳ χωρίῳ, Ἀραχνίου τοῦ ζώου· πλατύτερον δὲ καὶ πᾶν ζωΰφιον ὑφαίνειν τε καὶ πλέκειν πεφυκὸς κατὰ τὸν Ἀράχνην, οὕτως ἐκλήθη, οἷον ἐπὶ τοῦ παρόντος διὰ τοῦ Ἀράχνιον ὁ Σὴρ ὁμωνύμως τῷ τῶν Σηρῶν ἔθνει καλούμενος σκώληξ δηλοῦται, ὁ τὸ σηρικὸν ὕφασμα κατασκευάζων, ὅπερ Μέταξα θηλυκῶς ἀπ' αὐτῶν ἤδη τῶν Ἰουστινιανοῦ χρόνων ἐκαλεῖτο. ἐπὶ γὰρ τούτου τοῦ Αὐτοκράτορος, οἱ σκώληκες οἱ γεννῶντες τὴν Μέταξαν, ἐγνώσθησαν πρῶτον (Σουΐδ. λέξ. Σηρικὴ), καίπερ καὶ πρὸ αὐτοῦ τοῖς ἐκ Μετάξης ὑφάσμασι χρωμένων τῶν εὐδαιμόνων. νῦν δὲ οὐδετέρως Μετάξιον ὀνομάζεται· καὶ ἔοικε τοὔνομα μετὰ τοῦ πράγματος ἐκ τῶν ἑῴων μερῶν εἰς τοὺς Ἕλληνας μετενεχθῆναι, εἴτε παρὰ τὴν Συριακὴν λέξιν Ματακὰς, ὡς

τινες ὑπειλήφασιν, εἴτε καὶ ἄλλοθέν ποθεν παραγόμενον.— Στ. 24, Καὶ τούτων τῶν δώρων ὑποδεχθέντων.] Σημείωσαι, ὡς οὔπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς, τὸ Ὑποδέχομαι, ἐπὶ παθητικῆς ἐννοίας. ἔστι δὲ ἡ χρῆσις τοῦ παρακμάσαντος Ἑλληνισμοῦ, ὡς καὶ τὸ τοῦ συνακμάσαντος τῷ Ἡλιοδώρῳ Γρηγορίου τοῦ Ναζιανζηνοῦ Παραδέχομαι, ὅπερ ἐσημειώσατο ὁ Στέφανος ἐν τῷ Θησαυρῷ (Α, σελ. 958).

Σελ. 425, στ. 4, Φύλλου τε τοῦ θυώδους, καὶ κασσίας καὶ κιναμώμου.] Παρείληφα τὸ Κασσίας ἐκ τῶν ΚΑ καὶ ΑΑ, ἀποσκορακίσας τὸ παρὰ τοῖς ἄλλοις βάρβαρον Κάδας (ὅπερ ὁ Λ Στοιχάδος ἡρμήνευσεν). ἀντὶ τοῦ Θυώδους, ἐν ταῖς αὐλαῖς ΚΑ καὶ ΑΑ, Θυμιώδους· τοῦτο δ' οὐδὲν ἄλλ' ἢ ἐπεξήγησίς ἐστι τοῦ προτέρου. Φύλλον δὲ θυῶδες (ὅπερ ὁ Α, *Baume*, τουτέστι Βάλσαμον οὐκ ὀρθῶς ἐξεδέξατο) τὸ Μαλάβαθρον ἔοικε λέγειν, ὃ καὶ Φύλλον ἁπλῶς καὶ κατ' ἐξοχὴν ἐκαλεῖτο. ἐνταῦθα δὲ προσέθηκε τὸ Θυῶδες, ὅ ἐστιν εὐῶδες, ἢ ἀρωματικὸν, τὴν ποιότητα δηλῶσαι βουλόμενος τοῦ Μαλαβάθρου, οὕτως ὀνομασθέντος τοῖς Ἕλλησιν, ἐκ τοῦ παρ' Ἰνδοῖς, παρ' οἷς καὶ φύεται, ὀνόματος Ταμαλαπάτρα, ὥς φησιν ὁ Σαλμάσιος (Πλινιακ. Γυμνασ. σελ. 754). ἴσως δὲ τοὔνομα τοῦτο οὐδὲν ἄλλο σημαίνει ἢ αὐτὴν τὴν παραλίαν τοῦ Μαλαβάρου (*côte de Malabar*)· φύεται γὰρ ἐκεῖ πολὺ τὸ Μαλάβαθρον, ὥς φασιν οἱ νεώτεροι τῆς φυσικῆς Ἱστορίας συγγραφεῖς (Λεξικ. φυσ. Ἱστ. Τόμ. ΙΓ, σελ. 15 καὶ 563), οἵ τινες καὶ Δαφνοκασσίαν αὐτὸ καλοῦσιν. ἡ δὲ Κασσία τῶν Ἀρχαίων, ἐστὶν ἡ ἐν τῇ συνηθείᾳ Καννέλλα, παρὰ τὸ Ἰταλικὸν *Cannella*, ὅ ἐστιν ἐξελληνιζόμενον Καλαμίσκος· παρὰ γὰρ τὸ Κάννα, περὶ οὗ εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 114) ἐστὶν ἡ Καννέλλα. ἔλαχε δὲ τοὔνομα ὁ φλοιὸς οὗτος διὰ τὸ συριγγώδης γίνεσθαι δίκην καλάμου· ὅθεν καὶ Κασσία σύριγξ, ἐπιθετικῶς, καὶ Συριγγὶς, ἐκαλεῖτο παρά τισι. τὸ δὲ Κιννάμωμον, ἢ Κινάμωμον, αὐτὸ τὸ δένδρον ἐστὶ τὸ Καννελλοφόρον, ἢ μᾶλλον οἱ τοῦ δένδρου κλαδίσκοι ἀκέραιοι, ἤγουν τῷ οἰκείῳ συμπεφυκότες φλοιῷ, οὓς καὶ Ξυλοκασίαν ἐκάλουν. (Ἰδ. Σαλμάσιον, περὶ Ὁμωνύμ. ὑλ. Ἰατρ. σελ. 139-143).— Στ. 5, Ἡ Ἀρραβία γῆ.] Ἐπελαθόμην διορθώσασθαι τὴν παρ' ἅπασιν ἡμαρτημένην διὰ τοῦ διπλοῦ ρ γραφήν. —Στ. 7,

Παρῆσαν.]

Παρῆσαν.] Οὕτως ἅπαντες πλὴν τῶν ΚΑ καὶ ΑΑ, ἐν αἷς γράφεται, Παρίεσαν, ἐξ ἀμείνονος δηλονότι γραφῆς (τῆς καὶ μόνης οἰκείας τῷ προκειμένῳ χωρίῳ), Παρήεσαν, ἢ γοῦν Παρῆσαν. — Στ. 8, Χρυσόν τε τὸν μυρμηκίαν.] Τουτέστι τὸν ἀνορυττόμενον καὶ φυλαττόμενον ὑπὸ τῶν μυρμήκων χρυσόν. τὰ δὲ μυθολογούμενα περὶ τῶν χρυσωρύχων τούτων μυρμήκων εὑρήσεις παρ' Ἡροδότῳ (Γ, ρβ', ργ' καὶ ρε'), ὃς αὐτοὺς ἐν Ἰνδοῖς εἶναι, πεπυσμένος παρ' ἄλλων, παρέδωκε. πολλῷ δὲ τούτων γελοιότερα τὰ τοῖς Ἀθηναίοις συμβάντα διὰ τοὺς χρυσωρύχους μύρμηκας· ὡς γάρ φησιν Ἁρποκρατίων (λεξ. Χρυσοχοεῖν), « Ἔπεσέ τις φήμη ποτὲ εἰς τὸ πλῆθος τῶν » Ἀθηναίων, ὡς ἐν Ὑμηττῷ χρυσοῦ ψῆγμα πολὺ φανείη, » καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων. οἱ δὲ, ἀνα- » λαμβάνοντες τὰ ὅπλα, ἐξέθεον ἐπ' αὐτούς· ἄπρακτοι δ' » ὑποστρέψαντες, καὶ μάτην κεκακοπαθηκότες, ἔσκωπτον » ἀλλήλους, λέγοντες· Σὺ δὲ ᾤου χρυσοχοήσειν, ὅπερ δηλοῖ, » σὺ δὲ ᾤου, ψῆγμα πολὺ συλλέξας καὶ χρυσοχοήσας, πλου- » τήσειν. ἐχλευάζοντο δὲ ὑπὸ τῶν Κωμικῶν. Εὔβουλος οὖν ἐν » Γλαύκῳ φησὶν,

» Ἡμεῖς ποτ' ἄνδρας Κεκροπίδας ἐπείσαμεν
» Λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα,
» Καὶ σιτί' ἐπὶ μύρμηκας ἡμερῶν τριῶν,
» Ὡς χρυσοτεύκτου ψήγματος πεφηνότος ».

Στ. 9, Γρυπῶν ξυνωρίδα.] Ἕτερον τοῦτο ζῶον μακρῷ μυθωδέστερον τῶν χρυσοφυλάκων μυρμήκων οἱ Γρύπες, χρυσοφύλακες καὶ αὐτοὶ, περὶ ὧν ἱστόρηκεν Ἡρόδοτος (Δ, ιγ'), καὶ Παυσανίας (Α, σελ. 57), καὶ ἄλλοι. — Στ. 13, Ἔλεγον.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 18, Ἄγε καὶ τὰ ἄλλα κ. τ. λ.] Ἐν ταῖς ΑΑ γράφεται, Ἄγε καὶ τὰ ἄλλων· ἀλλ' οὐδ' οὕτως ἔῤῥωται τὸ χωρίον. ἴσως ἐγέγραπτο τὴν ἀρχὴν, Εἴγε καὶ τοῦ τἄλλα (ἢ Καὶ τοῦ τὰ τῶν ἄλλων) νυνί μοι προσκομίζεσθαι γέγονεν αἴτια. ὁ δὲ νοῦς πρόδηλος, ὃν ἔοικεν ἑρμηνεῦσαι καὶ ὁ Α, φήσας *Attendu qu'il est cause de quoy tous les autres me sont maintenant apportez.* — Στ. 19, Βούλοιντο.] Πληθυντικῶς πρὸς τὸ σημαινόμενον. ἐν ταῖς ΚΑ, Βούλοιτο, πρὸς τὸ λεγόμενον, Ἡ πρεσβεία. ἀντὶ τοῦ ἐχομένου Ἀπαγ-

γέλλειν, ἴσως ἐγέγραπτο Ἐπαγγέλλειν, ἤγουν αἰτεῖν, ὡς ἐσημειωσάμεθα ἐν τοῖς πρόσθεν (σελ. 87). — Στ. 21, Εἰς δεκάδα ἐτῶν.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. — Στ. 23, Καὶ φιλοτιμοτέροις.] Ἐν ταῖς ΑΑ, Ἢ φιλοτιμοτέροις.

Σελ. 426, στ. 1, Τελευταῖοι παρῆσαν οἱ Ἀξιομιτῶν πρεσβευταί.] Ἐν ταῖς ΚΑ, Τελευταῖον. ἀντὶ τοῦ Παρῆσαν, γραπτέον κἀνταῦθα Παρήεσαν, ἢ γοῦν Παρῆσαν. ἀντί τοῦ Ἀξιομιτῶν, αἱ μὲν ΑΑ φέρουσιν Ἀξιονίτων· αἱ δὲ ΚΑ παρὰ τοῦτο καὶ Αὐξιωμιτῶν. γραπτέον ὅμως Ἀξουμιτῶν, παρὰ τὴν Ἄξουμιν, μητρόπολιν Αἰθιόπων, ἧς ὁ πολίτης Ἀξουμίτης, ὥς φησι Στέφανος (λεξ. Ἄξουμις), ἢ γοῦν Αὐξωμιτῶν, ὡς ὁ Προκόπιος, ὃς τὴν μὲν πόλιν ὀνομάζει Αὔξωμιν, τὸν δὲ πολίτην, Αὐξωμίτην. εὕρηνται δὲ καὶ διάφοροι ἄλλαι γραφαὶ, οἷα φιλεῖ γίγνεσθαι ἐπὶ τῶν ἐξελληνιζομένων ξενικῶν ὀνομάτων, ἃς ὁ βουλόμενος εἰδέναι μετίτω τοὺς ὑπομνηματίσαντας τὸν Στέφανον. — Στ. 2, Φίλιοι.] Ἐν ταῖς ΑΑ, Φίλοι. — Στ. 4, Οὗτοι.] Αἱ ΚΑ, Αὐτοί. — Στ. 5, Καὶ δὴ καὶ ζώου τινὸς εἶδος ἀλλοκότου.] Προσέθηκα τὸν δεύτερον Καὶ, τοῦ Ἑλληνισμοῦ τοῦτο κελεύοντος. τὸ δὲ ὄντως ἀλλόκοτον ζῶον, περὶ οὗ καὶ Ἀρτεμίδωρος, καὶ Ἀγαθαρχίδης, καὶ Δίων, καὶ Στράβων, καὶ Πλίνιος, καὶ ἄλλοι ἱστορήκασιν, ἡ Καμηλοπάρδαλις, ἐστὶν ἡ νῦν τοῖς μὲν Ἰταλοῖς *Giraffa*, τοῖς δὲ Γάλλοις *Girafe*, καλουμένη. Στ. 8, Χροιὰν δὲ καὶ δορὰν παρδάλεως φολίσιν ἀνθηραῖς ἐστιγμένον.] Οὕτως αἱ ΑΑ. ἡ δὲ σύνταξις, Ἐστιγμένον δὲ τὴν ἐπιφάνειαν καὶ τὸ δέρμα φολίσιν ἀνθηραῖς παρδάλεως. Χροιὰν δὲ ἐκάλουν, ᾗ φησι Πλούταρχος (περὶ τῶν ἀρεσκ. τοῖς φιλοσόφ. Α, ιέ), οἱ Πυθαγορικοὶ τὴν ἐπιφάνειαν τοῦ σώματος. οὐκ ἠκρίβωται δὲ τὰ περὶ τῶν φολίδων. αἱ μὲν γὰρ τῆς παρδάλεως φολίδες ᾠοειδεῖς, καὶ πρὸς τὸ στρογγύλον ἀποκλίνουσαι· αἱ δὲ τῆς Καμηλοπαρδάλεως, ὡς φασὶν οἱ νεώτεροι τῆς φυσικῆς ἱστορίας συγγραφεῖς παραλληλογράμμοις ἢ ῥόμβοις μᾶλλον ἐοίκασι. καὶ τὸ Ἀνθηρὰς δὲ, ἤγουν ἐρυθρὰς εἶναι τὰς φολίδας, νέου μὲν ὄντος τοῦ ζώου παντάπασιν ἀληθές· προϊόντος δὲ τοῦ χρόνου, ἀεὶ καὶ μᾶλλον ἐπὶ τὸ κυανόχρουν ῥέπουσιν. οὐκ ἄκαιρον δὲ τῇ Ἡλιοδωρείῳ περιγραφῇ τοῦ ζώου, τὴν τοῦ Στράβωνος (ις, σελ. 775) ἀντιπαραθεῖναι. « Γίγνονται δ'

» ἐν τούτοις τοῖς τόποις καὶ αἱ καμηλοπαρδάλεις, οὐδὲν » ὅμοιον ἔχουσαι παρδάλει· τὸ γὰρ ποικίλον τῆς χρόας νεβρίσι » μᾶλλον ἔοικε ῥαβδωτοῖς σπίλοις κατεστιγμέναις. τελέως » δὲ τὰ ὀπίσθια ταπεινότερα τῶν ἐμπροσθίων ἐστὶν, ὥστε » δοκεῖν συγκαθῆσθαι τῷ οὐραίῳ μέρει, τὸ ὕψος βοὸς ἔχοντι. » τὰ δὲ εμπρόσθια σκέλη τῶν καμηλείων οὐ λείπεται. τρά- » χηλος δὲ εἰς ὕψος ἐξηρλημένος (γρ. ἐξῃρμένος) ὀρθός· τὴν κο- » ρυφὴν δὲ πολὺ ὑπερτέραν ἔχει τῆς καμήλου. διὰ δὲ τὴν ἀσυμ- » μετρίαν ταύτην, οὐδὲ τάχος οἶμαι τοσοῦτον εἶναι περὶ τὸ ζῶον, » ὅσον εἴρηκεν Ἀρτεμίδωρος, ἀνυπέρβλητον φήσας. ἀλλ᾽ οὐδὲ » θηρίον ἐστὶν, ἀλλὰ βόσκημα μᾶλλον· οὐδεμίαν γὰρ ἀγριό- » τητα ἐμφαίνει ». — Στ. 9, Τὰ ... μετὰ κενεῶνας.] Γρα- πτέον οἶμαι, Τὰ ... κατὰ κενεῶνας. — Στ. 13, Εἰς κύ- κνειον φάρυγγα μηκυνόμενος.] Τὰ αὐτὰ λέγει καὶ Ἀγαθαρ- χίδης παρὰ τῷ Φωτίῳ (Κωδ. σν´), « Τὸν δὲ αὐχένα τοιοῦτον, » ὥστε ἀπ᾽ ἄκρων ἀμέλγεσθαι τῶν δένδρων τὴν τροφήν ». — Στ. 16, Εἰς διπλάσιον ὀλίγον ὑπερφέρουσα.] Ἀμφότεροι οἱ μεταφρασταὶ οὕτως ἡρμήνευσαν, ὥσπερ ἂν εἰ ὁ νοῦς ἦν, Τοῦ διπλασίου ὀλίγον ὑπερφέρουσα, τουτέστι διπλασία, καὶ ἔτι μικρόν τι πρὸς, τῆς Λιβύσσης στρουθοῦ. ἴσως μέντοι ἐγέ- γραπτο, Ὀλίγου, κατὰ γενικὴν, ἀντὶ τοῦ σχεδὸν, ἢ παρ᾽ ὀλίγον, ἵν᾽ ᾖ ὁ νοῦς, Σχεδὸν διπλάσιον ὑπερφέρουσα. — Στ. 17, Ὀφθαλμοὺς ὑπογεγραμμένους βλοσυρῶς σοβοῦσα.] Ἠκυρολόγηται τὰ περὶ τῶν ὀφθαλμῶν. Ὑπογράφεσθαι γὰρ λέγονται τοὺς ὀφθαλμοὺς οἱ στιμμίζοντες αὐτοὺς, ἤγουν ὑπο- χρίοντες τῷ στίμμι, ἢ τῇ στίμμει, εὕρηται γὰρ καὶ θηλυκῶς παρ᾽ Ἴωνι,

Καὶ τὴν μέλαιναν στίμμιν ὀμματογράφον.

ὥς φησιν Εὐστάθιος (Ὀδυσσ. Ξ, 550), ὃς καὶ Αἰγυπτίων εἶναι λέγει τὴν φωνήν. ὅθεν καὶ παρ᾽ Ἡσυχίῳ, « Ὑπογράμ- » ματα, τὰ στιμμίσματα τῶν ὀφθαλμῶν ». ἐκαλεῖτο δὲ τὸ Στίμμι καὶ Στίβι (ἐξ οὗ τὸ τῶν Λατίνων *Stibi* καὶ *Stibium*, καὶ τὸ τῶν Ἰταλῶν *Stibio*), καὶ Λάρβασον, καὶ Πλατυόφθαλμον. ταύτην δὲ τὴν τελευταίαν κλῆσιν ἔλαχεν ἀπὸ τῆς χρείας ἣν παρεῖχε τοῖς ὑπογραφομένοις, μείζονας καὶ πλατυτέρους ποιοῦν φαίνεσθαι τοὺς ὀφθαλμούς. ἔοικε δὲ Ἡλιόδωρος,

ὑπογεγραμμένους ὀφθαλμοὺς φάσκων ἔχειν τὴν Καμηλοπάρδαλιν, τοιούτους φαίνεσθαι φύσει τοὺς ὀφθαλμοὺς τοῦ ζώου βούλεσθαι λέγειν, οἵους ἔχουσιν οἱ στιμμιζόμενοι. — Στ. 23, Ἐπαιωρουμένη.] Αἱ ΚΑ Ἐπηωρημένη. — Στ. 24, Ὁλκὸν δὲ οὕτως τὴν κίνησιν.] Ἠκυρολόγηται τὸ Ὁλκὸς ἐνταῦθα ἐπὶ τῆς σημασίας τοῦ Εὔολκος, ὡς ἐξεδέξαντο ἀμφότεροι οἱ μεταφρασταί. ἔξεστι δὲ κατιδεῖν τὸ ἡμαρτημένον τῆς χρήσεως, παραθεμένοις ἃ ἐν τοῖς πρόσθεν (σελ. 122) εἰρήκαμεν περὶ τοῦ Ὁλκός.

Σελ. 427, στ. 8, Γίγνεται γάρ τι τοιοῦτο.] Ἐτρέψαμεν τὸν Τοι σύνδεσμον εἰς τὸ Τι, τοῦ νοῦ τοῦτο ἀπαιτοῦντος. τὸ δὲ Τοιοῦτο τοῖς ἐμοῖς τυπογράφοις ἡμάρτηται· εἴγε ὅλως ὡς ἡμαρτημένην ἀποδοκιμάζειν προσήκει ἐν οὐκ Ἀττικῷ συγγραφεῖ τὴν ἀνάττικον (ὥς φασι) παράλειψιν τοῦ ν στοιχείου, ἄλλως τε καὶ ἐπειδὴ δίχα τοῦ ν ἐξήνεγκαν καὶ αἱ ΑΑ, ἐν αἷς γράφεται, Γίνεται γὰρ τοιοῦτο, τρισὶ μόναις λέξεσι. — Στ. 15, Ὡς ἐδόκει.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Ὡς ἐῴκει. — Στ. 24, Προσελάσειαν.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Προσπελάσειαν.

Σελ. 428, στ. 4, Καταπέτασμα.] Ἐν ταῖς ΑΑ καὶ ΔΑ 445, Παραπέτασμα. προειλόμην τὸ πρῶτον, οὐχ ὡς δοκιμώτερον τοῦ Παραπέτασμα, ὡς ᾠήθη Δορβῖλλος, οὐδὲ διότι καὶ ἀνωτέρω (σελ. 256) Παραπετάσμασιν εἴρηκεν· ἀλλ᾽ ὅτι οὐκ ἀπεικὸς καὶ τῇ Χριστιανοῖς συνηθεστέρᾳ λέξει ἐνταῦθα γοῦν χρήσασθαι τὸν Ἡλιόδωρον. — Στ. 6, Λήματι.] Διωρθωσάμην καὶ πάλιν τὸ παρ᾽ ἅπασι διὰ διπλοῦ τοῦ μ ἐμφερόμενον, ὡσαύτως δὲ διωρθοῦτο καὶ Οὐαλκηναῖρος ἐν ταῖς εἰς τὸν Ἀμμώνιον σημειώσεσι (σελ. 142). — Στ. 7, Ἔκ του θεῶν ὁρμῇ.] Ἤγουν κινούμενος ὁρμῇ ἐγγενομένῃ ἔκ τινος θεῶν. ἡ δὲ γραφὴ ἐκ τῶν ΚΑ, ΑΑ καὶ ΔΑ87. ὁ Μ διορθωτέον εἴκαζεν, Ἐκ τῇ θεῶν ὁρμῇ, ὥσπερ ἂν εἰ δεκτικὴ ὅλως τῆς κατὰ δοτικὴν συντάξεως ἐτύγχανεν οὖσα ἡ πρόθεσις. — Στ. 10, Εἰς γόνυ.] Ἀφελὼν τὸν Καὶ, καὶ διαστείλας τῶν λοιπῶν τῷ διὰ μέσου τὸ ὅλον κόμμα, σαφὲς ἐξ ἀσαφοῦς κατέστησα τὸ χωρίον. — Στ. 13, Ἀναρπάζει.] Αἱ ΚΑ καὶ ΑΛ, Ἀναρτίζει. — Στ. 14, Ἐφίπταται.] Ἐν τῇ Β, Ἐφιππάζεται· ἐν δὲ ταῖς ΚΑ

καὶ ΑΑ, Ἐφήπταται. — Στ. 18, Ἐπὶ τὸν διαδράντα.] Προσέθηκα τὴν πρόθεσιν ἐκ τῶν ΑΑ. — Στ, 19, Τὸ Γιγνόμενον.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ, ἐν αἷς ὅμως κατὰ τὸν ἀόριστον, Τὸ γενόμενον, γράφεται. — Στ. 22, Διεκελεύετο.] Αἱ ΑΑ, Ἐνεκελεύετο.

Σελ. 429, σῖ. 2, Δρόμον.] Ἔτρεψα τὴν πτῶσιν. — Στ. 5, Ἐμβολάς.] Ἤγουν ὁρμὰς, ἐπιδρομὰς, ὡς ἐξηγεῖται Σουΐδας. εἰς τοῦτο δεῖν ἔγνων τρέψαι τὸ παρ' ἅπασιν ἀδιανόητον Ἐκβολάς. ὅτι δ' οὐχ ἅπαξ συνέχεαν οἱ Ἀντιγραφεῖς τὰς δύο ταύτας λέξεις, δῆλον καὶ ἐξ αὐτῆς τῶν Αἰθιοπικῶν τῆς ἀρχῆς (σελ. 1), ὅπου τοὐναντίον ἀντὶ τοῦ Ἐκβολὰς, ἡ Β αἱ ΑΑ καὶ ἄλλα ἀντίγραφα κακῶς Ἐμβολὰς φέρουσι. — Στ. 6, Τῆς τε ὄψεως τῆς ἑαυτοῦ.] Προσέθηκα τὸ δεύτερον ἄρθρον ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 8, Ἱππείῳ.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ.

Σελ. 430, σῖ. 7, Θαῤῥοῦσα δὲ, ὡς κ. τ. λ.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. — Στ. 11, Γυναικεῖον οἶδεν.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ φέρεται, Οἰκεῖον οἶδα, ὅπερ οὐδὲν μᾶλλον σαφές ἐστι τοῦ ὅλου τούτου χωρίου. ἴσως οὕτως ἐγέγραπτο τὴν ἀρχὴν, Καὶ τὸ τῷ θήλει συμπαθὲς πταῖσμα τὸ γυναικεῖον οἶδεν ἐπισκιάζειν· προσγεγραμμένου τοῦ Οἰκεῖον ὡς ἐπεξηγήσεως τοῦ Συμπαθές. ὁ Λ ἡρμήνευσεν, ὥσπερ ἂν εἰ οὕτως ὤφειλεν εἶναι ἡ τοῦ λόγου συνάρτησις, Καὶ τὸ θῆλυ (ἤγουν ἡ θήλεια φύσις) οἶδεν ἐπισκιάζειν τὸ γυναικεῖον καὶ συμπαθὲς πταῖσμα· ὁ δὲ Α, Καὶ τὸ θῆλυ οἶδεν ἐπισκιάζειν συμπαθῶς τὸ γυναικεῖον πλαῖσμα. — Στ. 13, Τοῖς συνετοῖς ἀσύνετα φθέγγομαι.] Παρῴδηται ἐκ τῶν Εὐριπίδου, ἐν οἷς περὶ τοῦ Οἰδίποδος λέγει (Φοινίσσ. 1521, Ἐκδ. Πορσ.), ὅτι

Δυσξύνετον ξυνετὸς μέλος ἔγνω,
Σφιγγὸς ἀοιδοῦ σῶμα φονεύσας.

Στ. 20, Ὁ γὰρ δὴ Θεαγένης κ.τ.λ.] Ἀκριβῶς ἅμα καὶ κομψῶς ἐνταῦθα περιγράφει Θεσσαλικὸν ἔθος, τὸ τῶν ταύρων ἀγώνισμα· καὶ ἔστιν ὁ τόπος διδασκαλικός. παρὰ μὲν γὰρ τοῖς ἄλλοις Ἑλληνικοῖς συγγραφεῦσιν ἀμυδρὰ ἄττα ἴχνη τῆς ταυρικῆς πάλης ταύτης ἔστιν εὑρεῖν τῇδε κἀκεῖσε ἐν παρόδῳ χαραχθέντα, οἷον τὸ τὸ παρὰ τῷ Δίωνι (ξά, σελ. 693), καὶ

τὸ ἐν τῇ Ἀνθολογίᾳ Φιλίππου ἐπίγραμμα· ἐκ δὲ τῶν Ῥωμαίων, Πλίνιος μὲν (Η, με΄) Θεσσαλῶν εἶναί φησιν εὕρημα τὸ παριππεύοντας ταῦρον καταπαλαίειν, καὶ Καίσαρα πρῶτον τὸ τοιοῦτον θέαμα τοῖς Ῥωμαίοις φιλοτιμήσασθαι δημοσίᾳ· Σουετόνιος δὲ (Κλαυδ. κα΄) προσιστόρηκεν, ὅτι καὶ Κλαύδιος εἰς θέαν Ῥωμαίοις παρέσχε Θεσσαλοὺς Ἱππέας, οἷς ἔργον τὸ διὰ τοῦ Ἱπποδρόμου ταύρους ἐλαύνειν ἀγρίους, ἐφάλλεσθαί τε ἀποκαμοῦσι, καὶ τοῖς κέρασιν εἰς γῆν καθέλκοντας καταβάλλειν, *Præterea Thessalos equites, qui feros tauros per spatia Circi agunt, insiliuntque defesssos, et ad terram cornibus detrahunt.* εἴκασαν οὖν οὐκ ἀστόχως οἱ Κριτικοὶ ὅτι καὶ Ἡσύχιος τοὺς Θεσσαλοὺς τούτους ταυροπαλαιστὰς αἰνίττεται, λέγων, « Κερατεσσεῖς (ἴσ. Κερατοσσεῖς), » οἱ τοὺς ταύρους ἕλκοντες ἀπὸ τῶν κεράτων· καλοῦνται δὲ » καὶ Κεραελκεῖς ». κἀκεῖνο δ᾽ ὀρθῶς προσείκασαν, ὅτι καὶ τὰ ἐν τοῖς Ὀξονιακοῖς Μαρμάροις (Ἀριθμ. νή) μνημονευόμενα Ταυροκαθάψια, ἑορτὴ οὕτω καλουμένη, αὐτὰ ταῦτα ἦσαν τὰ παρὰ Θεσσαλοῖς μετὰ τῶν ταύρων παλαίσματα. τούτοις οὖν ἡμεῖς προσθέντες καὶ τὰ Ἀρτεμιδώρου, ἀπαρτίσωμεν, εἰ δυνατὸν, τὴν περὶ τῶν Ταυροκαθαψίων ἱστορίαν. διδάσκει δ᾽ ἡμᾶς ἐκεῖνος ὅτι οὐ παρὰ μόνοις τοῖς Θεσσαλοῖς ἦν τὸ ἔθος, λέγων (Ὀνειροκρίτ. Α, θ΄), « Ταύροις κατὰ προαίρεσιν » παῖδες Ἐφεσίων ἀγωνίζονται· καὶ ἐν Ἀττικῇ παρὰ ταῖς » θεαῖς ἐν Ἐλευσῖνι κοῦροι Ἀθηναῖοι περιτελλομένων ἐνιαυτῶν· » καὶ ἐν Λαρίσσῃ πόλει τῆς Θετταλίας οἱ τῶν κατοικούντων » εὐγενέστατοι ». τοὺς δὲ τὴν τοιαύτην πάλην ἀσκοῦντας οὐ μόνον Κεραελκεῖς καὶ Κερατεσσεῖς (ὅ ἐστι τοῖς κέρασι κατεχόμενον σεύοντας, ἤγουν ἐλαύνοντας τὸν Ταῦρον), ἀλλὰ καὶ Ταυρελάτας ἔλεγον, ᾗ δῆλον ἐξ οὗ ἔφην ἀνωτέρω τῆς Ἀνθολογίας ἐπιγράμματος, ὧδε ἔχοντος (Ἀναλεκτ. Βρυγκίου, Β, σελ. 229),

Θεσσαλίης εὔιππος ὁ ταυρελάτης χορὸς ἀνδρῶν,
  Χερσὶν ἀτευχήτοις θηρσὶν ὁπλιζόμενος,
Δενδροτυπεῖς πώλους ζεύξει σκιρτήματι ταύρων,
  Ἀμφιβαλεῖν σπεύδων πλέγμα μετωπίδιον·
Ἀκρότατον δ᾽ ἐς γῆν κλίνας ἅμα κεύροπον ἅμμα,
  Θηρὸς τὴν τόσσην ἐξεκύλισσε βίην.

εἰκὸς δ᾽ αὐτοὺς καὶ Ταυροκαθάπτας ὠνομάσθαι, ἐπεὶ καὶ Ταυροκαθάψια ἐκαλεῖτο τὸ πάλαισμα. καὶ ὅρα ὅπως εὐφυῶς ὁ Ἡλιόδωρος, τὸν δρασμὸν τοῦ ταύρου πλασάμενος, εὐφυεστέρως Ταυροκαθάπτην ἢ Ταυριλάτην προσεπλάσατο τὸν Θεσσαλῶν εὐγενέστατον Θεαγένην (εἰς Ἀχιλλέα γὰρ τὸ γένος ἀνέφερε), καὶ ὡς εἰκὸς ἐγγεγυμνασμένον οἴκοθεν τῇ ταυρελασίᾳ. σημείωσαι δὲ ὅτι καὶ λαμπρὸν τὸ Ἑλληνικὸν ἀγώνισμα τοῦτο, καὶ μακρῷ γενναιότερον τῶν παρὰ τοῖς Ἱσπανοῖς Ταυροσφαγίων μᾶλλον ἢ Ταυροκαθαψίων καλεῖσθαι δικαίων ἀγωνισμάτων· παρ᾽ ἐκείνοις γὰρ ὁ λεγόμενος *Matador*, τουτέστιν ὁ Ταυροκτόνος, οὐκ ἀφ᾽ ἵππου ἐπὶ τὸν ταῦρον μεθάλλεται, ἀλλ᾽ ἀναιρεῖ νύττων ἀπηνῶς τῷ ξίφει ὃ φθὰς ἐξηγρίωσε ζῶον. ἐπῃνοῦντο δὲ οἱ Θεσσαλοὶ καὶ ἐπὶ τῷ κατακόπτειν καὶ κρεανομεῖν ἐπιδεξίως ταῦρον σφαγιασθέντα, καὶ ἐπὶ τῇ Ἱππηλασίᾳ, ὥς φησιν Εὐριπίδης (Ἠλέκτρ. 815),

Ἐκ τῶν καλῶν κομποῦσι τοῖσι Θεσσαλοῖς
Εἶναι τόδ᾽, ὅστις ταῦρον ἀρταμεῖ καλῶς,
Ἵππους τ᾽ ὀχμάζει..............

Στ. 22, Μικροῦ.] Μετήλλαξα καὶ πάλιν τὴν πτῶσιν. — Στ. 24, Μεθαλάμενος.] Οὕτως αἱ ΑΑ.

Σελ. 431, στ. 2, Κατὰ τὸ μεταίχμιον.] Ἡ Κατὰ ἐκ τῶν ΚΑ καὶ ΑΑ· ἀντὶ δὲ τοῦ Ἐνιδρύσας, ἐν ταῖς ΑΑ, Ἱδρύσας, ἀπροθέτως. — Στ. 3, Οἱονεὶ στεφάνην.] Αἱ ΑΑ, Οἷον εἰς στέφανον. τὸ δὲ ἐχόμενον Ἅμμα (παρὰ τὸ Ἅπτω), ᾧ καὶ ἐν τοῖς ἑξῆς χρήσεται, παλαιστρικὴ λέξις ἐστὶν, ἣν οἱ Ῥωμαῖοι ἐπὶ τὰς ἰδίας παλαίστρας μετενεγκόντες *Nexum* καὶ *Nodum* ἡρμήνευσαν (Ἴδ. Φάβρου Ἀγωνιστικ. Α, θ´ καὶ κ´, καὶ Σαλμασίου Πλιν. Γυμν. σελ. 206). κἀντεῦθεν ἑρμηνευτέον τὸ τοῦ Πλουτάρχου (Ἀλκιβιάδ. § 2), ἐν οἷς περὶ Ἀλκιβιάδου φησὶν, «Ἐν μὲν γὰρ τῷ παλαίειν πιεζόμενος, ὑπὲρ τοῦ μὴ » πεσεῖν, ἀναγαγὼν πρὸς τὸ στόμα τὰ ἅμματα τοῦ πιεζοῦν» τος, οἷος ἦν διαφαγεῖν τὰς χεῖρας», Ἅμματα λέγων, τὴν περὶ τὸν τράχηλον τοῦ Ἀλκιβιάδου συμπλοκὴν τῶν χειρῶν τοῦ ἀντιπάλου. — Στ. 6, Πρὸς βραχὺ μόνον.] Μετήλλαξα τὸν ἀνανταπόδοτον καὶ εἰς οὐδὲν χρήσιμον Μὲν

εἰς τὸ Μόνον. —Στ. 8, Πρὸς τοῦ ὄγκου.] Ἐν ταῖς ΑΑ, Ὑπὸ τοῦ ὄγκου. τὸ δ' ἐχόμενον Χαλῶντα ἔτρεψα εἰς τὸ πληθυντικὸν Χαλῶντας, ἵνα ἀναφέρηται πρὸς τὸ Τένοντας, καθὰ ἡρμήνευσαν καὶ οἱ μεταφρασταὶ ἀμφότεροι.—Στ 9, Καὶ καθ' ὃ μέρος.] Διαγραπτέος ὁ Καί· περιττὸς γάρ, καὶ εἰς οὐδὲν δέων συντάττων τὸ Περιελθόντα τῷ Ἤσθετο.—Στ. 11, Προβάλλει τῶν ἐκείνου σκελῶν κ. τ. λ.] Ἕτερον τοῦτο ἅμματος παλαιστρικοῦ εἶδος. — Στ. 13, Ἐναράττων.] Κακῶς οἱ πρὸ ἐμοῦ διὰ διπλοῦ τοῦ ρ̄· παρὰ γὰρ τὸ Ἀράττω. εἰ γὰρ ἦν παρὰ τὸ Ῥάττω, ὤφειλεν εἶναι Ἐῤῥάττων. ὁ δὲ νοῦς, Ἐγκρούων συνεχῶς τοὺς ἑαυτοῦ πόδας ταῖς χηλαῖς, ἤγουν τοῖς ὄνυξι, τοῦ ταύρου, ἐνεπόδιζε τὴν εἰς τὰ πρόσω πορείαν αὐτοῦ. — Στ. 17, Κύμβαχός τε ἐπ' ὤμους καὶ νῶτα . . . ἐπὶ πλεῖστον.] Παρῴδηται ἐξ Ὁμήρου (Ἰλιάδ. Ε, 585),

> Αὐτὰρ ὅγ' ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου
> Κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν τε καὶ ὤμους·
> Δηθὰ μάλ' εἱστήκει..................

λέγεται δὲ Κύμβαχος, ὁ ἐπὶ κεφαλῆς πηδῶν καὶ ῥίπτων ἑαυτὸν οὕτως, ὡς ἄνω τοὺς πόδας γίνεσθαι, παρὰ τὸ Κύβη, ἢ Κύμβη, τὸ σημαῖνον τὴν κεφαλήν. ὅθεν καὶ Κυβιστᾶν ἢ Κυβιστίνδα παίζειν, τὸ οὕτω ῥίπτεσθαι ἐπὶ κεφαλῆς, ὅπερ οἱ Ἰταλοὶ *Capitombolare* φασί. — Στ. 21, Ἄπρακτα.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Ἄπρακτον. αἱ δὲ ἐχόμεναι τέσσαρες λέξεις, Καὶ εἰς κενὸν ἀερονομούντων, λείπουσιν ἐκ τῶν ΑΑ. σημείωσαι δὲ καὶ τὸ Ἀερονομεῖν κακοζήλως σχηματισθὲν, κατὰ τὸν τύπον τοῦ Χειρονομεῖν·

Σελ. 432, σί. 2, Ἱλαρόν.] Ἐς ταῖς ΚΑ, Ἱλαρῶς. — Στ. 8, Ἐξεφώνει.] Αἱ ΚΑ, Ἐξεφώνουν. — Στ. 9, Παραπέμπουσα.] Οὕτως ἅπαντες, πρὸς τὸ Βοή· πλὴν τῶν ΚΑ, ἐν αἷς γράφεται, Παραπέμποντες, πρὸς τὸ Δῆμος. κακῶς ἡ Β, Παραπέμποντα. — Στ. 11, Ἀναστήσαντες.] Διώρθωκα τὸν σολοικον μέλλοντα· ὁ γὰρ νοῦς, Ἀναστήσαντες τὸν Θεαγένην προσῆγον τῷ Ὑδάσπῃ. — Στ. 12, Ἐπιβαλόντες.] Ἔτρεψα τὸν ἐνεστῶτα εἰς τὸν ἀόριστον· τοῦτον καὶ γὰρ βούλεται ἐνταῦθα ὁ ἑλληνισμός. — Στ. 19, Πλέον δέ τι καὶ πρὸς τὸν κ. τ. λ.] Λείπει τὸ Πλέον ἐκ τῶν ΑΑ, ἐν αἷς καὶ ἀντὶ τοῦ ἐχομένου

Ζηλοτυπίᾳ,

Ζηλοτυπίᾳ, γράφεται Ζηλοτυπίαν. οὐκ ἔρρωται τὸ χωρίον· τὸ γὰρ Τι, τὸ ὀλίγον σημαῖνον, ἀντιφάσκει τῷ Πλέον. ἴσως οὖν ἐγέγραπτο, Καί τι καὶ πρὸς τὸν ... ζηλοτυπίᾳ δηχθεὶς, ἢ Πλέον δὲ τῇ πρὸς τὸν ... ζηλοτυπίᾳ δηχθεὶς, καθάπερ ἡρμήνευσε καὶ ὁ Λ, παραλιπὼν τὸ Τι. ὁ δὲ Α οὕτως ἐξέφρασεν, ὥσπερ εἰ ἐγέγραπτο, Πλέον δὲ οἶμαι τῇ πρὸς τὸν κ. τ. λ. *Et plus encore piqué (comme je croy) de jalousie et d'envie contre etc.* — Στ. 25, Ὑπέροπτόν τι καὶ σοβαρόν.] Μετήλλαξα τὸν Τε εἰς τὸ Τι· εὐεπίφορος γὰρ ὁ Ἡλιόδωρος εἰς τὸ συνάπτειν τὸ Τι τοῖς οὐδετέροις ὀνόμασι, καθὰ καὶ οἱ δόκιμοι τῶν συγγραφέων ποιεῖν εἰώθασι.

Σελ. 433, στ. 1, Ὁλκά τε προβαίνων.] Οὕτως αἱ ΑΑ. ἐν ταῖς ΚΑ, Ὁλκά τι βαίνων (ἴσως ἐξ ἑτέρας γραφῆς, Ὁλκόν τι βαίνων), ἀνθ' οὗ ὁ Κ εἴκαζεν ἀναγνωστέον εἶναι, Ὀκλαστὶ βαίνων· ἐν δὲ τῇ Β, Ἄκροις τε ποσὶ βαίνων, ὅπερ ἡρμήνευσαν καὶ ἀμφότεροι οἱ μεταφρασταί. — Στ. 2, Πλατυνομένοις.] Μετήλλαξα τὴν ὀνομαστικὴν εἰς τὴν δοτικὴν πληθυντικὴν, ἵνα ᾖ τὸ ἑξῆς, Σοβῶν τοὺς πήχεις ὑπὸ τοῖς ἀγκῶσι πλατυνομένοις ἐναλλάξ. ὁ δὲ Α ἀντὶ τοῦ Ἀγκῶσιν, ἡρμήνευσεν Ὤμοις, *Haulsant les espaules.* — Στ. 9, Καὶ ὃς, τί δέ.] Ἐκ τῆς ἀμόρφου γραφῆς τῶν ΚΑ, Καὶ ὃς πιδαὶ, ἐξεκόλαψα τὴν ὀρθὴν ταύτην γραφὴν, ἣν καὶ οὕτως ἐξενηνοχέναι τὸν Ἡλιόδωρον ἐνδέχεται, Καὶ ὃς, τί δαὶ, Εὐριπίδῃ κἂν τούτῳ κατακολουθήσαντα ὃς διφθογγογραφεῖ πολλάκις τὸν Δε ἐν ταῖς ἐρωτήσεσιν, οἷον (Ἰφ. Αὐλ. 1448),

Τί δαὶ κασιγνήταισιν ἀγγελῶ σέθεν;

Στ. 10, Ἔνοπλος.] Οὕτω διώρθωκα ὁρμηθεὶς ἀφ' ὧν εἴρηκεν ἀλλαχοῦ (σελ. 61), Ἔνοπλος καὶ ξιφήρης. — Στ. 11, Ἐκπλήξω.] Τὸ μὲν παρ' ἅπασιν Ἐμπλήσω προδήλως ἡμάρτηται, ἡ δὲ τοῦ Τριλλέρου (Παρατηρήσ. Κριτ. σελ. 218) διόρθωσις Ἐμπλήξω, ἣν ἐκεῖνος κομψοτάτην ἀποφαίνεται, ἀνοίκειος τοῦ προκειμένου χωρίου. ἔγραψα οὖν Ἐκπλήξω, τουτέστιν ἐκσείσω καὶ ἐξεγείρω ἡσυχάζουσαν καὶ ἀφροντιστοῦσαν τέως ἐμοῦ. — Στ. 14, Εἶπε.] Εἰς τοῦτο μεταλλάξαι δεῖν ἔγνων τὴν Ἐπὶ πρόθεσιν, οὐδὲν δέον εἰσερρήσασαν εἰς τὸ χωρίον. Στ. 22, Νενοτισμένοις.] Αἱ ΚΑ καὶ ΑΑ, Νενοτισμένος.

Σελ. 434, σ͂τ. 1, Τήν τε ἰγνύαν σιμώσας.] Ἀντὶ τοῦ Ἰγνύαν αἱ ΚΑ καὶ ΑΑ, Ἴγνον, ἐξ ἑτέρας οἶμαι γραφῆς τῆς Ἰγνὺν· λέγεται γὰρ ἀμφοτέρως, καὶ Ἰγνύα καὶ Ἰγνύς. σημείωσαι δὲ καὶ τὸ Σιμώσας ἀντὶ τοῦ Κάμψας, καὶ διὰ τῆς καμπῆς προσπελάσας τῇ κνήμῃ τὴν πυγήν· ὅθεν τὸ ἐν τῇ συνηθείᾳ Σιμόνω, περὶ οὗ ἀποχρώντως εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 113). — Στ. 5, Ἐμειδία τε σεσηρός.] Ἔτρεψα τὸν ἀόριστον εἰς τὸν παρατατικὸν, καθ' ὃν νοῦν ἡρμήνευσε καὶ ὁ Λ. ἐρεῖ δὲ καὶ μετ' ὀλίγα, Ἐπεγέλα. τὸ δὲ Σεσηρὸς, ᾧ καὶ ἀνωτέρω (σελ. 292), ἐχρήσατο, εἴληπται ἐκ τῶν ΚΑ.—Στ. 6, Εἰρωνικοῖς.] Αἱ ΑΑ, Εἰρωνικῶς. — Στ. 10, Ἐπεγέλα.] Αἱ ΑΑ, Ἀπεγέλα. — Στ. 11, Γυμνασίων καὶ ἀλοιφῆς.] Παρέλιπον τὸ Ἀνὴρ, ὅπερ λείπει καὶ ἐκ τῶν ΑΑ. — Στ. 12, Τήν τε ἐναγώνιον Ἑρμοῦ τέχνην ἠκριβωκώς.] Οὕτω μετὰ τῆς αὐξήσεως, Ἠκριβωκὼς, ἡ Β. ἐπροστατεῖ δὲ ὁ Ἑρμῆς τῆς Παλαίστρας· ὅθεν καὶ Ἑρμῆς ἐναγώνιος ἐπεκαλεῖτο, ὡς καὶ ἐν τοῖς πρόσθεν (σελ. 207) ἐδηλώσαμεν. — Στ. 18, Ἐκ τῆς πληγῆς κραδανθεὶς, πλέον ἢ ὡς εἶχεν.] Παρείληφα τὴν διόρθωσιν, τοῦ Κοίνου (σημ. εἰς τὸ τοῦ Κορίνθ. περὶ διαλέκτ. σελ. 47), ἣν ἔστι πιστώσασθαι καὶ τῷ Πλουτάρχου (Ἀρτοξ. § 9) μαρτυρίῳ τῳδὶ, «Καὶ οὐκ ἐτρώθη μὲν ὁ Κῦρος, ἐκραδάνθη δὲ, » τῆς πληγῆς ἰσχυρᾶς προσπεσούσης ». προσεπιδιωρθωσάμην δὲ καὶ τὸ ἐχόμενον, ἀποκαταστήσας τὸν ἀβλεψίᾳ τῶν Ἀντιγραφέων ἐξεῤῥυηκότα δηλωτικὸν τῆς συγκρίσεως σύνδεσμον, Ἤ. — Στ. 20, Προὐβάλλετο.] Ἔτρεψα τὸν ἀόριστον εἰς τὸν παρατατικόν· οὕτω δὲ ἡρμήνευσαν καὶ ἀμφότεροι οἱ μεταφρασταί. — Στ. 21, Συνενδούς.] Ἐν ταῖς ΑΑ, Συνδούς.

Σελ. 435, σ͂τ. 1, Ἀφυλάκτως ... ἐπεφέρετο.] Αἱ ΚΑ, Ἀφύλακτος ... ἐφέρετο. — Στ. 5, Προσαναστείλας.] Ἐν τῇ Β, Προσανατείλας· ἐν δὲ ταῖς ΚΑ καὶ ΑΑ, Προσανατείνας. ἴσως γραπτέον, Προαναστείλας. σημείωσαι δὲ καὶ τὸ ἐχόμενον, Ἐῤῥίπισε, καινῶς τεθειμένον ἐπὶ τοῦ Ἔῤῥιψε, κατέβαλε, καθὰ ἐξεδέξατο καὶ ὁ Λ. ὁ δὲ Α μεταποιητέον εἶναι εἰς τὸ Ἐῤῥάπισεν ὑπέλαβεν· ἑρμηνεύει γὰρ, *Lui deslascha une grande buffe sur la jouë.* — Στ. 6, Ἅμα τι καὶ τῇ καταφορᾷ...ἐπισπασθέντα.] Τρέψαντες τὸ Ἅμματι εἰς

τὸ Ἅμα τι, καὶ διαστείλαντες ὅλον τουτὶ τὸ χωρίον τῶν λοιπῶν τῷ διὰ μέσου, σαφὲς ἐξ ἀσαφοῦς κατεστήσαμεν. τὸ Ἅμματι ὁ μὲν Α παρέλιπε, καλῶς ποιῶν, ὡς ἀνοίκειον ἐνταῦθα· ὁ δὲ Λ *Nodo implicitum* παρέφρασε, δόξας εἶναι τὸ παλαιστρικὸν ἅμμα, περὶ οὗ μικρῷ πρόσθεν (σελ. 431) εἴρηκε, καὶ ἐρεῖ μετ᾽ ὀλίγα πάλιν. ὁ νοῦς, Ἐῤῥίπισεν, ἤγουν κατέβαλε τὸν ἀντίπαλον ὁ Θεαγένης, ἅμα τι ἐπισπασθέντα εἰς τὸ ἔδαφος, καὶ διὰ τὴν καταφορὰν τῆς ἰδίας αὐτοῦ χειρὸς, ἥπερ ἠνέχθη εἰς κενὸν, διὰ τὸ ἐκκλίναι αὐτὴν τὸν Θεαγένην. ἄλλως. Συνεβάλετο ἅμα τι τῷ Θεαγένει εἰς τὸ ῥιπίσαι τὸν ἀντίπαλον καὶ αὐτὴ τοῦ ἀντιπάλου τῆς χειρός ἡ καταφορά· εἰς κενὸν γὰρ ἐνεχθεῖσα ἡ χεὶρ, τοῦ Θεαγένους ἐκκλίναντος αὐτὴν, εἰκότως συγκατέσπα εἰς τὸ ἔδαφος τὸ τοῦ Αἰθίοπος σῶμα. — Στ. 7, Ἐνεχθείσης.] Ἐν τῇ Β, Ἐνεχθείσῃ· πρὸς τὸ Καταφορᾷ δηλονότι. — Στ. 8. Ἀναδύς.] Ἐκ τῶν ΚΑ καὶ ΑΑ. — Στ. 17, Περιαγαγών.] Οὕτως αἱ ΑΑ. ὅλη δ᾽ αὕτη ἡ τῆς πάλης ἔκθεσις μετενηνέχθαι ἔοικεν ἐκ τῶν Φιλοστράτου εἰκόνων, ἐν αἷς ἐκεῖνος Πνίγμα τὸ Ἅμμα ὀνομάζει· οἷον (Α, ς, σελ. 771), « Ὁ μὲν ἥρηκε τὸν ἀντίπαλον, περιπτὰς αὐτῷ κατὰ τῶν νώτων, καὶ εἰς πνίγμα ἀπολαμβάνει, καὶ καταδεῖ τοῖς σκέλεσιν. ὁ δὲ οὔτε ἀπαγορεύει, καὶ ὀρθὸς ὑπανίσταται, καὶ διαλύει τὴν χεῖρα, ὑφ᾽ ἧς ἄγχεται, στρεβλώσας ἕνα τῶν δακτύλων, μεθ᾽ ὃν οὐκέτι οἱ λοιποὶ ἔχουσιν, οὐδὲ εἰσὶν ἐν τῷ ἀπρίξ. ». καὶ αὖθις (Β, ς, σελ. 819), « Τὸν μὲν πῆχυν τῇ δειρῇ ἐνέβαλεν, ἀποφράττων αὐτῷ τὸ ἆσθμα· τὰ σκέλη δὲ τοῖς βουβῶσιν ἐναρμόσας, καὶ περιδιείρας εἰς ἑκατέραν ἀγκύλην ἄκρω τὼ πόδε, τῷ μὲν πνίγματι ἔφθη αὐτὸν, ὑπνηλοῦ τοῦ ἐντεῦθεν θανάτου τοῖς αἰσθητηρίοις ἐντρέχοντος, τῇ δὲ ἐπιτάσει τῶν σκελῶν ἀνειμένῃ χρησάμενος, οὐκ ἔφθη τὸν λογισμὸν τοῦ Ἀῤῥιχίωνος κ. τ. λ. ».

Σελ. 436, στ. 2, Ἐπίδοξον.] Σημείωσαι τὸ Ἐπίδοξον ἀντὶ τοῦ Ἔνδοξον, ἐναντίως τῇ χρήσει τῶν δοκίμων, ὡς εἰρήκαμεν ἐν τοῖς πρόσθεν (σελ. 136). — Στ. 3, Βουλομένῳ.] Αἱ ΑΑ, Βουλομένου. — Στ. 5, Ὀνῆσαι.] Τὸ μὲν παρὰ τοῖς λοιποῖς Ἧσαι ἐστὶ τέρψαι, εὐφρᾶναι, παρὰ τὸ Ἥδω· προει-

λόμην μέντοι γράφειν Ὀνῆσαι, ἤγουν ὠφελῆσαι, καὶ διὰ τὸ προηγησάμενον, Ἀνόνητον, καὶ διότι ἐν τῇ Β ἀντὶ τοῦ Ἦσαι γράφεται Ὠφελεῖν, ὅπερ ἐστὶ πρόδηλος ἐπεξήγησις τοῦ Ὀνῆσαι. καὶ ὁ Λ δὲ *Iuvare* ἡρμήνευσε. — Στ. 12, Κέλευε.] Προσυπακουστέον τὸ Ἱερουργηθῆναι ἐκ τοῦ προηγησαμένου Ἱερουργίαν. — Στ. 14, Χαρικλείου.] Ἐκ τῶν ΚΑ. Χαρίκλειον δὲ πρόκλησιν λέγων, αἰνίττεται ἅπερ ἀνωτέρω (σελ. 419) παρήγαγε λέγουσαν τὴν Χαρίκλειαν, «Αὐτήν με κέλευσον αὐτουργῆσαι τὸ θῦμα κ. τ. λ.». — Στ. 15, Ἐν συνέχοντι τῷ καιρῷ.] Ἐξηγησάμεθα τοῦτο ἐν τοῖς πρόσθεν (σελ. 159). — Στ. 18, Χρῆναι.] Αἱ ΑΑ, Χρή. — Στ. 23, Πλὴν εἰ... νυμφίον δὲ κ. τ. λ.] Τυπογράφων ἀβλεψία κατεχωρίσθη ἐν τῷ ἄκρῳ τῆς σελίδος, Πλὴν εἰ, ὡς γραφὴ τοῦ Κ· αὐτός τε γὰρ καὶ οἱ μετ' αὐτὸν ἅπαντες, καθὰ καὶ ἡ Β καὶ αἱ ΑΑ, φέρουσι Πλὴν ἢ, ὃ μετεποιήσαμεν ἡμεῖς εἰς τὸ Πλὴν εἰ. μετηνέγκαμεν δὲ καὶ τὸ Ἄνδρα μετὰ τὸ Οὕτω μὲν, ἀνθ' οὗ κακῶς ἐν ταῖς ΚΑ καὶ ΑΑ γράφεται, Οὐ μὲν ἄνδρα.

Σελ. 437, στ. 4, Ἐστί.] Ἔτρεψα τὸν μέλλοντα εἰς ἐνεστῶτα. — Στ. 10, Ἐπὶ τοὺς βωμούς.] Αἱ ΑΑ, Παρὰ τοὺς βωμούς. — Στ. 14, Βελτίονα.] Αἱ ΑΑ, Βέλτιστα.

Σελ. 438, στ. 2, Παρῆσαν.] Ἄμεινον γράφειν, Παρήεσαν, ἢ γοῦν Παρῇσαν. — Στ. 21, Μετὰ ταῦτα.] Οὕτως αἱ ΚΑ, ΑΑ καὶ ΔΑ454. — Στ. 23, Μετὰ τῶν ἄλλων.] Ἐν τῇ Β, Παρὰ τῶν ἄλλων.

Σελ. 439, στ. 4, Ὑποδειξάντων.] Περιεῖλον τὸν κακῶς πλεονάσαντα Καί. — Στ. 9, Προσκύψας.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. — Στ. 19, Μέτωπον.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Πρόσωπον.

Σελ. 440, στ. 8, Ἐκ μέσων.] Αἱ ΑΑ, Ἐκ μέσου. — Στ. 11, Ἐσείσθησαν.] Ἐν τῇ Β καὶ ΚΑ Ἐπείσθησαν. — Στ. 12, Οἱ συνιέντες.] Παρείληφα ἣν προὔβαλε διόρθωσιν ὁ Κ ἐν ταῖς ΚΑ, ἐν αἷς καὶ, Ῥήματα συνιέντες, γράφεται, δίχα τῆς ἀρνήσεως. — Στ. 17, Κατὰ τὴν φυγὴν ἐκείνη τῆς αἰδοῦς κ. τ. λ.] Περιεῖλον τὸν κακῶς πλεονάσαντα Καί· ἔτρεψα δὲ καὶ τὸ μὲν Ἐκείνης, εἰς τὸ Ἐκείνη, τὸ δὲ Αἰδῶ εἰς τὸ Αἰδοῦς. ταῦτα οἱ πρὸ ἐμοῦ, βάρβαρα οὕτω καὶ ἀσυνάρτητα παρα-

λαβόντες παρὰ τῆς Β, καὶ ἐχώρισαν οὐκ οἶδα τί παθόντες εἰς τὸ κείμενον. τῶν δὲ μεταφρασάντων ὁ μὲν Λ παρέλιπεν ὅλως τὰς λέξεις Τῆς Αἰδοῦς, ἢ γραπτέον ὑπέλαβεν ἴσως Τῆς ὁδοῦ, *Id veritus, ne illa in fuga forte et itinere antea sublata etc.* ὁ δὲ Α συνῳδὰ τῇ ἡμετέρᾳ διορθώσει παρέφρασε, *De peur que si d'aventure durant le temps de sa fuyte elle avoit oublié honte et honneur et qu'elle fust devenue effrontée etc.* σημειωτέον δ' ἐνταῦθα, ὅπερ ὤφειλον ἀνωτέρω σημειώσασθαι, τὸ μνημονικὸν Ἡλιοδώρου ἁμάρτημα. ἐν μὲν γὰρ τοῖς πρόσθεν (σελ. 98) ἐπλάσατο τὸν Χαρικλέα, ἀνεγνωκότα τῆς ταινίας τὰ γράμματα μαθεῖν ἐξ αὐτῶν τοὺς ἀληθεῖς πατέρας τῆς Χαρικλείας, « Ἅπερ ὡς ἀνέγνων, πόθεν τέ ἐστι, καὶ τίνος » ἔγνων, εἰς ἀγρόν τε κομίζω κ. τ. λ. ». μετ' ὀλίγα δὲ, ὥσπερ ἐπιλαθόμενος ὧν εἰρήκει, παράγει τὸν εἰπόντα ταῦτα αὐτὸν τοῦτον Χαρικλέα οὑτωσὶ λέγοντα (σελ. 100) Ὑπέστρε- » φον ἀνιαρῶς ἄγαν διατεθεὶς . . . ὅτι δή μοι γνῶναι μὴ ἐξ- » εγένετο τὰ κατὰ τὴν κόρην, τίς, ἢ πόθεν, ἢ τίνων ». νῦν δ' αὖθις, ἔν τε τῷ προκειμένῳ χωρίῳ, καὶ τοῖς μικρὸν ὕστερον ῥηθησομένοις ὑπὸ τοῦ Σισιμίθρου (σελ. 443), « Θυγάτηρ » ἀληθῶς οὖσα καὶ εὑρεθεῖσα ὧν γιγνώσκεις », ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν ἀνατρέχει, καὶ προεγνωκότα τὰ κατὰ τὴν τῆς Χαρικλείας γένεσιν πλάττει τὸν Χαρικλέα. — Στ. 21, Ἃ μηδὲν ἔβλαπτε, καὶ ἔλεγχεν.] Λείπουσι ταῦτα πάντα ἐκ τῶν ΑΑ. — Στ. 23, Μόνον.] Προσέθηκα τὸ Μόνον ἐκ τῶν ΚΑ καὶ ΑΑ.

Σελ. 441, στ. 6, Καὶ εἰς ὑμᾶς ἀσεβεῖν.] Προσέθηκα τὴν πρόθεσιν ἐκ τῶν ΑΑ, ἐν αἷς καὶ ἀντὶ τοῦ Ἀσεβεῖν, γράφεται Ἀδικεῖν. — Στ. 11, Κατὰ τὴν Θετταλίαν. . . καὶ εἰς σφαγήν.] Οὕτως αἱ ΚΑ, ὧν οὐδενὶ ἑτέρῳ διαφέρουσιν αἱ ΑΑ ἢ τῇ παραλείψει τῆς ἀντωνυμίας, Αὐτοῦ. Οἰταίους δ' ἐνταῦθα λέγει τοὺς ἀπὸ Οἴτης, τῆς πόλεως Μηλιέων, ὥς φησι Στέφανος, ἣν ἔκτισεν Ἄμφισσος παρὰ τῷ ὁμωνύμῳ ὄρει τῇ Οἴτῃ. Στ. 16, Εἴς τε ταύτην.] Παρείληφα τὸν σύνδεσμον ἐκ τῶν ΑΑ. Στ. 20, Ἐκδιδαχθεὶς, τά τε ἄλλα.] Οὕτως αἱ ΑΑ· ἐν δὲ ταῖς ΚΑ, Διδαχθεὶς τά τε ἄλλα. — Στ. 21, Ἐξαπέσταλτο.] Ἐκ τῶν ΚΑ.

Σελ. 442, στ. 2, Γίνομαι ἱκέτης, τὴν θυγατέρα ἐπιζητήσων.] Περιεῖλον τὸν Δὴ σύνδεσμον, ὃς λείπει καὶ ἐν τῇ Β καὶ ἐν ταῖς ΑΑ. ἡ δὲ σύνταξις οὐκ ἔῤῥωται· διὸ γραπτέον ἴσως, Ἥκω τανῦν ἐνταῦθα τὴν θυγατέρα ἐπιζητήσων, καὶ γίγνομαι ἱκέτης, ἢ Ἥκω τανῦν ἐνταῦθα, καὶ γίγνομαι ἱκέτης, τὴν θυγατέρα ἐπιζητῶν. τοῦτο δὲ τὸ χωρίον, κακοσχόλου τινὸς τὰ ἀλλότρια παρεμβαλόντος καὶ διαστρέψαντος, οὕτως ἐμφέρεται ἐν ταῖς ΚΑ καὶ ΑΑ, «Γίνομαι ἱκέτης οὕτως ὡς (ΑΑ, » Καθὼς) ἡ ἐπιστολὴ διηγήσατο, τὸν ἀποσυλήσαντα ἔχεις, τὴν » θυγατερα ἐπιζητήσων». — Στ. 5, Πολυτλήμονα.] Οὕτως ἡ Β καὶ αἱ ΑΑ, ὅπερ ἐστὶ, Πολλὰ ἀναλλάντα, ὡς εἴρηκεν ἀνωτέρω (σέλ. 263). οἱ δὲ λοιποὶ, Πολυπήμονα, παρὰ τοῦ Βουρδελότου λαβόντες· ὃς ἔοικε τὸ τυπογραφικῶς ἡμαρτημένον παρὰ τῷ Κ, Πολυτήμονα, εἰς τὸ Πολυπήμονα μεταποιῆσαι. — Στ. 4, Καὶ σαυτῷ Χαριζόμενος ἔσῃ, εἰ τὸν κ. τ. λ.] Οὕτω διωρθωσάμην παρεμβαλὼν τὸ Ἔσῃ, ὃ καὶ ἡ σύνταξις καὶ ἡ διάνοια τοῦ λόγου ἀπαιτοῦσιν. οὕτω δὲ ἡρμήνευσε καὶ ὁ Λ. Στ. 10, Ἄδικος.] Ἐν ταῖς ΚΑ καὶ ΑΑ, Ἅρπαξ· ἐν δὲ ταῖς ΔΑ 420 ἀμφότερα κεῖται, Ληστὴς ἐγὼ καὶ ἅρπαξ, καὶ ἄδικος κ. τ. λ. — Στ. 12, Προκαθωσιῶσθαί σε.] Εἰς τὰς δύο ταύτας λέξεις (ἃς ἡρμήνευσαν καὶ οἱ μεταφρασταὶ ἀμφότεροι) μετεποίησα τὸ Προκαθοσιώσασθαι. — Στ. 13, Ἐπίδοξον.] Σημείωσαι καὶ πάλιν τὸ Ἐπίδοξον ἀντὶ τοῦ Ἔνδοξον.

Σελ. 443, στ. 1, Θυγάτηρ ἀληθῶς οὖσα καὶ εὑρεθεῖσα ὧν γιγνώσκεις.] Εἰρήκαμεν ἤδη περὶ τούτων ἐν τοῖς πρόσθεν (σελ. 365). — Στ. 7, Φύντων.] Σεσημειώσθω καὶ πάλιν τὸ Φύντων κακῶς εἰρημένον ἀντὶ τοῦ Φυσάντων. ἀντὶ δὲ τοῦ ἐχομένου, Οὐδὲν ἔλαττον, ἐν ταῖς ΑΑ γράφεται, Οὐκ ἔλαττον. — Στ. 10, Δεδραμένα.] Περιεῖλον τὸ σ· παρὰ γὰρ τὸ Δράω, οὐ παρὰ τὸ Διδράσκω. — Στ. 15, Ἄρτι μοι ταῦτα ἐκείνης καὶ μόλις ἐξαγορευσάσης.] Λείπει ὅλον τὸ κομμάτιον τουτὶ ἐκ τῆς Β καὶ τοῦ Λ. τὸ Ἐξαγορευσάσης εἴληπται ἐκ τῶν ΑΑ. τὸ δὲ ἐχόμενον, Ὁ δὲ δῆμος, ἡμετέρα διόρθωσις, προσθέντων τὸν σύνδεσμον. — Στ. 16, Εὐφήμοις βοαῖς.] Ἐν τῇ Β, Εὐφημίοις βοαῖς· ἐν δὲ ταῖς ΑΑ, Εὐφημίαις ταῖς βοαῖς. — Στ. 18, Τὰ γιγνόμενα θυμηδοῦντες.] Σημεί-

ωσαι τὴν καινὴν, ἢ μᾶλλον κακὴν χρῆσιν τοῦ Θυμηδοῦντες ἐπὶ μεταβατικῆς ἐννοίας· ὤφειλε γὰρ εἰπεῖν ἀμεταβάτως, Διὰ τὰ γιγνόμενα, ἢ Ἐπὶ τοῖς γιγνομένοις θυμηδοῦντες, καθάπερ ἡρμήνευσαν καὶ ἀμφότεροι οἱ μεταφρασταί.—Στ. 22, Ὑπόνοιαν.] Οὕτω διώρθωκα τὸ ἀνοίκειον τοῦ προκειμένου χωρίου Ἐπίνοιαν. — Στ. 25, Κεραννυμένων.] Αἱ ΚΑ, Συγκεραννυμένων.

Σελ. 444, σ7. 10, Τὸ πρακτέον.] Ἐν τῇ Β, Τί πρακτέον. Στ. 23, Καὶ ὥσπερ λαμπάδιον δράματος.] Ἐκ τῶν τῆς Κωμῳδίας προσώπων μετενήνεκται τὸ Λαμπάδιον· οὐ γὰρ τὸ ὑποκοριστικὸν τῆς Λαμπάδος ἐνταῦθα σημαίνει, ἀλλὰ πρόσωπον ἦν οὕτως ὀνομαζόμενον, νέας γυναικὸς, καθὰ καὶ παρὰ τοῖς νεωτέροις, καὶ μάλιστα τοῖς Ἰταλοῖς, εἰσί τινα πρόσωπα ἐν τοῖς θεάτροις, οὐ τοῖς ὀνόμασι μόνον, ἀλλὰ καὶ τῇ ἡλικίᾳ, καὶ τῇ μορφῇ, καὶ τῇ στολῇ, ἣν ἀεὶ φέρειν εἰώθασι, καὶ τῷ χρόνῳ, καθ' ὃν ἐπὶ σκηνῆς προϊέναι νομίζεται, ἰδιάζοντα καὶ τῶν ἄλλων ἐξηλλαγμένα. ἦν δὲ τὸ Λαμπάδιον τῶν ἐπὶ τῷ τέλει τοῦ δράματος παριόντων προσώπων, ὡς γοῦν ἐστιν εἰκάσαι ἐκ τοῦ Πολυδεύκους, ὃς ἐν τῇ καταριθμήσει τῶν κωμικῶν προσώπων πρὸ δύο τῶν τελευταίων αὐτὸ τίθησιν, οὑτωσὶ λέγων, « Τὸ » δὲ Λαμπάδιον ἰδέαν τριχῶν ἔχει πλέγματος εἰς ὀξὺ ἀπο» λήγοντος, ἀφ' οὗ καὶ κέκληται· ἡ δὲ Ἅβρα περίκουρος, » θεραπαινίδιόν ἐστι περικεκαρμένον, χιτῶνι μόνῳ ὑπεζωσ» μένῳ λευκῷ χρώμενον· τὸ δὲ Παραψηφιστὸν θεραπαινίδιον » διακέκριται τὰς τρίχας, ὑπόσιμόν τε ἐστὶ, καὶ δουλεύει » ἑταίραις, ὑπεζωσμένον χιτῶνα κοκκοβαφῆ ». καὶ ταῦτα μὲν ὁ Πολυδεύκης, ἡμῖν οὐ πάνυ σαφῆ διὰ τὴν κατάλυσιν τῆς ἀρχαίας σκηνῆς, ἴσως δὲ οὐδὲ αὐτῷ τῷ χρησαμένῳ Ἡλιοδώρῳ· ἀσφαλέστερον δὲ ὁ Πλούταρχος ἐφ' ὁμοίας τῆς χρείας τῷ Ἐξοδίῳ ἐχρήσατο, ἀπὸ τῆς σκηνῆς καὶ αὐτὸς ἐρανισάμενος, ἐν οἷς περὶ τῆς Ἀλεξάνδρου τελευτῆς φησὶν (Ἀλεξάνδρ. §75), « Ἀλλὰ ταῦτα τινὲς ᾤοντο δεῖν γράφειν, ὥσπερ δράματος » μεγάλου τραγικὸν ἐξόδιον καὶ περιπαθὲς πλάσαντες ». ἦν δὲ τὸ Ἐξόδιον, ὡς φησιν ὁ προδηλωθεὶς Πολυδεύκης, μέλος ὃ ἐξιὼν ὁ χορὸς ᾖδε. καὶ ἐπεὶ τοῦτο τραγικὸν εἰκότως ἦν ἐν ταῖς τραγῳδίαις, παραλαβοῦσα ἐντεῦθεν ἡ συνήθεια Ἐξόδιον ἐκά-

λεσεν οὐ μόνον τὴν ἐκφορὰν καὶ κηδείαν τῶν ἀποιχομένων, ἀλλὰ καὶ τὸν ἐπ᾽ αὐτοῖς θρῆνον. — Στ. 26, Καὶ συνεργοὶ γιγνώμεθα τοῦ ἐκείνων βουλήματος.] Λείπουσι ταῦτα ἐκ τῶν ΑΑ.

Σελ. 445, στ. 2, Ἱερῶν.] Αἱ ΚΑ, Ἱερείων. ἀντὶ δὲ τοῦ προηγησαμένου Εὐαγεστέρων, ἐν ταῖς ΑΑ γράφεται κακῶς, Εὐγενεστέρων. — Στ. 3, Περιγράψαντες.] Οὕτως αἱ ΑΑ καὶ ΔΑ663. εὐκαλάφορος δὲ εἰς τὴν λέξιν ταύτην ὁ Ἡλιόδωρος. Στ. 4, Τοῦ Σισιμίθρου. . .ἐκβοήσαντος.] Ἐν ταῖς ΚΑ, Σισιμίθρην. . .ἐκβοήσαντα· ἐν δὲ τῇ Β καὶ ταῖς ΑΑ ἔτι χειρόνως, Τὸν Σισιμίθρην . . . ἐμβοήσαντος.—Στ. 5, Τὴν ἐγχώριον γλῶτταν καὶ αὐτὸς ἀφιείς.] Διπλῶς ἡμάρτηται τὸ τῶν πρὸ ἐμοῦ Συνεὶς, ὅτι κατὰ τὸν ἀόριστον, καὶ ὅτι ἀνοίκειον ἐνταῦθα τὸ διὰ τοῦ Συνεὶς δηλούμενον· Γελοῖον γὰρ ἐπιεικῶς τὸ φάναι, τὸν Αἰθιόπων βασιλέα τὴν Αἰθιόπων γλῶτταν συνιέναι. μετεποίησα οὖν τὸ Συνεὶς εἰς τὸ Ἀφιεὶς, ὅ ἐστι, προφέρων, λαλῶν. τοῦτο δὲ ἀναγκαῖον ἦν διαστεῖλαι, διὰ τὸ τέως τὸν Ὑδάσπην Ἑλληνιστὶ λαλεῖν μετὰ τοῦ Σισιμίθρου (σπουδάζεσθαι γὰρ τὴν Ἑλλήνων γλῶσσαν παρὰ τοῖς Γυμνοσοφισταῖς καὶ Βασιλεῦσιν Αἰθιόπων αὐτὸς Ἡλιόδωρος προλαβὼν δεδήλωκε σελ. 386)· τούτου δὲ μεταβαλόντος εἰς τὸ Αἰθιοπιστὶ λαλεῖν, ὡς δῆλον ἐκ τῶν ὀλίγῳ πρόσθεν εἰρημένων (σελ. 444), ἤρξατο καὶ ὁ βασιλεὺς τῇ Αἰθιόπων γλώσσῃ λαλεῖν. παρακείσθω δὲ καὶ μαρτύρια τοῦ Ἑλληνισμοῦ τῆς φράσεως, τό, τε τοῦ Εὐριπίδου (Ἱππολ. 990),

> Ὅμως δ᾽ ἀνάγκη, συμφορᾶς ἀφιγμένης,
> Γλῶσσάν μ᾽ ἀφεῖναι. . . . . . . . . . . . . . . .

καὶ τὸ παρὰ τῷ Λουκιανῷ (Ἡρακλ. §4), «Κελτός δέ τις παρ-» εστώς. . .ἀκριβῶς Ἑλλάδα φωνὴν ἀφιεὶς κ.τ.λ.». πολὺ δὲ ἐν τῇ χρήσει καὶ τὸ δίχα προθέσεως, Φωνὴν ἢ γλῶσσαν ἱέναι· αὐτίκα Ἡλιόδωρος (σελ. 416), «Μυρίας. . .φωνὰς ἱέντες». Στ. 13, Θεσμῷ.] Ἐκ τῶν ΚΑ. συνηγορεῖ δὲ τῇ γραφῇ καὶ τὸ παράλληλον χωρίον (σελ. 41), «Ἐπὶ παισὶ γάμον ἔνθεσμον». Στ. 15, Τραπώμεθα.] Αἱ ΚΑ, Τρεπώμεθα. — Στ. 16, Ἐπευφήμησεν.] Οὕτως αἱ ΔΑ722 διὰ τοῦ η. ἴσως δὲ καὶ πληθυντικῶς γραπτέον Ἐπευφήμησαν· καὶ γὰρ καὶ Ἐπεκλύπησαν ἐρεῖ μετ᾽ ὀλίγα. — Στ. 24, Τὴν Περσίνης.] Ἐν ταῖς ΑΑ, Τὴν τῆς Περσίνης.

Σελ. 446, σ7. 8, Τῆπερ ἀριστοβίων.] Ἐν ταῖς ΚΑ γράφεται, Τῇ παρ᾽ ἀριστοβίων· ἐν δὲ τῇ Β καὶ ταῖς ΑΑ, ὥσπερ καὶ ἐν τῷ Κ, Τῇ παρ᾽ ἀριστόβιον, ἧ γραφῇ κατηκολούθησαν καὶ οἱ λοιποὶ ἅπαντες ἐκδόται. ἡμεῖς μέντοι προειλόμεθα τὴν ἐν τῷ τέλει τοῦ δευτέρου βιβλίου (σελ. 106) γραφὴν, Τῆπερ ἀριστοβίων, τὴν αὐτὴν οὖσαν ἐκεῖ ἀπαραλλάκτως ἐν ἅπασι. τὸν δὲ χρησμὸν ὅλον ἐξηγησάμεθα ἐν τοῖς πρόσθεν (σελ. 110)· οἷς τοῦτο μόνον ἐνταῦθα προστεθείσθω, ὅτι τὸ Μελαινομένων ἀντὶ τοῦ Μελάνων τέταχε, μετοχὴν ἀντ᾽ ὀνόματος παραλαβὼν, καθὰ καὶ Εὐριπίδης Μητροκτονοῦντας εἶπεν (Ὀρέστ. 48) ἀντὶ τοῦ Μητροκτόνους, καὶ Ἀπολλώνιος (Ἀργοναυτ. Γ, 749) Μελαινομένην ἀντὶ τοῦ Μέλαιναν. σεσημειώσθω δὲ καὶ τὸ Ἀριστοβίων ὡς λέξις οὔπω καταχωρισθεῖσα ἐν τοῖς λεξικοῖς. — Στ. 16, Σὺν τῇ Περσίνῃ.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ. — Στ. 18, Ἐπὶ τῷ γάμῳ.] Κακῶς αἱ ΑΑ, Ἐπὶ τὸν γάμον. — Στ. 20, Τοιόνδε πέρας.] Ἐν ταῖς ΑΑ, Τοιόνδε τὸ πέρας, ἴσως ἐξ ἑτέρας γραφῆς τῆς, Τοιόνδε τι πέρας. — Στ. 22, Ἐμισηνός.] Οὕτω διώρθωκα ἐκ τῆς ἡμαρτημενης γραφῆς τῶν ΚΑ, Ἐμισινός, κατακολουθήσας ταῖς τῶν ἀρχαιων νομισμάτων ἐπιγραφαῖς ἐν αἷς Ἔμισα γράφεται ἡ πόλις θηλυκῶς· καίπερ ἄλλοτ᾽ ἄλλως αὐτὴν καλεσάντων τῶν Ἑλλήνων τε καὶ Ῥωμαίων Γεωγράφων· εὕρηται γὰρ, Ἔμεσα, Ἔμεσσα, Ἔμισα, Ἔμισσα, θηλυκῶς, καὶ τὰ Ἔμισα πληθυντικῶς καὶ οὐδετέρως. Χὲμψ ὀνομάζει ταύτην Κωνσταντῖνος ὁ Αὐτοκράτωρ (ἐν τῷ Πρὸς τὸν ἴδιον υἱὸν Ῥωμανὸν, κεφ. κε')· καλεῖται δὲ τανῦν ὑπὸ τῶν ἐγχωρίων Ἕμς, ἢ Ἁμσά. καὶ ταῦτα μὲν περὶ τῆς ἐνεγκαμένης τὸν χαριέστατον Ἡλιόδωρον Ἐμίσης· ὥρα δ᾽ ἡμῖν καὶ περαίνειν τὸν λόγον, ὀλίγ᾽ ἄττα πρότερον τῶν παραλελειμμένων (πολλὰ δ᾽ ἂν εἶεν ἴσως τοιαῦτα) τοῖς εἰρημένοις προσθέντας.

## ΠΑΡΑΛΕΙΦΘΕΙΣΑΙ ΕΙΣ ΤΟΝ ΗΛΙΟΔΩΡΟΝ ΣΗΜΕΙΩΣΕΙΣ.

Σελ. 6, σ7. 9, Αὐχμηρούς.] Τοῖς πρόσθεν (σελ. 8) εἰρημένοις μοι περὶ τῶν ἐξ ἀλουσίας αὐχμηρῶν καὶ ἀγρίων ἐστὶ

παραθεῖναι καὶ ἅπερ Ἠλέκτρα πρὸς τὸν ἀδελφὸν Ὀρέστην λέγει παρ᾽ Εὐριπίδῃ (Ὀρέστ. 225),

Ὦ βοστρύχων πινῶδες ἄθλιον κάρα,
Ὡς ἠγρίωσαι διὰ μακρᾶς ἀλουσίας.

Σελ. 12, στ. 25, Εὐχαῖς, οὐκ αἰτίαις, ἐξιλεοῦται τὸ κρεῖττον.] Παρῴδηται ἐκ τῶν Εὐριπίδου (Ἠλέκτρ. 195),

........ Οὔτοι στοναχαῖς,
Ἀλλ᾽ εὐχαῖς θεοὺς σεβίζου-
σ᾽, ἕξεις εὐαμερίαν ὦ παῖ.

Σελ. 24, στ. 2, Μεταμελόμενος.] Ἐξ ὧν εἴρηκα ἐν ταῖς σημειώσεσι (σελ. 29) περὶ τοῦ παρὰ τοῖς Ἑβδομήκοντα Ὑπόστασις, δηλοῦντος τὴν ἄλλως λεγομένην Οὐσίαν, ἤγουν τὰ ὑπάρχοντα, ἐξηγητέον καὶ τὸν Ἀρτεμίδωρον, ἐν οἷς λέγει (Ὀνειροκριτ. Δ, ιη΄), « Χρὴ δὲ τὸν πλουτοῦντα ἀναλίσκειν » ... τὸ δὲ παρὰ δύναμιν εἰς τὴν ἑκάστου ὑπόστασιν σκό- » πει ». — Στ. 23, Βαρυμηνιῶσαν.] Ἐπελελήσμην ἐν ταῖς σημειώσεσιν (σελ. 30) ὅτι καὶ Ἡλιόδωρος ἐν τοῖς ἑξῆς (σελ. 291) ἐχρήσατο τῷ ὀνόματι Βαρύμηνις.

Σελ. 40, στ. 23, Τὸν ἐξ ἀρχῆς ἐπὶ σοὶ πόθον.] Σημείωσαι τὸ Πόθος ἀντὶ τοῦ Ἔρως, ἐκ τοῦ παρακμάσαντος Ἑλληνισμοῦ καὶ τῆς συνηθείας εἰλημμένον, καθὰ καὶ τὸ Ποθεῖν ἀντὶ τοῦ Ἐρᾶν, καὶ τὸ Ποθουμένη, ἀντὶ τοῦ Ἐρωμένη, οἷς οἱ μὲν Ἀρχαῖοι σπανίως, εἴπερ ἄρα, κέχρηνται, οἱ δὲ νεώτεροι καλακόρως. ἐκ δὲ τῶν νεωτάτων, καὶ τῇ καθωμιλημένῃ φωνῇ γραψάντων, μάλιστα πάντων κατεχρήσατο τῷ Πόθος ἀντὶ τοῦ Ἔρως ὁ Ποιητὴς τοῦ ἐπιγραφομένου δράματος Ἐρωτόκριτος, οἷον (σελ. 12),

Ὁ κόσμος εἶναι πονηρὸς, καὶ ὁ πόθος σὲ τυφλώνει·

καὶ (σελ. 78),

Χώνει τὸν πόθον φρόνιμα, σὰν νἆτον καὶ μεγάλη.

ἡ δὲ τοιαύτη τῆς λέξεως ἐκδοχὴ ἀπ᾽ αὐτῶν ἤδη τῶν Πτολεμαϊκῶν χρόνων ἔοικεν ἄρξασθαι· καὶ γὰρ Ἀπολλώνιον εἰρηκότα (Ἀργοναυτ. Γ, 751),

Πολλὰ γὰρ Αἰσονίδαο ΠΟΘΩ μελεδήματ᾽ ἔγειρεν,

ὁ σχολιαστὴς εὐθύνει λέγων, « Οὐχ ὑγιῶς τέθεικε τὸν πόθον

» ἀντὶ τοῦ ἔρωτος· πόθος γὰρ ἡ ἐπιζήτησις· ὁ δὲ ἔρως ἐπι-» τεταμένον ἐστὶ πάθος ». οἱ γὰρ Ἀρχαῖοι Πόθον ἔλεγον κυρίως τὴν τοῦ ἀπόντος ἐπιθυμίαν, καθὰ καὶ Πλάτων διωρίσατο λέγων (Κρατύλ. σελ. 420) « Ὃς τότε ὅταν παρῇ οὗ τις ἐφίε-» το, ἵμερος ἐκαλεῖτο· ἀπογενομένου δὲ, ὁ αὐτὸς οὗτος πό-» θος ἐκλήθη ». καὶ Ἀμμώνιος δὲ εὖ μάλα διέστειλε τὸν Πόθον τοῦ Ἔρωτος (καθὰ καὶ τὸ Ποθεῖν τοῦ Ἐρᾶν), τὸν μὲν ἐπὶ τῶν ἀπόντων, τὸν Πόθον, τὸν δὲ ἐπὶ τῶν ἐν ὄψει τε καὶ παρόντων, τετάχθαι λέγων. οὐκ ἠγνόηκε μέντοι ἡ συνήθεια οὐδὲ τὴν ἀρχαίαν σημασίαν τοῦ Πόθος· χρῆται γὰρ πολλάκις ἐπὶ τῆς ἐπιθυμίας τῶν ἀπόντων ἢ μελλόντων. καὶ, Βάλλειν δὲ πόθον εἴς τι, κομψῶς φιλεῖ λέγειν, ἀντὶ τοῦ μετ' ἐπιμελείας καὶ σπουδῆς περὶ τὴν κτῆσιν τινὸς καταγίνεσθαι, οἷον τὸ ἐν τῷ προδηλωθέντι Ἐρωτοκρίτῳ (σελ. 7),

Πόθον μεγάλον ἤβανε στὸ γράμμα νύκτα ἡμέρα.

Σελ. 76, στ. 12, Χέμμιν.] Καθηψάμεθα Ἡλιοδώρου ἀνωτέρω (σελ. 77), ὡς οὐκ ἀκριβῶς τὰ κατὰ τὴν Χέμμιν γεωγραφήσαντος. ἐνταῦθα δὲ προσσεσημειώσθω, ὅτι εἰκὸς αὐτὸν καὶ ὑπὸ τῆς ὁμωνυμίας πλανηθέντα συγκεχυκέναι τὰ περὶ τοὺς τόπους· πολλαὶ γὰρ ἦσαν ἐν Αἰγύπτῳ πόλεις ἢ κῶμαι, ἁπλῶς ἢ ἐν συνθέσει οὕτως ὀνομαζόμεναι, οἷον ἡ Ψιτάχεμμις καὶ ἡ Ψώχεμμις, ὧν ἐμνημόνευσε Στέφανος, καίπερ ἀγνώστου καὶ τούτων οὔσης τῆς θέσεως. καὶ αὐτὴ δὲ ἡ σύμπασα Αἴγυπτος Χημία τὸ πάλαι ὠνομάζετο, ὥς φησι Πλούταρχος (περὶ Ἴσιδ. καὶ Ὀσίριδ. § 33), ἢ Ἑρμοχύμιος, καθὰ παραδέδωκε Στέφανος (λέξ. Αἴγυπτος), καὶ μέχρι καὶ δεῦρο Χεμὶ ἢ Χεμμὶ ὑπὸ τῶν Κοπτῶν καλεῖται. Χημίαν δὲ Πλούταρχος, Ἑλληνικῶς ἐτυμολογῶν τοὔνομα, κληθῆναι φησὶ τὴν Αἴγυπτον, διὰ τὸ μελάγγειον εἶναι, ὥσπερ τὸ μέλαν τοῦ ὀφθαλμοῦ. ἕτεροι δὲ παρὰ τὴν Ἑβραϊκὴν λέξιν חום (Χοὺμ), τὸ ἐξ ἐπικαύσεως μέλαν δηλοῦσαν καὶ αὐτὴν, παρῆχθαι τῆς Χημίας τοὔνομα βούλονται· ἄλλοι δὲ μακρῷ πιθανώτερον παρὰ τὸν Χὰμ, υἱὸν τοῦ Νῶε, οὕτω κεκλῆσθαι φασὶν, οἱονεὶ Χαμίαν· καὶ γὰρ Γῆν Χὰμ ὠνόμαζον οἱ Ἑβραῖοι τὴν Αἴγυπτον (Ψαλμ. ΡΔ, κγ' καὶ κζ').

Σελ. 89, στ. 19, Ἐπιβρίσαντος.] Διωρθούμην Ἡσύχιον

ἐν τοῖς πρόσθεν (σελ. 91), μεταποιῶν τὸ Ἐπιστῆξαι εἰς τὸ Ἐπισκῆψαι· οὐκ ἀπεικὸς μέντοι καὶ Ἐπιστηρίξαι γεγράφθαι παρ' αὐτῷ τὴν ἀρχήν.

Σελ. 96, στ. 20, Μαργαρίδες.] Προστίθει τοῖς ἀνωτέρω (σελ. 102) σημειωθεῖσιν, ὅτι εὕρηται καὶ παρὰ τῷ Φιλοστράτῳ (Ἀπολλων. βίῳ, Γ, νγ' καὶ νζ) ἡ καινῶς ἐσχηματισμένη λέξις Μαργαρὶς, πλὴν εἰ μὴ καὶ παρ' ἐκείνῳ ὑπολάβοι τις ἡμαρτῆσθαι τὴν φωνὴν, διὰ τὸ καὶ τῷ κοινῷ Μαργαρίτις ἀλλαχοῦ κεχρῆσθαι τὸν αὐτόν.

Σελ. 105, στ. 9, Ἐν ἐπαγγελίᾳ.] Προστεθείσθω τοῖς ἐξ Ὁμήρου παρατεθεῖσι (σελ. 110) ὅτι καὶ Θεόκριτος (Α, ιή) ὀργῆς καὶ θυμοῦ ἕδραν οἶδε τὴν ῥῖνα,

Καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.

καὶ πολὺ δὲ πρότερον τῶν παρ' Ἕλλησι ποιητῶν ἡ Ἑβραῒς Γλῶσσα διὰ μιᾶς φωνῆς τῆς אף (Ἄφ) ἐδήλωσε τόν τε θυμὸν καὶ τὴν ῥῖνα, ὡς τὸ ἐν τοῖς Δαυιδικοῖς ψαλμοῖς (ς, α') ἐμφερόμενον, «Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με», οὐδὲν ἧττον, «Κύριε μὴ τῇ ῥινί σου ἐλέγξῃς με», ἔχειν ἑρμηνεύεσθαι. εἰκότως δὲ τοῦτο ἀπ' αὐτοῦ τοῦ συμβαίνοντος εἴληπται· καὶ γὰρ κινεῖται μᾶλλον τοῦ εἰωθότος, καὶ εὐρύνεται παρὰ φύσιν, τῶν ὀργιζομένων ἡ ῥίς. προσσημειούσθω δὲ καὶ τοῦτο, ὅτι ἐκ τῆς Φιλοστρατείου τοῦ λόγου ἰδέας ἠρανίσατο ὁ Ἡλιόδωρος τὴν φράσιν, Ἐν ἐπαγγελίᾳ θυμοῦ· παραπλησίως γὰρ κἀκεῖνος εἴρηκέ που (Ἡρωϊκ. Θ, σελ. 715), «Ξὺν ἐπαγγελίᾳ βοσ» τρύχων».

Σελ. 108, στ. 2, Ἀγκύλην.] Παρατίθει τῷ Ἀγκύλη παρὰ τὸ Ἄγκη, παραπλησίαν παραγωγὴν τοῦ Κογχύλη παρὰ τὸ Κόγχη.

Σελ. 109, στ. 27, Τὰν Θέτιν ἀείδω, Χρυσοέθειρα Θέτιν.] Τὸν ἐν ἀρχῇ στίχον καὶ ἐπὶ τέλει τοῦ ὕμνου τέταχε, κατὰ μίμησιν τοῦ παρὰ τῷ Φιλοστράτῳ (Ἡρωϊκ. ΙΘ, σελ. 741) εἰς τὴν αὐτὴν ταύτην Θέτιν ὕμνου, ὃν ὁ ποιήσας, πρῶτον καὶ τελευταῖον ἔταξεν ἐν αὐτῷ τὸ,

Θέτι κυανέα, Θέτι Πήλεια.

Σελ. 110, στ. 18, Θετταλική.] Καὶ Ὅμηρος δὲ, τὴν

Τρίκκην Ἱππόβοτον ὀνομάσας (Ἰλιάδ. Δ, 202), τὸ ἐξαίρετον τῶν Θεσσαλικῶν ἵππων παρεδήλωσε.

Σελ. 111, σἰ. 20, Καὶ ὡς καλόν.] Ἐπελαθόμην σημειώσασθαι (σελ. 118) τὴν γραφὴν τῶν ΚΑ, Καὶ ὡς καλῶν.

Σελ. 115, σἰ. 10, Τὰ κοιταῖα.] Ἑρμῇ τῷ ἐπισἰάτῃ τῶν ὀνείρων σπένδειν τοὺς ἐπὶ κοίτην ἰόντας, ἐδηλώσαμεν ἐν τοῖς πρόσθεν (σελ. 120). ἐπίστευον δὲ καὶ πίνεσθαι ὑπὸ τοῦ Ἑρμοῦ τὸν σπενδόμενον οἶνον, ὡς δεδήλωκε Φιλόστρατος (Ἡρωϊκ. Η, σελ. 714), « Ἐδεῖτό τε (Ἀχιλλεὺς Παλα-» μήδους) ὄναρ ἐφίστασθαί οἱ, σπένδων ἀπὸ κρατῆρος, οὗ » Ἑρμῆς ὑπὲρ ὀνείρων πίνει ».

Σελ. 154, σἰ. 24, Κιστίδι.] Εἴκασα (σελ. 154) γραπτέον εἶναι Κοιτίδι, καίπερ παρειληφὼς ἐκ τῆς διορθώσεως τοῦ Κ τὸ Κιστίδι· ἐν δὲ τῷ παρόντι πέπεισμαι ὅτι καὶ τὴν φράσιν ὅλην, ἐκ τῶν Φιλοστράτου μετήνεγκεν Ἡλιόδωρος. λέγει δὲ ἐκεῖνος (Ἀπολλων. βίῳ, Δ, λθ'), « Καί τινα καὶ νευ-» ρὰν τῶν ἐφαψαμένων τε καὶ προεντεταμένων ἈΠΟΚΕΙ-» ΜΈΝΗΝ ἘΝ ΚΟΙΤΊΔΙ ΕἾΧΕΝ ».

Σελ. 210, σἰ. 3, Ἡ δὲ (ἔστι γάρ τι χρῆμα σοφώτατον καὶ καιρὸν διαθέσθαι δρασἰήριος, ἅ. δ. τ. κ. τ. ἐ. ὑ. ἀνύουσα) κ.τ.λ.] Ἐπελαθόμην σημειώσασθαι (σελ. 189) ὅτι ὁ μὲν Κ οὕτω τάττει τὸ διὰ μέσου, Ἡ δὲ (ἔσἰι γάρ τι χρῆμα σοφώτατον καιρὸν διαθέσθαι δραστήριος) ἅ. δ. τ. κ. τ. ἐ. ὑ. ἀνύουσα, κ. τ. λ. ὁ δὲ Λ, Ἡ δὲ (ἔσἰι γάρ τι χρῆμα σοφώτατον καιρὸν διαθέσθαι) δραστήριος, ἅ. δ. τ. κ. τ. ἐ. ὑ. ἀνύουσα κ. τ. λ. ὁ δὲ Α συνᾴδει κατὰ λέξιν τῇ ἡμετέρᾳ διορθώσει τοῦ διὰ μέσου, *Chariclea, qui est tressage, et advertie pour se sçavoir tresbien acommoder au temps, selon que l'affaire le requiert: et d'avantage qui avoit lors un peu esté instruite par moy, chassa incontinent de son visage la tristesse etc.* — Στ. 23, Ἄχθος μὲν τηνάλλως.] Δαυὶδ ὁ Ῥυγκένιος, ἐν ταῖς εἰς τὸ Τιμαίου Πλατωνικὸν Λεξικὸν σημειώσεσι (σελ. 199 ἐκδόσ. 1789), διωρθοῦτο τὸ χωρίον τοῦτο, γράφων, Ἄχθος μὲν γῆς ἄλλως.

Σελ. 218, σἰ. 20, Αἰφνιδίῳ σπιλάδι.] Προστεθείσθω τοῖς ἀνωτέρω (σελ. 193) ὅτι καὶ Ὅμηρος τὴν ἐξ ὄχλου καὶ

πλήθους ἀνθρώπων αἰρομένην ἀθρόαν βοὴν κύμασι θαλάσσης σκοπέλῳ προσβάλλουσιν εἴκασεν (Ἰλιάδ. Β, 394),

> .... Ἀργεῖοι δὲ μέγ' ἴαχον, ὡς ὅτε κῦμα
> Ἀκτῇ ἐφ' ὑψηλῇ, ὅτε κινήσει νότος ἐλθὼν
> Προβλῆτι σκοπέλῳ, κ. τ. λ.

Σελ. 309, σ. 4, Ἐπίμαχον.] Σημείωσαι τὴν ἡμαρτημένην χρῆσιν τοῦ Ἐπίμαχος. παρὰ μὲν γὰρ Θουκυδίδῃ (Δ, λα') σημαίνει τὸν δυνάμενον πολεμεῖσθαι, ὡς καὶ Ἡσύχιος ἐξηγεῖται λέγων, « Ἐπίμαχον χωρίον, ᾧ δύναταί τις προσιέναι μαχόμε» νος ». ὁ αὐτὸς δὲ Ἡσύχιος Ἐπίμαχον ἄλλως ἑρμηνεύει καὶ τὸν ἐπίκουρον καὶ βοηθὸν, ἐπεὶ καὶ ἡ Ἐπιμαχία τοιοῦτόν τι βούλεται· Ἡλιόδωρος δὲ Ἐπίμαχον λέγει τὴν πόλιν τὰς Φίλας, σχεδόν τι ἐπὶ τῆς ἐννοίας τοῦ Περιμάχητος, τουτέστι περὶ ἧς μάχη καὶ ἀμφισβήτησις ἦν ἀεὶ, μὴ καθαρῶς κεκριμένης ὁποτέροις προσήκοι, καθάπερ ἄριστα ἡρμήνευσεν ὁ Α, *La ville de Philæ, pour la quelle il y avoit de tout temps eu débat, etc.* καὶ ἔστιν ἥδε τῆς λέξεως ἡ ἐκδοχὴ ἄγνωστος τοῖς Λεξικογράφοις· ὅθεν πλανηθεὶς καὶ ὁ Α ἐξεδέξατο ἐπὶ τῆς παρὰ τῷ Θουκυδίδῃ σημασίας τὸ τοῦ Ἡλιοδώρου Ἐπίμαχον.

Σελ. 311, σ. 9, Παρενείρων.] Ἐπελαθόμην σημειώσασθαι ὅτι ἐκ τῶν ΚΑ καὶ ΑΑ ἡ γραφή· αὐτὸς γὰρ ὁ Κ γράφει ἡμαρτημένως ἐκ τῆς Β, Παρεγείρων.

Σελ. 318, σ. 6, Καὶ ἅμα ἐννοοῦσα ὡς οὐκ ἔστιν ὅπως κ. τ. λ.] Ἐπελαθόμην σημειώσασθαι ὡς ἐν ταῖς ΚΑ καὶ ΑΑ γράφεται, Καὶ ἅμα ἐννοοῦσα ὡς οὐκ ἔστι· πῶς γὰρ ἐμαυτῆς κ. τ. λ.

Σελ. 404, σ. 18, Μόνον.] Ὀρθῶς μὲν ἐν τοῖς πρόσθεν (σελ. 334) γεγράφθαι τὴν ἀρχὴν Μᾶλλον ἀντὶ τοῦ Μόνον, οὐκ ὀρθῶς δὲ μεταθετέον εἶναι τοῦτο δὴ τὸ Μᾶλλον μετὰ τὸν ἐχόμενον Ἀλλὰ σύνδεσμον ὑπέλαβον. γεγράφθω τοίνυν τὸ χωρίον ὅλον ὡδὶ, « Οὐ τοῖς προσώποις, ἔφη, μᾶλλον τὰ δί» καια γίγνεται ἰσχυρὰ παρὰ τοῖς σώφροσιν, ἀλλὰ τοῖς τρό» ποις ». πιστούσθω δὲ τὴν τοιαύτην γραφὴν ἡ τοῦ ὁμοίου παράθεσις, εἰρηκότος ἐν τοῖς πρόσθεν (σελ. 34) Ἡλιοδώρου, « Ἃς δουλεύειν οὐχ ἡ αἰχμαλωσία μᾶλλον, ἀλλὰ ἡ συνήθεια » κατηνάγκαζε ». ἐν γὰρ ἀμφοτέροις τοῖς χωρίοις τὸ Μᾶλλον

ἀλλὰ, ἀντὶ τοῦ Μᾶλλον ἢ, κατὰ ζῆλον εἴρηται Θουκυδίδου φήσαντος (Β, μδ΄), «Καὶ οὐκ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ » κερδαίνειν . . . μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι ».

Οὐκ ἔφθην εἰς πέρας διαβιβάσας τὰ εἰς τὸν Ἡλιόδωρον σχόλια, καὶ σώζεσθαι ἐπυθόμην ἐν τῇ κοινῇ τῶν Παρισίων βιβλιοθήκῃ ἀντίτυπον τῶν Αἰθιοπικῶν τῆς Κομμελινιανῆς ἐκδόσεως, προσγεγραμμένας ἔχον τοῦ πάλαι κτησαμένου αὐτὸ Σαλμασίου τοῦ Κριτικωτάτου σημειώσεις τινάς. αἰτησάμενος οὖν τὴν βίβλον καὶ ἐπελθὼν, τὰς μὲν εὗρηκα οὐδὲν ἄλλ' οὔσας ἢ ὧν συνειλόχει Κομμελῖνος διαφόρων γραφῶν ἐπικρίσεις, τὰς δ' ἐξ ἑτέρων ἀντιγράφων ἀναγνώσεις, ἔστι δ' ἃς καὶ αὐτοῦ Σαλμασίου διορθώσεις, ἢ καί τινων λέξεων Λατινικὰς ἑρμηνεύσεις. ταύτας ἁπάσας συλλεξάμενος, δεῖν ἔγνων ἐνταῦθα προσθεῖναι, τῶν φιλολόγων ἕνεκα, ὡς ἂν ἔχοιεν, ταῖς ἡμετέραις παραβάλλοντες, κρίνειν τίνα μὲν συγκατωρθώκαμεν Σαλμασίῳ, τίνα δὲ κατωρθωκότος ἐκείνου ἡμεῖς ἀπελείφθημεν, καὶ τίσι, παραδραμόντων ἡμῶν, ἐπέστησεν ἐκεῖνος καὶ προσέσχε τὸν νοῦν, ἢ προσχόντων παρέδραμε.

## ΣΑΛΜΑΣΙΟΥ

## ΣΗΜΕΙΩΣΕΙΣ ΕΙΣ ΤΟΝ ΗΛΙΟΔΩΡΟΝ.

Τὸ μὲν προκείμενον Δ σημαίνει τὰς διορθώσεις Σαλμασίου· τὸ δὲ προτεταγμένον ἢ ἐπιτεταγμένον Γρ. τὰς τῆς ἐν Βασιλείᾳ, ἢ τῆς τοῦ Κομμελίνου ἐκδόσεως, ἢ ἄλλων, οἷς αὐτὸς ἐνέτυχε Σαλμάσιος, Ἀντιγράφων διαφόρους γραφάς.

Βιβλ. Α, σελ. 2, σ. 5, Ἐλεεινά.] Γρ. Ἐλεεινά. Στ. 16, Πεπορισμένῳ.] Δ. Πεπορισμένῳ. ΣΕΛ. 3, σ. 21, Προκείμενον.] Γρ. Προκείμενον. ΣΕΛ. 5, σ. 1, Ἡ τῶν γενομένων.] Γρ. Ἡ τῶν Γιγνομένων. ΣΕΛ. 10, σ. 3, Ἱκανὴ δὲ καὶ φρούριον.] Γρ. Ἱκανὴ δὲ φρούριον. Στ. 5, Ὅσα καὶ τείχει.] Δ. Ὅσα γε τείχει. ΣΕΛ. 11, σ. 4, Ἀγροικίας.] Γρ. Ἀγροικίας. ΣΕΛ. 13, σ. 21, Τί ταῦτα κινεῖς κἀναμοχλεύεις;] Γρ. . . Κἀναμοχλεύεις προστίθησι δ' ὅτι καὶ ἔοικεν ἐκ Τραγικοῦ τινὸς παρειλῆφθαι ποιητοῦ. ΣΕΛ. 15, στ. 4, Θερμότερα ἦν τὰ φιλήματα.] Παραβάλλει τούτοις τὸ *Flagrantia oscula* τοῦ Ὁρατίου. ΣΕΛ. 17,

σͭ. 4, Ὅσα περ σέ τε κἀμὲ.] Γρ. Ὅσα σέ τε κἀμέ. ΣΕΛ. 18, σͭ. 6, Ἐπανῆκε.] Γρ. Ἐπανῆκε. ΣΕΛ. 19, σͭ. 13, Ἐῤῥαγείς.] Δ. Ἐῤῥαγείσας, ἀποδιδοὺς, ὡς ἔοικε, πρὸς τὸ Θύρας. ΣΕΛ. 24, σͭ. 14, Οἷον ἐγκεῖσθαι.] Δ. Οἷον ἔγκειται. ΣΕΛ. 25, σͭ. 18, Ἐπιβουλὴν αἰσχύνομαι, συντεύξεσθαί ποτε ἐπελθόντι, κ.τ.λ.] Δ. Ἐπιβουλὴν αἰσχύνομαι. συντεύξεσθαι δέ ποτε ἐπελθόντι κ. τ. λ. ΣΕΛ. 26, σͭ. 1, Ἀλλοτρίαν μέν.] Δ. Ἀλλοτρίαν μήν. ΣΕΛ. 27, σͭ. 21, Δι' ἐμὲ τὸ μέρος.] Γρ. Δι' ἐμὲ τὸ μέρος. ΣΕΛ. 28, σͭ. 22, Τάχα ἂν ἐπιβιῴην.] Δ. Τάχα ἀποβιῴην, ἢ Τάχα ἀνεπιβιῴην. ΣΕΛ. 30, σͭ. 12, Τὴν ἐπὶ τοῖς παροῦσιν.] Γρ. Τὴν ἐπὶ τοῖς μέλλουσιν. ΣΕΛ. 31, σͭ. 9, Μνήμῃ.] Γρ. Μνήμη. ΣΕΛ. 32, σͭ. 16, Παρθενίους.] Γρ. Παρθενίους, ἢ Δ. Παρθένου. ΣΕΛ. 36, σͭ. 17, Καὶ ταῦτα ἐν ὁμίλῳ.] Δ. Καὶ ταῦτα ἐν ὁμίλῳ. ΣΕΛ. 38, σͭ. 24, Ἑτοίμως.] Δ. Ἐτύμως· μετὰ προσγεγραμμένης λατινικῆς ἐξηγήσεως, δηλούσης τὸ, Οὕτως ἔχειν. ΣΕΛ. 39, στ. 11, Ποιησαμένους.] Δ. Ποιησομένους. Στ. 18, Ἐποιεῖτο. αὐτὴν δὲ τὴν κ.τ.λ.] Δ. Ἐποιεῖτο, αὐτὴν δὲ τὴν κ. τ. λ. ἀπαλείφων τὴν μετὰ τὸ Ἐποιεῖτο τελείαν στιγμὴν, διὰ τοῦθ', ὡς ἔοικεν, ἵνα ᾖ τὸ ἐχόμενον ἀπόδοσις τοῦ προηγουμένου, Καὶ εἴπῃ (ὃ μετεποιήσαμεν ἡμεῖς εἰς τὸ Καίπῃ). ΣΕΛ. 40, σͭ. 18, Εἰ δὲ μὴ, γίγνεται.] Δ. Εἰ δὲ μὴ, γίγνεται. ΣΕΛ. 44, σͭ. 1, Ὑπερκύπτοντας.] Γρ. Ὑπερκύπτοντας. ΣΕΛ. 45, σͭ. 16, Διαδρᾶναί οἱ τὴν μάχην.] Δ. Διαδρᾶσαι οἱ τὴν μάχην. ΣΕΛ. 47, σͭ. 25, Ὁρώμενα.] Γρ. Δρώμενα. ΣΕΛ. 48, σͭ. 1, Συνέβαλλεν.] Γρ. Μετέβαλεν. Στ. 13, Ἑστίοις.] Δ. Ἐφεστίοις. ΣΕΛ. 52, σͭ. 11, Κατ' αὐτό.] Δ. Κατ' αὐτό.

Βιβλ. Β, σελ. 54, σͭ. 5, Ἐξ ἀνθρώπων.] Δ. Ἐξάνθρωπον, καὶ ἐξηγεῖται ὡς συνώνυμον τοῦ Ὑπεράνθρωπον· εἶτα μέντοι παλινῳδῶν, κατὰ χώραν ἐατέον εἶναί φησι τὴν γραφὴν, Ἐξ ἀνθρώπων, παραβάλλων τῷ ἐν τοῖς ἑξῆς (σελ. 85) Ἡλιοδώρου χωρίῳ, Τὰ ἐξ ἀνθρώπων χρήματα. ἐν δὲ ταῖς πρὸ τῶν Αἰθιοπικῶν ἀγράφοις σελίσι, ἃς προτιθέναι τῶν βίβλων εἰώθασιν οἱ βιβλιοῤῥάφοι, παρατίθεται καὶ ἕτερον μαρτύριον ἐξ Ἱπποκράτους, αὐτὸ ἐκεῖνο ὅπερ ἡμεῖς παρεθέμεθα ἐν ταῖς σημειώσεσι (σελ. 54). ΣΕΛ. 55, σͭ. 2, Καθάπερ

περ ἀπὸ ὕσπληγγος τῆς βοῆς, ἀπεσφενδόνητο.] Συνάπτει τῷ Ἀπεσφενδόνητο τὸ Βοῆς, ὅπερ παραφράζει, *A conflictu, a tumultu, a prælio*, τουτέστιν ἀπὸ τῆς συμβολῆς, ἀπὸ τοῦ θορύβου, ἀπὸ τῆς μάχης, παρατιθέμενος τὸ Ὁμηρικὸν «Βοὴν » ἀγαθὸς Μενέλαος».—Στ. 9, Προσορμήσαντες.] Δ. Προσορμήσαντες. ΣΕΛ. 59, σ7. 19, Ἡνωμένοι.] Ὀρθῶς ἔχειν τὴν γραφὴν ἀποφαίνεται. μεταβάλλει δὲ καὶ τὸ ἐπαγόμενον Μικρὸν εἰς τὸ μικροῦ. ΣΕΛ. 64, σ7. 2, Ἔνθα δὴ νυνὶ καὶ σὺν ὑμῖν ἐξετάζομαι.] Καθάπτεται τοῦ Λ, μὴ συνέντος τὸ Ἐξετάζομαι, παρατιθέμενος τὸ ἐν τοῖς ἑξῆς (σελ. 92) Πρὸς θυσίαις ἐξηταζόμην. σ7. 10, Ἐπήρχετο.] Καθάπτεται τοῦ Λ, ὑπολαβόντος παραλλικὸν εἶναι τοῦ Ἐπάρχομαι τὸ Ἐπήρχετο, ὅ ἐστιν Ἀνεγίνωσκε (παρὰ τὸ Ἐπέρχομαι). Στ. 13, Εὐαγγελίζομαί σε.] Δ. Εὐαγγελίζομαί σοι. ΣΕΛ. 75, σ7. 13, Ὅσα γῆν.] Γρ. Ὅσα γῆν. ΣΕΛ. 78, σ7. 24, Ὅπως ἂν οἵ ποτε διαχρήσαιτο.] Δ. Ὅπως ἂν ἕ ποτε· δηλονότι τὴν αἰτιατικὴν Ἓ τῆς Ὅς ἀντωνυμίας ἀνθυποβαλὼν τῇ δοτικῇ Οἷ. σημειωτέον μέντοι ὅτι οὐ, καθάπερ τῷ Οἷ, ὡσαύτως καὶ τῷ Ἓ εἰώθασι χρῆσθαι οἱ πεζογράφοι, πλὴν ἅπαξ που ἢ δὶς Πλάτων. ΣΕΛ. 79, σ7. 3, Ὕπνον εἵλκυσεν.] Παραβάλλει τῷ ἀνωτέρω (σελ. 71), εἰρημένῳ Ἐσπάσαντο ὕπνου. ΣΕΛ. 80, σ7. 24, Ἢ ξένος.] Οὕτω γραπτέον εἶναι ὑπολαμβάνει καὶ αὐτός· ἐᾷ δὲ τὸ Ἢ πόθεν κατὰ χώραν. ΣΕΛ. 81, σ7. 12, Οὐκοῦν, ἦδ' ὅς.] Γρ. ὡσαύτως. ΣΕΛ. 84, σ7. 1, Τοῦτο γὰρ ἔπινεν.] Ἐγκρίνει καὶ ταύτην τὴν γραφήν. ΣΕΛ. 86, σ7. 25, Ὡς οὖν μεγάλων.] Τὴν ἡμαρτημένην γραφὴν, Ἐπὶ μεγάλων, διορθοῦται μεταποιῶν εἰς τὸ σύνθετον Ἐπιμεγάλων. ΣΕΛ. 87, σ7. 24, Οὐρανία φωστήρων.] Δ. Οὐρανίων φωστήρων. ΣΕΛ. 90, σ7. 20, Τῇ Κίῤῥᾳ.] Γρ. παραπλησίως. σ7. 26, Πρὸ ποδῶν.] Δ. Προπόδων, ἐπισημειούμενος ὅτι καὶ ἡ χρῆσις οἶδε Πρόποδας ὄρους. ΣΕΛ. 99, σ7. 14, Ἢ μήν.] Γρ. Ἦ μήν. ΣΕΛ. 100, σ7. 3, Ὁμολογῶν.] Γρ. τὸ αὐτό. ΣΕΛ. 105, σ7. 9, Ἐν ἐπαγγελίᾳ.] Δ. ὡσαύτως, διαιρῶν εἰς δύο.

Βιβλ. Γ, σελ. 108, σ7. 2, Ἀγκύλην] Ἐξηγεῖται Ἰγνύαν· σ7. 8, Σιμοὶ τὴν κνήμην.] Ἐξηγεῖται τὸ Σιμοὶ διὰ τοῦ Μετέωροι. στ. 22, Εὐωδίᾳ.] Γραπτέον, Εὐωδίᾳ, ἢ Διορθω-

Ω ω

τέον, Εὐωδίαις, ὑπολαμβάνει. ΣΕΛ. 109, 14, Χρυσοέθειρα Θέτιν.] Ἐν τούτῳ τε καὶ τῷ τελευταίῳ στίχῳ τοῦ ὕμνου ἐν ἀρίστῳ ἀντιγράφῳ κατ' αἰτιατικὴν φησὶν εὑρεῖν γεγραμμένον Χρυσοέθειρα Θέτιν. στ. 15, Νηρέος.] Γρ. Νιρέος, ἐκ τοῦ αὐτοῦ ἀντιγράφου. στ. 16, Πηλέϊ.] Γρ. Πηλεῖ, συνῃρημένως. στ. 18, Ἧ τὸν δουριμανῆ, τόν τ' Ἄρεα πτολέμων.] Γρ. ἐκ τοῦ αὐτοῦ ἀντιγράφου, Ἃ τὸν δουριμανῆ, τόν τ' Ἄρεα πτολέμῳ. στ. 25, Δ' εὐμενέων.] Οὕτως εὗρε γεγραμμένον ἐν τῷ προδηλωθέντι ἀντιγράφῳ· τέως δὲ διωρθοῦτο, Δ' ἠμείων, ἢ Δ' ὑμνεῖον, ἢ Δ' ὑμναῖον, ΣΕΛ.110, σ̄.21, Ὡς δὲ τὸν νοῦν.] Δ. Τόσα δὲ τὸν νοῦν. ΣΕΛ.111, σ̄.20, Καὶ ὡς καλόν.] Γρ. Καὶ ὡς καλῶν. ΣΕΛ. 113, σ̄. 5, Ὑπὸ βλοσυρῷ.] Δ. Ὑποβλοσυρῷ, συνθέτως. ΣΕΛ. 121, σ̄. 6, Εἴθε.] Γρ. Εἶθε. σ̄. 9, Δέος μὴ τοῦτο.] Δ. Δέος οἱ μὴ τοῦτο. ΣΕΛ. 128, σ̄. 16, Καὶ κατὰ ποίαν.] Ἐᾷ κατὰ χώραν τὸν διαζευκτικόν (Ἢ κατὰ ποίαν): στίζει δὲ καὶ ἐκδέχεται τὸ ὅλον χωρίον, καθὰ καὶ ἡμεῖς ἀνωτέρω (σελ. 130) ἐσημειωσάμεθα. ΣΕΛ. 131, στ. 17, Ὡς ἂν ἐγώ.] Δ. Ὅσα ἐγώ. ΣΕΛ. 134, στ. 8, Τῇ Χαρικλείᾳ.] Δ. ὡσαύτως.

Βιβλ. Δ, σελ. 139, στ. 5, Οὐκ ἀποκναίεις.] Γρ. ἐξ ἑτέρων ἀντιγράφων, Οὐκ ἀποκνεῖς. ΣΕΛ. 144, στ. 2, Οὐ γὰρ δὴ μὴ ἀνάξιοί γε ὄντες.] Δ. Οὐ γὰρ δὴ μὴ ἂν (ἢ Οὐ γὰρ δὴ μὴν) ἄξιοι γ' ὄντες. στ. 24, Ὦ Χαρικλῆς.] Δ. Ὦ Χαρίκλεις. ΣΕΛ. 145, στ. 23, Συνωφελεῖται θεραπευομένῳ.] Δ. Συνωφελῆται δὲ θεραπευομένῳ. ΣΕΛ. 146, στ. 2, Τοῦτο, οὐκ ἄλλοτι.] Στίζει, Τοῦτο. οὐκ ἄλλο τι, τοῦ Κ γράψαντος, Τοῦτο οὐκ ἄλλο τι. σ̄. 7, Κυλοιδιᾷ.] Ἀποδοκιμάζει τὴν διὰ τῶν δύο λ̄ τοῦ Κ γραφήν. ΣΕΛ. 147, σ̄. 21, Ἃς εἰκὸς ἦν ἐκείνην.] Γρ. παραπλησίως. ΣΕΛ, 150, σ̄. 19, Ὦ γλυκεῖα, καὶ μέχρις ὥρας θύγατερ.] Καθάπτεται τοῦ Λ, κακῶς ἑρμηνεύσαντος τὸ Μέχρις ὥρας, *Ad exiguum tempus*, τουτέστι Πρὸς βραχὺ μέρος χρόνου, δέον ἐκδέχεσθαι τὸ Ὥρας, ἐπὶ τῆς αὐτῆς σημασίας τοῦ μετὰ μικρὸν (σελ. 151), ῥηθησομένου, Ὦ μάτην Ὡραία. ΣΕΛ.152, σ̄.3, Νόθου.] Δ. Νόθον. ΣΕΛ. 154, στ. 24, Κιστίδι.] Δ. Κοιτίδι, ἢ Κυτίδι. ΣΕΛ. 158, στ. 2, Καὶ πάσης κατηφείας ἀνάπλεων.]

Γρ. Καὶ ὅλον κατηφείας, δίχα μέντοι τοῦ ἐπαγομένου, Ἀνάπλεων. ΣΕΛ. 162, στ. 22, Μόνον.] Συνάπτει τῷ προηγησαμένῳ, Τὴν Αὔριον, ὥσπερ οἱ μεταφράσαντες. ΣΕΛ. 165, στ. 3, Ἀλλ' εὐθύμους.] Γρ. Ἀλλ' ἀνευθύμους.

Βιβλ. Ε, σελ. 173, στ. 5, Λανθάνω τὴν διήγησιν κ.τ.λ.] Γρ. παραπλησίως, περιγράφων τὰ ἐν μέσῳ. ΣΕΛ. 182, στ. 1, Κερδήσωμεν.] Δ. Κερδήσομεν. ΣΕΛ. 184, στ. 19, Ὡς ἂν λανθάνοι.] Γρ. Ὡς ἦν λανθάνοι. ΣΕΛ. 186, στ. 5, Μεγίστῳ.] Γρ. Μεγάλῳ, οὕτω κυρίως ἐπωνομάσθαι λέγων τοὺς Περσῶν βασιλέας. τῇ δὲ τοῦ Θεοῦ προσηγορίᾳ, ἧς μετεποιοῦντο καὶ αὐτῆς οἱ βασιλεῖς, παρατίθησιν (ἐν ταῖς πρὸ τῶν Αἰθιοπικῶν ἀγράφοις σελίσι) καὶ μαρτύριον Αἰσχύλου ἐν οἷς περὶ τῆς Δαρείου γυναικὸς λέγει (Περσ. 155),

Θεοῦ μὲν εὐνάτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς.

προσπαρατιθέμενος καὶ τὸ εἰρημένον τῷ Σχολιαστῇ, « Τοὺς » βασιλεῖς θεοὺς καλοῦσιν οἱ Πέρσαι ». ΣΕΛ. 187, στ. 21, Τὴν ἐμοί.] Οὕτω γρ. ΣΕΛ. 190, στ. 23, Ὑπερφέρουσα.] Γρ. Ὑπερφέρουσαν. ΣΕΛ. 199, στ. 5, Ἀλλ' (οὐ γὰρ ἦν κ. τ. λ.).] Τοῦτο ἐξ Εὐριπίδου εἰλῆφθαι οἴεται, εἰς ἰαμβεῖον ἐντείνων οὑτωσὶ,

.................... Ἀλλ' οὐ γὰρ ἦν
Τοὺς δυστυχοῦντας μὴ οὐχὶ πάντα δυστυχεῖν.

ἀλλ' οὔτε παρὰ τῷ Εὐριπίδῃ εὕρηται, ἄλλως τε ἡμάρτηται ὁ δεύτερος στίχος, ὀρθῶς ἂν ἔξων, εἰ ἐγράφετο,

Τοὺς δυστυχοῦντας οὐχὶ πάντα δυστυχεῖν.

ΣΕΛ. 210, στ. 3, Ἡ δὲ (ἔστι γάρ τι κ. τ. λ.).] Οὕτω τάττει τὸ διὰ μέσου, Ἡ δὲ (ἔστι γάρ τι χρῆμα σοφώτατον) καιρὸν διαθέσθαι δραστήριος, κ. τ. λ. ΣΕΛ. 221, στ. 15, Πόθεν;] Γρ. Ἐρωτηματικῶς τὸ Πόθεν.

Βιβλ. ς, σελ. 228, στ. 3, Χεμμίτιδι.] Γρ. ὡσαύτως. ΣΕΛ. 229, στ. 12, Ὡς οὐ δέοι διὰ τὴν ἐπ' ὀλίγον. . . ἀπεγνωκέναι τῶν ἐν χερσίν.] Δ. Ὡς οὐ δέοι τὴν ἐπ' ὀλίγον καὶ πρὸς καιρὸν ἀπολυχίαν τέλεον ἀπεγνωκέναι, ὑποτιθέμενος· ἀλλὰ τὸ μὲν ἐν χερσὶ χρῆναι κ. τ. λ. φάσκων τὸ Νῦν οὐδὲν ἕτερον εἶναι ἢ ἐπεξήγησιν τοῦ Ἐν χερσὶν, ᾧ καὶ παρατίθησι τὸ ἐν τοῖς ἑξῆς (σελ. 255), Πρὸς τῆς ἐν χερσὶ πανηγύρεως. ΣΕΛ. 230, στ.

23, Καλῶς κατὰ τοῦτο.] Δ. Καλῶς καὶ τοῦτο. ΣΕΛ. 232, στ. 11, Τὰ πλώϊμα δὲ τοῖς ἐμπόροις κ. τ. λ.] Παραβάλλει τῷ ἀνωτέρω (σελ. 203) Μηδέπω τῆς ὥρας εἶναι τὰ πλώϊμα· στ. 15, Ὑμέτερον.] Δ. παραπλησίως. ΣΕΛ. 233, στ. 19, Ἐξένωσας.] Δ. Ἐξέωσας. ΣΕΛ. 235, στ. 12, Ἀσμένῳ γένοιτο.] Γρ. ὡσαύτως. ΣΕΛ. 252, στ. 18, Πρὸς ἐναντίου.] Δ. Προσεναντίους, συνθέτως καὶ κατ᾽ αἰτιατικήν.

Βιβλ. Ζ, σελ. 258, στ. 15, Τῇ ψυχῇ.] Ταύτην ἐγκρίνει τὴν γρ. στ. 18, Ὥσπερ οἱ ἐξ ἐπιλήψεως.] Δ. Ὡσπερεὶ ἐξ ἐπιλήψεως. ΣΕΛ. 260, στ. 13, Τῷ γιγνομένῳ.] Γρ. Τῷ γενομένῳ, παραβάλλων καὶ τῷ ἐν τοῖς ἑξῆς (σελ. 267) ῥηθησομένῳ, Χάριν τε τὴν γενομένην· οὕτω γὰρ ἐν ἀμφοτέροις τοῖς χωρίοις ἀναγνωστέον εἶναι ὑπείληφε κατὰ τὸν ἀόριστον. ΣΕΛ. 268, στ. 10, Καθαρὸν τὸ ἠδόμενον.] Γρ. οὕτω, δίχα τοῦ Εὐθύμημα. στ. 23, Τὸν δὲ παῖδα. . . χρεωστεῖσθαι.] Σημειοῦται (ἐν ταῖς ἐπὶ τέλει τῶν Αἰθιοπικῶν ἀγράφοις σελίσιν) ὅτι καὶ οἱ Λατῖνοι ἐν τοῖς Πανδέκταις ἐμιμήσαντο τὴν φράσιν, εἰπόντες, *Qui debentur* (οἱ χρεωστούμενοι), ἀντὶ τοῦ *Quibus debetur* (οἷς χρεωστεῖται). ΣΕΛ. 270, στ. 23, Παντοίαις κολακείαις. . . ἐπαγομένη.] Ταύτην ἐγκρίνει τὴν γρ. ΣΕΛ. 271, στ. 14, Μήτι γε.] Γρ. παραπλησίως. ΣΕΛ. 272, στ. 7, Ἀπ᾽ οἰκήματος, ἐπὶ μικρῷ.] Οὕτω γράφει, καθαπλόμενος καὶ τοῦ Λ, ὡς κακῶς ἑρμηνεύσαντος τὸ Ἀπ᾽ οἰκήματος. στ. 23, Εὔελπις.] Ταύτην ἐγκρίνει τὴν γρ. ΣΕΛ. 275, στ. 5, Κατηφεῖς δὲ κ. τ. λ.] Σημειοῦται ὡς κατ᾽ ἀντίπτωσιν εἰρημένον, ἀντὶ τοῦ Κατηφῶν δὲ καὶ δεδακρυμένων πλησιασάντων τῶν περὶ τὸν Θεαγένην. στ. 10, Ὃν χαίροντας καὶ εὐφημοῦντας κ. τ. λ.] Σημειοῦται ὡς ἐξ Εὐριπίδου εἰλημμένον. στ. 21, Μήτι γε δὴ ξένων, καὶ εὐτελέστερον τὸ νυνὶ κ. τ. λ.] Γρ. Μή τι γε, καὶ Δ. Εὐτελέστερον τὰ νῦν. ΣΕΛ. 278, στ. 1, Μόνον οὐκ. . . ἀλλὰ καὶ νοῦς.] Γρ. συνθέτως, Μονονοὺκ, καὶ ἐξαλείφει τὸ ἐπαγόμενον ἀλλά. ΣΕΛ. 289, στ. 14, Ἐρασμία τε καὶ εὐόμιλος.] Γρ. παραπλησίως. ΣΕΛ. 290, στ. 18, Οὐχ ἅρπαγμα . . . ἡγεῖται τὸ πρᾶγμα.] Προαιρεῖται τὸ Ποιεῖται τοῦ Ἡγεῖται. ΣΕΛ. 291, στ. 15, Τῶν σῶν πόθων.] Δ. Τῷ σῷ πόθῳ, συνάπτων τῷ Ἐκμεμηνυῖα. τοιαύτην δέ τινα

γραφὴν πρὸ τοῦ Σαλμασίου ἐξέφρασε καὶ ὁ Α, *Estant avecques si grande raison passionnée, et presque forcenée de vostre amour.* στ. 20, Ἐνήθλησεν.] Φέρει τὴν αὐτὴν γρ. ΣΕΛ. 292, στ. 4, Μήτι γε.] Δ. τὸν αὐτὸν τρόπον. ΣΕΛ. 303, στ. 4, Τῶν ἀτόπων τῆς ἐπαγγελίας τὸν σκοπόν.] Ταύτην προαιρεῖται τὴν γρ. πλὴν ὅτι (ἐπιλαθόμενος ἴσως) Σκοπὸν, δίχα τοῦ ἄρθρου γράφει. ΣΕΛ. 304, στ. 22, Ἐμοὶ δέ.] Γρ. παραπλησίως. ΣΕΛ. 305, στ. 18, Εἰ δὲ ἐπιμένοι . . . οὐ χαιρήσει] Γρ. Ἐπιμένοι· τρέπει δὲ τὸ Χαρίσῃ τοῦ Κ εἰς τὸ Χαρίσει. ΣΕΛ. 306, στ. 2, Τὸ μεσημβρινόν.] Ἐξηγεῖται (Ἐν ταῖς πρὸ τῶν Αἰθιοπικῶν ἀγράφοις σελίσι), Κατὰ τὴν μεσημβρίαν, παρατιθέμενος ἐκ Θεοκρίτου (Α, 15) Τὸ μεσαμβρινὸν, καὶ προστιθεὶς ὅτι κατὰ τὸν αὐτὸν τύπον λέγεται, Τὸ πρωϊνὸν, Τὸ δειελινὸν, καὶ δειλινόν. στ. 6, Ἀρχιοινοχόοις.] Γρ. ὡσαύτως. στ. 11, Διότι καὶ κ. τ. λ.] Προαιρεῖται τὸ Διότι γε. ΣΕΛ. 307, στ. 16, Ἄλλην συνοικεῖν ἀντὶ κ. τ. λ.] Παρέλαβε τὸ Ἄλλην μόνον, γράφων, Σοὶ δὲ ἄλλην συνοικεῖν εἶναι ἀντὶ κ. τ. λ. ΣΕΛ. 308, στ. 3, Ἐμοὶ μελήσει ταῦτα κ.τ.λ.] Ἐκ ποιητοῦ τινος μετενηνέχθαι ὑπείληφεν, εἰς ἰαμβεῖον ἐντείνων οὑτωσὶ,

Ἐμοὶ μελήσει ταῦτα κ' ὁρκίοις θεοῖς
Τοῖς παραβαθεῖσι. . . . . . . . . . . . . .

στ. 7, Μήτι γε] Δ. παραπλησίως.

Βιβλ. Η, σελ. 309, στ. 4, Ἐπίμαχον.] Καθάπτεται τοῦ Λ, κακῶς ἑρμηνεύσαντος τὸ Ἐπίμαχον, *Expugnatu facilem*, παρατιθέμενος σαφηνείας ἕνεκα τὸ μετ' ὀλίγα « Ἀμφίβολον Αἰθίοψί τε καὶ Αἰγυπτίοις ». ΣΕΛ. 310, στ. 5, Ἐξήτει μὲν καὶ τὰς Φίλας, ἐξήτει δὲ κ. τ. λ.] Γρ. ὡσαύτως. στ. 21, Πεπεισμένον.] Δ. παραπλησίως. στ. 24, Γεγόνοι.] Γρ. τὸ αὐτό. ΣΕΛ. 311, στ. 9, Παρενείρων.] Ταύτην ἐγκρίνει τὴν γραφήν. ΣΕΛ. 314, στ. 3, Ἐζήτει.] Κἀνταῦθα Ἐξήτει, ὡς μικρῷ πρόσθεν γραπτέον εἶναι διατείνεται. ΣΕΛ. 317, στ. 21, Ἢ οὐ πάντως ἄπιστα λέξων κ.τ.λ.] Δ. Ἢ πάντως εὔπιστα λέξων, δεύτερον, Ἢ οὐ πάντως ἄπιστα λέξων, καὶ τρίτον (μικρᾷ διαστολῇ ἀντὶ τελείας στιγμῆς μετὰ τὸ Λέξων), Ἢ οὐ πάντως εὔπιστα λέξων, ὀφθείη μοι μόνον Ὀροονδάτης.

ΣΕΛ. 318, στ. 6, Καὶ ἅμα ἐννοοῦσα κ. τ. λ.] Προαιρεῖται τὴν ἑτέραν γραφὴν, οὕτω διαστέλλων, Καὶ ἅμα ἐννοοῦσα ὡς οὐκ ἔστι, πῶς γάρ; ἐμαυτῆς ἀπογνοῦσα φείσομαι ἄλλων, ἢ, ... Ἔστι· πῶς γὰρ ἐμαυτῆς ἀπογνοῦσα φείσομαι ἄλλων; ΣΕΛ. 319, στ. 10, Λυπῆσαι.] Προαιρεῖται τὴν ἑτέραν γρ. Λυπηθῆναι. ΣΕΛ. 320, στ. 5, Ἔχοι.] Γρ. οὕτως. ΣΕΛ. 323, στ. 12, Τῆς διακονουμένης.] Γρ. παραπλησίως. στ. 23, Τῷ φθοροποιῷ δεδευμένου.] Δ. Τῶν φθοροποιῷ δεδευμένων. ΣΕΛ. 324, στ. 4, Ἐμπίμπρατο.] Γρ. Ἐπίμπρατο. ΣΕΛ. 333, στ. 9, Καὶ τἀδόκητα.] Δ. Καὶ ἀδόκητα, ἢ Καίτ' ἀδόκητα, ἢ Εἰ κ' ἀδόκητα. γέγραπται δ' οὐ πάνυ τι ἐναργῶς. στ. 18, Ἀρσακείων.] Δ. Ἀρσακίων. ΣΕΛ. 338, στ. 2, Ἐῤῥωμένῃ.] Οὕτω γρ. ΣΕΛ. 341, στ. 17, Τυραννικόν.] Ταὐτὸ γρ. στ. 21, Εἰ περισώσειεν.] Γρ. ὁμοίως. ΣΕΛ. 342, στ. 1, Τῇ Ἀκοῇ.] Γρ. Τὴν ἀκοήν. στ. 8, Τὴν ὁδοιπορίαν.] Φέρει τὴν αὐτὴν γρ. ΣΕΛ. 343, στ. 4, Ὑπὸ νυκτός τε καὶ τόπων ἀπειρίας ὁμοῦ κ. τ. λ.] Δ. Ὑπὸ νυκτός τε καὶ τόπων ἀπειρίας,ποῤῥωτέρω ἢ ὅπου ἦν προσῆκον φθάνειν, τῶν φιλίων ἀποσφαλέντες. ΣΕΛ. 347, στ. 5, Ἐν αἰχμαλώτῳ τύχῃ ὑπὸ τῶν πρὸς ὀλίγον ὕστερον κ. τ. λ.] Προκρίνειν φησὶ τὴν γραφὴν τῶν ΚΑ, καίπερ γράφων, Ἐν αἰχμαλώτῳ τύχῃ πρὸς ὀλίγον ὕστερον ὑπηκόων.

Βιβλ. Θ, σελ. 359, στ. 16, Ὡς οὐδεμιᾶς ὧν φροντίδος.] Γρ. Ὡς οὐδεμιᾶς ὃν φροντίδος. ΣΕΛ. 360, στ. 22, Ταπεινοτέρου πρὸς τῶν ἐργαζομένων ἐπιῤῥαγέντος, ἐπίχυσις.] Γρ. Ταπεινοτέρου πρὸς τῶν ἐργαζομένων ἐπιλαχέντος, ἐπίχυσις. οἴεται δὲ τὸ Ἐπιλαχέντος εἶναι παρὰ τὸ Ἐπιλαχαίνω. ΣΕΛ. 361, στ. 13, Ἄχρι δὴ τὸ φῶς.] Ταύτην ἐγκρίνει τὴν γρ. ΣΕΛ. 362, στ. 1, Ἐξικμάσθαι.] Γρ. ταὐτό. στ. 3, Ἐνεδρεῦον.] Δ. Ἐνέδρευεν, ἢ Ἐνήδρευεν. Στ. 20, Ἄρδοντα, καὶ... ἐπομβρίζοντα.] Προαιρεῖται τὸ τοῦ Κ, Ἄρδοντος, καὶ... ἐπομβρίζοντος, ὡς γενικὴν ἀπόλυτον ΣΕΛ. 363, στ. 1, Συναναφαίνεσθαι.] Ἴσως φησὶ διορθωτέον, Συναφαυαίνεσθαι. στ. 6, Ἀπόντα.] Προκρίνει τὴν γρ. Ἀπαντῶσα. στ. 17, Τῶν κατὰ Συήνην ἑξῆς Περαινομένων.] Δ. Τὸ κατὰ Συήνην ἑξῆς περαίνωμεν. ΣΕΛ. 365, στ. 10, Ἐγχειρίζειν.] Γρ. ὁμοίως. ΣΕΛ.

366, στ. 2, Κλαυθμυριζόμενα ἐπαγωγόν.] Γρ. ὡσαύτως. στ. 12, Ἀφυπνωμένους.] Τὴν αὐτὴν φέρει γρ. στ. 19, Πρὸς τὸ μᾶλλον καταιδέσαι.] Γρ. παραπλησίως. ΣΕΛ. 367, στ. 6, Αὐτός.] Οὕτω γρ. ΣΕΛ. 369, στ. 1, Ὁρμωμένους.] Προκρίνει τὴν ἑτέραν γρ. Ὡρμημένους. ΣΕΛ. 370, στ. 17, Ὡς ὁπλίζειν.] Ταυτὸ τοῦτο γρ. ΣΕΛ. 372, στ, 12, Τῶν μεταξύ.] Δ. Τῷ μεταξύ. ΣΕΛ. 377. στ. 21, Πρὸς ἐναντίου σφίσιν ἦν.] Δ. ὡσαύτως. ΣΕΛ.385, στ. 5, Ὑφιστάμενοι.] Γρ. ὁμοίως. ΣΕΛ. 386, στ. 4, Ἱλήκοιτε.] Γρ, ὡσαύτως. ΣΕΛ, 388, στ. 22, Χρημάτων ἐν ἀνθρώποις.] Δ. Χρῆμα τῶν ἐν ἀνθρώποις.

Βιβλ. I, σελ. 390, στ. 9, Παραποταμίας.] Γρ. τὸ αὐτό. ΣΕΛ. 395, στ, 17, Δένδρα παραλλάττοντα ἢ κατ' ἄλλας.] Τὴν αὐτὴν φέρει γρ. ΣΕΛ. 401, στ. 5, Ὦ φιλτάτη, τί οὐχί.] Γρ. ἀπαραλλάκτως. στ. 20, Τῷ τε κάλλει, τότε πλέον.] Γρ. ὡσαύτως. ΣΕΛ. 402, στ. 13, Σὺν πολλῷ.] Ἐξηγεῖται τὸ Σὺν πολλῷ *Cum magno pretio, magna mercede*, ὅ ἐστιν Ἐπὶ μεγάλῳ μισθῷ, ἐῤῥῶσθαι δηλονότι τὸ χωρίον ὑπολαμβάνων. ΣΕΛ. 403, στ. 18, Μετάστασιν.] Τὴν αὐτὴν ἔχει γρ. ΣΕΛ. 406, στ. 11, Οἷ περιέστη.] Τοῦτο ἐγκρίνει. ΣΕΛ. 425, στ. 4, Κασσίας.] Τῷ Κάδας τοῦ Κ τοῦτο μόνον προσγράφει ὅτι, «Ἐν ἀρχαίοις Λεξικοῖς, » Ἔλαιον Κάδας (ἢ Κάδης) ἑρμηνεύεται, Ἔλαιον Ὀξυκέ» δρου». ἔστι δὲ τὸ ἀρχαῖον Λεξικὸν, οὗ μνημονεύει ἐνταῦθα, τὸ αὐτὸ καὶ ὅπερ Ἀραβικολατινικὸν Λεξικὸν ἀλλαχοῦ (Περὶ Ὁμων. Ὕλ. Ἰατρ. σελ. 169-171) καλεῖ ὁ αὐτὸς Σαλμάσιος. οἴεται δ' ἐκεῖ τὸ ἐκ Κάδης (τουτέστι Ληκύθου) ἔλαιον ταὐτὸν εἶναι τῷ ἄλλως Βισσελαίῳ ἢ Βησσελαίῳ καλουμένῳ, παρὰ τὴν Βῆσσαν ἢ τὸ Βήσσιον, εἶδος ὂν καὶ αὐτὸ ἀγγείου ληκύθῳ παραπλήσιον. καὶ ταῦτα μὲν ὁ Σαλμάσιος· ἔστι δὲ πάμπαν ἀλλότριον τοῦ προκειμένου παρ' Ἡλιοδώρῳ χωρίου τοῦτο, ὁποῖον ἂν εἴη δήποτε, τὸ τῆς Κάδης ἔλαιον. ΣΕΛ. 446, στ. 22, Ἐμισηνός.] Δ. ὡσαύτως.

## ΤΩΝ ΗΜΑΡΤΗΜΕΝΩΝ ΔΙΟΡΘΩΣΙΣ.

Σελίδι 7, σίχῳ 32, Φυλάτειν, Γράφε, Φυλάττειν.

στ. 36, Αὐτοκτονῶ, γρ. Αὐτοκτονῶ. — Στ. 14, Ἀληθῶν ἐπειρῶντο.] Οὕτως αἱ ΚΑ καὶ ΑΑ· οἱ δὲ λοιποὶ, ὡς ὁ Κ καὶ ἡ Β.

Σελ. 11, στ. 18, Φατνιτικῷ, γρ. Φατνικῷ.

Σελ. 29, στ. 34, Ἐρινύες, γρ. Ἐριννύες.

Σελ. 47, στ. 3, Ἐννκὸν, γρ. Ἐνικόν.

Σελ. 62, στ. 28, « Εὐαγγελίζομαί σε, γρ. Εὐαγγελίζομαί σε.

Σελ. 78, στ. 32, Μετὰ σκυλμοῦ, ἥσθιον, γρ. Μετὰ σκυλμοῦ ἥσθιον.

Σελ. 83, στ. 34, Κένταωνά, γρ. Κέντρωνά.

Σελ. 105, στ. 30, Σκύλης, γρ. Σκύλλης.

Σελ. 110, στ. 35, Οὐκ ἀπεικότως, γρ. Οὐκ ἂν ἀπεικότως.

Σελ. 113, στ. 3, Σελ. 108, γρ. Σελ. 108, στ. 2.

Σελ. 125, στ. 20, Ἄρχηται, γρ. Ἄρχεται.

Σελ. 141, στ. 24, (σελ. 178), γρ. (σελ. 268).

Σελ. 152, στ. 36, Θυλυκῶς, γρ. Θηλυκῶς.

Σελ. 162, στ. 14, Ἔοικε δὲ, γρ. Εἰκὸς δέ.

Σελ. 165, στ. 9, Κάκεὶ, γρ. Κἀκεῖ.

Σελ. 177, στ. 1, Χααριστήρια, γρ. Χαριστήρια.

Σελ. 234, στ. 21, Σελ. 173, γρ. Σελ. 273.

Σελ. 257, στ. 28, Γράφαν, γρ. γράφειν.

Σελ. 269, στ. 31, Κετήμεθα, γρ. Κεκτήμεθα.

Σελ. 275, στ. 26, Ἐναντίως τῇ χρήσει κ. τ. λ. μέχρι τοῦ Ἐφρούρουν, γρ. Μεταφορικῶς τεθειμένον, ἀντὶ τοῦ, Ὡς τεῖχος τὴν λόχμην κατὰ τῶν ἐναντίων προὐβάλλοντο.

Σελ. 291, στ. 19, Συνερχομένους εἰς ἓν, καὶ παρ' ἀλλήλους ἰόντας, γρ. Εἰς ἓν συνερχόμενοι, καὶ παρ' ἀλλήλους ἰόντες.

Σελ. 297, στ. 27, Ἐκ τῶν ΚΑ καὶ ΑΑ, γρ. Ἐκ τῶν ΚΑ (ἐν αἷς καὶ, Ὡρμημένους) καὶ ΑΑ.

Σελ. 309, στ. 6, Καταφρακτῶν, γρ. Καταφράκτων.

Σελ. 331, στ. 21, Σωφρονύνην, γρ. Σωφροσύνην.

Σελ. 358, στ. 34, Δενδροτυπεῖς, γρ. ἴσως (ὥς τινες διορθοῦνται) Κεντροτυπεῖς.

Σελ. 359, στ. 4, Ταυριλάτην, γρ. Ταυρελάτην.

# ΠΙΝΑΞ

## ΤΩΝ ΕΝ ΤΑΙΣ ΣΗΜΕΙΩΣΕΣΙΝ ΗΡΜΗΝΕΥΜΕΝΩΝ, Η ὉΠΩΣΟΥΝ ΗΡΕΥΝΗΜΕΝΩΝ ΛΕΞΕΩΝ.

*Σημείωσαι ὅτι αἱ λέξεις ὧν ἀστερίσκος πρόκειται, ἢ οὔπω κατεχωρίσθησαν ἐν τοῖς λεξικοῖς, ἢ οὐκ ἐπὶ τῆς αὐτῆς σημασίας.*



Ἀγαθός. Ὦ ᾽γαθὲ, 122. Σὺν τῷ σῷ ἀγαθῷ, 322. Ζήτει καὶ, Θυμόν.
Ἀγορασία, 316.
* Ἄγκα ἢ Ἄγκη, 113, 372.
Ἀγκύλη, 113.
Ἀγκὼν, 113.
Ἀγῶνες Ἑλλάδος, 139.
Ἀγωνισμάτων ἀριθμὸς καὶ τάξις, 135.
ΑΔΗΝ (εἰς) λήγοντα ἐπιῤῥήματα, 302.
Ἀδιάχυτος, 235.
Ἀδολεσχῶ, 97.
Ἀδώνια, 180.
Ἀερονομέω, 360.
Ἀετὸς, σημαίνει Α Ἔτος, 158.
Ἀεὶ καὶ μᾶλλον, ἢ Ἀεὶ καὶ πλέον, 263.
Ἀθηναία, ἀντὶ τοῦ Ἀττικὴ, 60.
Ἀθηναίη, ὄνομα κύριον, 34.
ΑΙΑ, ἢ ΑΙΗ (εἰς) ὀνόματα ἀπὸ τῶν εἰς Η, 34.
Αἰβάνη, 48.



Αἴγυπτος, 98, 314, 371.
Αἰθάλη, 349.
Αἰθίοπες διττοὶ, 286.
Αἰκία διαφέρει τοῦ Ὕβρις, 25.
Αἴλινος, 168.
Αἷμα ἀποπτύειν, 69.
Αἵματι κλάιειν, ἢ δακρύειν, 151, 152.
Αἰνιὰν ἢ Αἰνιεὺς, 107, 109.
ΑΙΝΩ (εἰς) ῥήματα, 342.
Αἰόλα χορεία, 345.
Αἰόλος ὄφις, 344.
Αἱ περὶ τὴν, 14.
Αἴρομαι. Ζ. Τέλος.
Αἰσθάνομαι, μετὰ μετοχῆς, 118.
Αἰτιατικαὶ εἰς α συνῃρημένον ἐκ τοῦ εα, 198.
Αἰτιατικαὶ εἰς η ἢ ην, 213.
Αἰτιατικῇ ἀντὶ δοτικῆς χαίρουσιν οἱ Ἀττικοὶ, 56.
Αἰτιατικὴ πληθυντικὴ τῶν εἰς ευς, 229.
Αἰτιατικὴν (εἰς) ἀπὸ δοτικῆς μετάβασις, 157, 250.
Αἷψα, 96.

Ἀκέομαι, 143.
Ἀκεσίας, ὄν. κύρ. 143.
Ἀκεστὴς, 143.
Ἀκεστῖνος, ὄν. κύρ. 143.
Ἀκκίζομαι, 64.
Ἀκκισμὸς, 204.
Ἄκολος, 77.
Ἀκουμενὸς, ὄν. κύρ. 143.
Ἄκρατον ὕδωρ, 87.
Ἀκριβὲς (τὸ) τοῦ ἔαρος, 185.
Ἄκριες, 1.
Ἀκροθάλυπτον, 79.
* Ἀκρότητος γῆ, 288.
Ἀκρώρεια, 1.
Ἀλαλαγμὸς, 121.
Ἀλαλάζω, 121.
Ἀλαλητὸς, 121.
Ἀλεεινὸς, 2.
Ἀλεκτρυὼν φίλος Ἄρεως, 37.
ΑΛΕΟΣ καὶ ΑΛΙΟΣ (εἰς) ὀνόματα, 347.
Ἅλες θεῖοι, ἢ ἱεροὶ, 160, 199.
ΑΛΙΟΣ. Ζ. ΑΛΕΟΣ.
Ἀλλά. Ζ. Μᾶλλον.
Ἀλληγορικοί. Ζ. Ὄνειροι.
Ἄλλῃ πῃ, 71.
Ἀλλόκοτος, 146, 147.
Ἄλλως, 179, 180 — προηγεῖται τῶν συγκριτικῶν, ἢ τῶν ὑπερθετικῶν, 331.
Ἀλύω, 145.
Ἀμάω, 80.
Ἀμέθυσος, 178.
Ἀμετάκλητος, 64.
Ἅμμα, 359, 360, 363.
Ἀμφὶ (οἱ) τὸν, ἢ τὴν, 14.
Ἀμφιθαλὴς, 40.
Ἂν μετὰ μέλλοντος ὁριστικοῦ, 62.
Ἀναγκαίη, 34.
Ἀναγκαῖος (ἡ), 214.
Ἀνάγκην (πρὸς). Ζ. Πρός.
Ἀνάγραπτος, 148.
Ἀνακόλουθοι συντάξεις, 2, 96, 107, 176, 178, 183.
Ἀνακωκύω. Ζ. Λίγειον.
Ἀναλύω, 90.
Ἀναμετρέομαι, 39.
Ἀναπείθω, 3.
Ἀναπλήθω, 123.
Ἀναπνέω, 272.
Ἀνασπαστὸς πύλη, 290.
* Ἀναφαίνω, 187, 188.
* Ἀναφέρω ἀντὶ τοῦ Ἀναμιμνήσκομαι, 334.
Ἀναφέρω ἔις τινα, 109.
Ἀνειλέω, 336.
Ἀνεμιαῖον, Ἀνεμίδιον, Ἀνέμιον, 124.
Ἄνεμος ἐξώστης, 42. Ζ. καὶ Πίπτει.
Ἀνεμόω. τὸ ὄμμα ἠνεμωμένος, 125.
Ἀνερέπτω, 306.
Ἀνευρίσκω διαφ. τοῦ Εὑρίσκω, 16, 166, 200.
Ἀνέχομαι διαφ. τοῦ Ἀντέχομαι, 169.
Ἄνθρωπος. Τὸ ἐξ ἀνθρώπων κάλλος, Τὰ ἐξ ἀνθρώπων χρήματα, Αἱ ἐξ ἀνθρώπων πληγαὶ, Ἡ ἐξ ἀν-

θρώπων εὐδαιμονία, ἢ ἀσφάλεια, 54.
Ἀνθυπηρετέω, ἢ Ἀνθυπουργέω, 237.
Ἀνιμάω, 190.
Ἀντέχομαι. Ζ. Ἀνέχομαι.
Ἀντίθεος, 148.
Ἀντικρὺ διαφ. τοῦ Ἄντικρυς, 315.
Ἀντίπλωσις, 2, 96, 107, 176, 178, 183.
Ἄντρον. Ζ. Τροφωνίου.
ΑΝΩ (εἰς) ῥήματα, 341.
Ἄνω (ἡ) βουλὴ, 17.
Ἀξία. Ζ. Πράττω.
Ἀξίωσις ὀνομάτων, 259, 260.
Ἄξουμις, ὄν. κύρ. 354.
Ἀξουμίτης, 354.
Ἄορ (ἡ καὶ τὸ), 77.
Ἀορίστων σύγχυσις καὶ ἐνεστώτων, 20, 39, 47, 51, 52, 78, 172, 360 — καὶ Μελλόντων, 13, 44, 360 — καὶ Παρατατικῶν, 50, 52, 362.
Ἀορίστων τοῦ Βάλλω καὶ λαμβάνω σύγχυσις, 53.
Ἀορτεὺς, 317.
Ἀπαίρω, 188.
Ἀπαλγῶ, 173.
Ἀπαράσσω, 35.
★ Ἀπαράχυτον ὕδωρ, 181.
Ἀπαρεμφάτων σύνταξις ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν, 157, 250. — σύνταξις ἐλλειπτικὴ, 133, 134, 142, 185, 234, 241, 313.
★ Ἀπατῶμαι, 30, 51, 130, 268.
Ἀπαυθαδιάζομαι, 250.
Ἀπείρατος, 57.
Ἀπὸ προθέσεως σύγχυσις μετὰ τῆς Ἐπὶ, 9, 16, 133, 159, 160, 165, 205, καὶ ἀλλαχοῦ. — μετὰ τῆς Πρὸ, 4 — μετὰ τῆς Ὑπὸ, 18, 56, 174, 252, καὶ ἀλλαχοῦ.
Ἄπο, 337.
Ἀποβαίνω διαφ. τοῦ Ὑποβαίνω, 56.
Ἀποθύειν διαφ. τοῦ Ἐπιθύειν, 133, 134 — ὕμνον, 134.
Ἀποκναίω, 139.
Ἀπόκροτος γῆ, 288.
Ἀπολογίζομαι, 39.
Ἀποπλέω, 185.
Ἀποπλύειν αἷμα, 69 — ὄνθον, Αὐτ.
Ἀποργέστερον, 147.
Ἀποσιμόω, 113.
Ἀποσυλάω. Ζ. Συλάω.
Ἀποσφενδονάω καὶ Ἐκσφενδονάω, 55, 285.
Ἀποφαίνω, 18.
Ἀποφέρομαι διαφ. τοῦ Ἐπιφέρομαι, 9.
Ἀποχειροτονία, 167.
Ἀπρόσμαχος τῇ θέᾳ στρατὸς, 279.

Ἀπρόσφυλος, 151.
Ἆρα, 323.
Ἄραβος, 170.
Ἀραγμὸς, 171.
Ἄραδος, 170.
Ἀράσσω. Ζ. Ῥάσσω.
Ἀράχνη (ἡ) καὶ Ἀράχνης (ὁ), 351.
Ἀράχνιον, 351.
Ἀραχνιόω, 351.
Ἄρδην (εἰς), 281.
Ἄρθρου προτακτικοῦ χρῆσις, 12, 73, 101, 244, 246.
— ὑπερβιβασμὸς, 259.
— τοῦ λεγομένου ὑποτακτικοῦ ὑπερβιβασμὸς, 16.
* Ἀριστόβιος, 369.
Ἅρπαγμα ἡγοῦμαι, ἢ ποιοῦμαι, 244.
Ἀρσάκη (ἡ), καὶ Ἀρσάκης (ὁ), ὄν. κύρ. 223.
Ἀρσακίδαι, 223.
Ἀρσάμη (ἡ), καὶ Ἀρσάμης (ὁ), ὄν. κύρ. 223.
Ἀρσενικῶν ἀντὶ θηλυκῶν χρῆσις, 14.
Ἀρσενικῶν καταλήξεις ἐν ὀνόμασι θηλυκοῖς, 58, 214.
Ἀρχέκακος, 17.
Ἀρχιοινοχόος, 253.
Ἀσασόβας, ὄν. κύρ. 326.
* Ἀσεβοῦμαι, 192.
Ἀσμένῳ, ἢ βουλομένῳ μοι γίγνεταί τι, ἢ ἔστι, 100, 210.
Ἀσπάζομαι, 175.
Ἀσσύριοι καὶ Σύροι, 162.
Ἀσταβόῤῥας, ὄν. κύρ. 326.
Ἀστάθμητος, ἢ Ἄστατος, 153.
Ἀστεῖος, 98.
Ἀστράπτει καὶ Στράπτει, 296, 297.
Ἄστρασι (τοῖς), 132.
Ἀσυνδέτου σχήματος δύναμις, 15, 56.
Ἀσφάλειος, Ἀσφάλιος καὶ Ἀσφαλίων, 207.
Ἅτερος, 215.
Ἀττική. Ζ. Ἀθηναία.
Ἀττικῆς δῆμοι, 24.
Ἀττικῶν ἤθη, 112, 353.
Αὐαίνω, 22.
Αὔξωμις. Ζ. Ἄξουμις.
Αὗος, 22, 168.
Αὔη καὶ ξηρὰ, 22.
Αὔρα, 99.
Αὗρος καὶ Σαῦρος, 345.
Αὗς, (τὸ) 345.
Αὐτάγγελλος, 64.
Αὐτὸ δείξει, σημανεῖ, ἢ δηλώσει, 334.
* Αὐτοκτονῶ, 7.
Αὐτοσταδία ἢ Αὐτοσχεδία μάχη, 195.
Αὐχμηρὸς, 8, 10, 369.
Αὔω ταὐτὸν τῷ Κάυω, ἢ Κάω, 23.
Ἀφετηρία, 56.
Ἀφηγοῦμαι, 252.
Ἀφίημι, ἢ Ἵημι γλῶσσαν,

ἢ φωνὴν, 368.
Ἀφιππάζομαι, καὶ Ἀφιππεύομαι, 164.
Ἀφοσιοῦμαι, 75.
Ἀφυπνίζω, καὶ Ἀφυπνέω, 187.
Ἀφυπνόομαι, καὶ Ἀφυπνόω, 295.
Ἀχαιμένης, ὄν. κύρ. 239.
Ἀχαιμενίδαι, 239.
Ἀχλύμενος, 70.
Ἀχλὺς, 70.
Ἀχνὺς, 70.

B

B συγκέχυται πολλάκις τῷ K, 64.
Βαγώας ὄν. κύρ. ἢ προσηγ. 258.
Βαλβὶς, 54.
Βάραθρον, 26.
Βάραθρον (τὸ), καὶ Βάραθρος (ὁ), 174.
Βαρβάρων ὀνομάτων δύναμις γοητικὴ, 219.
Βαρυμηνιάω, 30.
Βαρύμηνις, 30, 370.
Βασίλειος αὐλὴ, 257, 278.
Βασιλέως ὀφθαλμοὶ καὶ ὦτα, 278.
Βασιλίσκος, 124.
Βάσιν (τὴν) φέρειν, 295.
Βάξις, 295.
Βάρος, 206.
Βέλος κωφὸν, 153.
Βέλτιον. Ζ. Πράττω.
Βήσα, ὄν. κύρ. 203.
Βησαντινόεια, ὄν κύρ. 203.
Βησαντίνοος, 203.
Βῆσσα, 203, 383.
Βησσαεὺς, 203.
Βησσέλαιον, ἢ Κάδης ἔλαιον. 383.
Βησσίον, 203, 383.
Βισσέλαιον. Ζ. Βησσέλαιον.
Βλέμμα. Ζ. Διαῤῥίπτω.
Βομβὼν, 222.
* Βομβωνιάω, 222.
Βότρυς (ὁ), 10.
* Βότρυον (τὸ), 10.
Βουβὼν, 222.
Βουβωνιάω, 222.
Βουκόλια, 11.
Βουκολικὸν στόμα τοῦ Νείλου, 11.
Βουκόλοι λησταὶ, 11.
Βουλὴ (ἡ ἄνω), 17.
Βουλομένῳ μοι γίγνεταί τι, 100, 210.
Βουλυτὸς, 79, 188.
Βράζω, 181.
Βραχύστομος, 276.
Βρυάζω, 181.
Βρύχιον, 212.
Βυσσοδομένω, 236.

Γ

Γ προτίθεται ἐν ἀρχῇ πολλῶν λέξεων, 175.
Γάμος ἐπ' ἀρότῳ παίδων, ἢ ἐπὶ παισὶ, 45.
Γὰρ (σύνδεσμος) ἕπεται ταῖς λεξεσιν, Αἴτιον, Σημεῖον, Τεκμήριον, 206.

Γεγραμμένη εἰκὼν, 228.
Γεγραμμένοις παραπλήσιος, 228.
Γελάω. Z. Σαίρω.
Γεννάδας, 350.
Γενάρχης, ἢ Γενεάρχης, 149.
Γενέτης, 110.
Γεννῆται, 24.
Γένος, 24.
Γῆ ἀκρότητος, Ἀπόκροτος, Ἐπίκροτος, 288.
Γίγνομαι ἐν ἐπισκέψει, 204. Z. καὶ Ὅλος.
Γίγνεταί τί μοι ἀσμένῳ, ἢ βουλομένῳ, 100, 210.
Γιγνόμενον (τὸ), 225, 229.
Γλαμάω, 175.
Γλάμπλω, 175.
Γλυκεῖαι. ἐπίθετον Ἐριννύων, 225.
Γλῶσσα. Z. Ἀφίημι.
Γνόφος, 175.
Γνόω, 175.
Γνωμη. Z. Ὀρθοῦμαι.
Γόος, 36, 37.
Γράμμα, ἢ Γράμματα, 322.
Γράμματα (μήτε νεῖν, μήτε), 24.
Γράμματα βασιλικὰ, Δημοτικὰ, ἢ δημώδη, Ἱερὰ, Ἱερατικὰ, ἢ Ἱερογλυφικὰ, 148.
Γράμματεῖον Ληξιαρχικὸν, 18. — κοινὸν, ἢ φρατορικὸν, 24.
Γραμματεὺς, 26.
Γραμματιστὴς, 26.
Γραφὴ, 283, 322, 325.
Γρονθονέυομαι, 21.
Γρύπες (οἱ), 353.
Γυναικὶ χρῆσθαι, 31.

Δ

Δαβελὸς, Δαελὸς, Δαλὸς, Δαυλὸς, 195.
Δαὶ ἀντὶ τοῦ Δὲ, ἐν ταῖς ἐρωτήσεσι, 361.
Δαίμονα (καὶ πρὸς) μάχεσθαι, 165.
Δαιμονάω καὶ Δαιμονιάω, 146.
Δάκρυα. Z. Ὑγρά, καί Ὠδῖνες.
Δακρύειν αἵματι, 151, 152.
Δάκτυλος. Z. Ἐποχέω.
Δάπις καὶ Τάπης, 242.
Δέ. πότε οὐκ ἀνταποδίδοται τῷ Μέν. 63. πότε ἐφέλκεται τὸν Καί, 137.
Δεινός. Z. Ἐμβαίνω.
Δένδρεσι (τοῖς), 132.
Δευτερεύω, 327.
Δεύτερος, ἢ ὕστερος λόγος, 254. — πλοῦς, 31, 245.
Δέος μὴ, 125.
Δέω. Z. Μικροῦ.
Δημία, 118.
Δημιάδες πύλαι, 118.
Δημιουργὸς, 118.
Δῆμοι Ἀττικῆς, 24.
Δημότης, 24.
Δημώδης γυνὴ, 118.
Διαβατήριος, 161, 322.

Διαβεβηκότα, ἢ Συμβεβηκότα σκέλη, 127.
Διαβεβρεγμένος. Ζ. Ὑποβεβρεγμένος.
Διαγράφω, 92.
Διαδράσομαι, 330.
Διάδυσις, 213.
Διάθεσις, 112.
* Διαίτημα, 94.
Διακριβόω, 228.
Διαλύω, 197.
Διαμάω, 58.
Διανίστημι τὸ φρόνημα, 156.
Διαπείρω, 306.
Διαπερονάω, 306.
* Διαῤῥαπίζω, 228, 265.
Διαῤῥίπτω τὸ βλέμμα, ἢ τὰς ὄψεις, 145.
Διασμάω, 58.
Διατίθεμαι, 112. — τὴν σχολὴν, 101.
Διαφόρησις, 235.
Διαφορέω, 235.
Διαχειρίζομαι διαφ. τοῦ Διαχράομαι, 22, 250.
Διαχράομαι. Ζ. Διαχειρίζομαι.
Διάχυσις, 235, 239.
Δίγλωσσος, 277.
Δίδωμι, 176.
Διολισθαίνω. Ζ. Ὀλισθέω.
Δολιχὸς, 82.
Δοτική. Ζ. Αἰτιατικήν.
Δουπέω, 130.
Δράω. Ζ. Ἐργάζομαι.
Δυναμηροὶ θεοὶ, 148.
Δύναμις, 147 — ἐνοικεῖ, 270.
* Δυστυχοῦμαι, 192.

Ε

Ἓ, αἰτιατικὴ τῆς Ἀντωνυμίας Ὅς, 377.
Ἔαρ. Ζ. Πρωῒ, καὶ Πρῶτον.
Ἑαυτοῦ, ἐπὶ τριῶν προσώπων, 45, 64, 103, 254.
Ἑαυτοὺς, ἀντὶ τοῦ Ἀλλήλους, 7, 66.
Ἐγγράφω. Ζ. Φράτωρ.
Ἐγκέφαλος. Ζ. Σείεσθαι.
Εἰ (σύνταξις τοῦ) συνδέσμου, 21, 27, 31. Ζ. καὶ Κἄν.
Εἰ, εὐκτικὸν ἐπίῤῥημα, 32.
Εἰ γὰρ, 161, 234.
Εἴδωλα. Ζ. Νερτέρια.
Εἰκών. Ζ. Γεγραμμένη.
Εἶμι, καὶ τὰ σύνθετα, καὶ τὰ συνώνυμα, ἐπὶ μέλλοντος, 75.
Εἰμί. Ζ. Ὅλος.
* Εἴποτε, εὐκτικόν, 71.
Εἰς Ἡμέτερον, 199, 200.
Εἰσαγγελεὺς, 348.
Εἰσαγωγεὺς, 348.
Εἷς οὐδεὶς, 52.
Εἰσέῤῥω, 226.
Εἰσφρέω, 226.
Εἶτα. Ζ. Τοῦτο μέν.
Ἐκβαίνω, 40.
Ἐκβάσιος, 161.
Ἐκθνήσκω, 171, 199, 229.
Ἐκκόπτειν. Ζ. Ἐξαιρεῖν.
Ἐκλαγχάνω, 342.

'Εκμανθάνω, 171.
'Εκνικῶμαι, 214.
'Εκ νώτων, 302.
'Εκπερίειμι, 243.
'Εκπλήσσω, 361.
'Εκσφενδονάω. Ζ. 'Αποσφενδονάω.
'Εκτάτlομαι, 195.
'Εκτικὸν, 208.
'Εκτιμάω, 318.
'Εκτόπως, 168.
'Εκφαντος, 291.
'Εκφορέω, 281.
'Εκφυλος, 151.
'Ελαιον. Ζ. Βησσέλαιον.
'Ελεαρχία, 11.
'Ελεινὸς, ἢ 'Ελεὸς, 169.
'Ελελίζω, 121.
'Ελέου καδίσκος, 26.
'Ελικτά. Ζ. Πέριξ.
'Ελυτρον, 316.
'Εμϐαίνω ἐν τοῖς δεινοῖς, 191.
'Εμϐάσιος, 161.
'Εμϐατήριος θυσία, 161.
'Εμϐατήριοι ῥυθμοὶ, 180.
'Εμϐολὴ, 357.
'Εμϐολος, 95.
'Εμισα (ἡ), ὄν. κύρ. 369.
'Εμποιῶ τι τινὶ, 135.
'Εμφαγεῖν διαφ. τοῦ 'Εντραγεῖν, 87.
'Εμψυχόω, 126.
'Εναγώνιος, 362.
'Ενάλλομαι. Ζ. Λάξ.
'Εναλύω, 81.
'Ενάπlομαι, ἢ 'Εξάπlομαί τι, 3.
'Εναν θρωπέω, 103.
'Εναράτlω, 360.
'Ενδιάιτημα, 94.
'Εν ἐμαυτοῦ, 200 — ἡμετέρῳ, 199.
'Ενεστῶτες ἀντὶ Μελλόντων, 112
'Ενεστώτων. Ζ. 'Αορίστων.
'Ενεόω, ἄχρηστον, 58.
'Ενηδρευμένα, 343.
'Ενθα δὴ, 62.
* 'Ενθετlαλίζομαι, 18.
'Ενθορεῖν. Ζ. Λάξ.
'Ενιῆνες, 107.
'Ενικὰ ῥήματα πολλοῖς ὀνόμασιν ἐπαγόμενα, 70.
'Ενοικέω. Ζ. Δύναμις.
'Ενόπλια μέλη, 180.
'Εντεῦθεν, 239.
'Εντραγεῖν. Ζ. 'Εμφαγεῖν.
'Ενυάλιος κέλαδος, 163.
'Ενυάλιον (τὸ). 163.
'Ενυϐρίζω, 241.
'Εξαιρεῖν, 'Εξορύτlειν, ἢ 'Εκκόπlειν ὀφθαλμοὺς, 71.
'Εξ ἀνθρώπων. Ζ. 'Ανθρωπος.
'Εξάπτομαι. Ζ. 'Ενάπτομαι.
'Εξετάζομαι, 62, 377.
'Εξόδιον, 367.
'Εξορύτlειν. Ζ. 'Εξαιρεῖν.
'Εξώστης ἄνεμος, 42.
'Επαγγελίᾳ (ἐν) θυμοῦ, 110, 372.
'Επαγγέλλομαι (σύνταξις τοῦ), 48, 49.

Ἐπαγγέλλομαι ἢ Ἐπαγγέλλω, 87, 354.
Ἐπαγωγὸν, 294.
Ἐπαοιδὴ, 310.
Ἐπαμάω, 80.
Ἔπειτα. Ζ. Μάλιστα, Μὲν, καὶ Πρῶτον μέν.
Ἐπέχω, 164.
Ἔπη κωφὰ, 152.
Ἐπὶ, συγκέχυται μετὰ τῆς Ὑπὸ, 6, 61, 164, 167, 224, 225, 287, 367 — σημαίνει ἐπίτασιν, 61.
Ἐπιβαίνω, 6.
Ἐπιβάλλω, ἢ Ἐπιβουλεύω φυγὴν, 224.
Ἐπιβρίζω, 91, 371.
Ἐπιγελάω, 287.
Ἐπιγουνὶς, 186.
Ἐπιδακρύω τῷ νῷ, 164.
Ἐπιδουπέω, 164.
Ἐπίδοξος, 136, 346, 363, 366.
Ἐπίθετα κοινὰ τῷ γένει, 58, 214.
Ἐπιθύω. Ζ. Ἀποθύω.
Ἐπικουρείων κῆπος καὶ μνῆμα, 33.
Ἐπίκροτος γῆ, 288.
Ἐπίλημψις, Ἐπιληψία, Ἐπίληψις, 225.
* Ἐπίμαχος, 374, 381.
Ἐπιμέλομαι καὶ Μεταμέλομαι, οὐκ Ἐπιμελοῦμαι καὶ Μεταμελοῦμαι, 28, 189.
Ἐπιμέλεια διαφ. τοῦ Τημέλεια, 190.
Ἐπίπαν, ἢ Ὡς ἐπίπαν, 65.
Ἐπιπολάζω, 349.
Ἐπιῤῥακτή. Ζ. Θύρα.
Ἐπίῤῥητος, 174.
Ἐπίσκεψις. Ζ. Γίγνομαι.
Ἐπίσκοπον μέλος, 251.
Ἐπιστρέφομαι, 262.
Ἐπιτειχίζω, 275.
Ἐπιτρέχω, 6, 349.
Ἐπιφέρομαι. Ζ. Ἀποφέρομαι.
Ἐπίφορος, 205.
Ἐπιχαίρω, 220.
Ἐπιχειρῶ, 220.
Ἐπίχρυσος, 61, 224, 225.
Ἐποχέω ἄκροις δακτύλοις, 252, 253.
Ἐπῳδὴ, 311.
Ἐργάζομαι (τοῦ), Δρῶ, Ποιῶ, καὶ τῶν ὁμοίων σύνταξις, 56.
Ἐργαστίναι, 18.
Ἐρεικτὰ, 12.
Ἐρείκω, 12.
Ἐρείπω, 283.
Ἐρειπόω, Ἐριπόω, 286.
Ἐριθεύω, 12.
Ἐριννύες, 29.
Ἑρμαῖ, ἢ Ἕρμακες, 172.
Ἑρμῆς, πόσεως εἶδος, 120, 373.
Ἑρμοῦ ὄνομα καὶ Ἐπωνύμια, 177, 206, 207, 362, 373.
Ἔρνος, 106.

Ἕρπω, 12, 344.
Ἐῤῥάσσω, 22, 360.
Ἔρχομαι. Ζ. Εἶμι.
Ἐσθίειν ἑαυτὸν, 29.
★ Ἐστερεωμένη, 294.
★ Ἕστιος, Ἑστία, 165.
Ἐσχατιὰ, 28.
Ἔτος (τὰ παρὰ τὸ) σύνθετα, 102, 103, 335.
Εὖ, καλῶς, ὀρθῶς, ἢ κακῶς ποιῶν, 59, 60, 253.
Εὐαγγελίζομαι, 62, 63, 377.
Εὐδαιμόνημα, 229.
Εὐθὺ διαφ. τοῦ Εὐθὺς, 77.
★ Εὐθύμημα, 229.
Εὐκτικῶν χρῆσις, 158.
Εὐμενέω, 116, 378.
Εὐόμφαλον, 93.
Εὐπάθεια ἢ Εὐπαθία, 291.
Ευπαθέω, 291.
Εὐπρεπὴς συγκέχυται μετὰ τοῦ Εὐτρεπὴς, 163.
Εὑραμένη καὶ Εὑρομένη, 152.
Εὑρίσκομαι. Ζ. Τέλος.
Εὑρίσκω. Ζ. Ἀνευρίσκω.
Εὐτελέστερον. Ζ. Πράττω.
Εὐτρεπής. Ζ. Εὐπρεπής.
Ἐφαμάω. Ζ. Ἐπαμάω.
Ἐφευρίσκω, 197.
Ἐφηβεύω, 18.
Ἔφηβοι, 18, 25.
Ἐφόδιον, 192.
Ἐφολκὸς, 122.
Ἐφ᾽ ᾧτε, 39, 189.
Ἐχθαίρω καὶ Ἐχθραίνω, 292.
Ἑώρων, 105.

Ζ.

Ζακορία, 106.
Ζάκορος, 106.
Ζείδωρος, 313.
Ζεφύρια ὠὰ, 124.
Ζημία (σὺν τῇ σῇ), 332.
ΖΩ (ῥήματα εἰς), 183.
Ζῶμα καὶ Ζῶσμα, 186.
Ζώνη ἱερὰ τῶν ἐν Σαμοθράκῃ μυουμένων, 270.

Η

Η (εἰς) ἢ ΗΝ Αἰτιατικαὶ, 213.
Η προφέρεται σχεδὸν ὡς τὸ Ι, 58.
Ἡ συγκέχυται μετὰ τοῦ Ἠ, 127.
Ἡγεμονεύω ὁδὸν, 78.
Ἡγοῦμαι ἅρπαγμα, 244.
Ἥδιστος (ὁ καὶ ἡ), 58.
Ἥδομαι διαφ. τοῦ Τέρπομαι, καὶ χαίρω, 157.
Ἡδόμενον, 229.
ΗΔΟΝ (εἰς) ἐπιῤῥήματα, 302.
Ἥκω διαφ. τοῦ Ἵκω, 110. Ζ. καὶ, 58.
Ἡλίου τράπεζα, 323.
Ἡλίῳ τίνες καὶ τίνα ἔθυον, 328.
Ἡμέτερον (ἐς), ἢ Ἡμετερόνδε, 199, 200.
Ἡμετέρῳ (ἐν), 199, 236.
Ἡμιδαὲς, 79.
★ Ἡμίθαλπτον, 79.
Ἡρακλεῖς πολλοὶ, 160.

Ἡρακλεωτικὸν στόμα τοῦ Νείλου, 1.
Ἠχὴ, 340.

Θ

Θάλπω, 79.
Θαλύπτω, 79.
Θαμύατις, ὄν. κύρ. 11.
Θανάτου καδίσκος, 126.
Θάρσος καὶ Θράσος, 309.
Θάτερος. χρῆσις ὀρθὴ ἢ σολοικος τῶν ἀπὸ τοῦ Ἕτερος συνῃρημένων 92, 119, 120, 215, 229, 253, 271, 292, 320.
Θαυματουργέω, 311, 341.
Θαυματουργία, 268.
Θέα. Ζ. Ἀπρόσμαχος.
Θεαγένης ὁ Θάσιος, 15.
Θεία τέχνη, 135.
Θεῖοι ἅλες, 160, 199.
Θεοδόσιος Αὐτοκράτωρ, 316, 324.
Θεοκλυτῶ, 133.
Θεοπρόπος, 96.
*Θεοφωνῶ, 66.
Θερμοσποδιὰ, 55.
Θεσσαλῶν ἵπποι, 117, 373. — ταυρελασία, 357–359. — χλαμύδες, 18 — χοροί, 116.
Θέτις, ὄν. κύρ. 110.
Θήγω, 50.
Θηλυκὰ ὀνόματα. Ζ. Ἀρσενικῶν.
Θὶς, 81.
Θοαὶ νῆσοι, 167.
Θοινάομαι, 84.
Θράσος. Ζ. Θάρσος.
Θραῦσις, 309.
Θρῆνος, Ζ. Γόος.
Θρυλλίζω ἢ Θρυλλίσσω, 64.
Θρύμματα, 63.
Θρύπτομαι, 63, 64.
Θυηπολίη, 116.
Θυμηδέω, 367.
Θυμὸν κατέδειν, 29. — ἔχειν ἀγαθὸν, 120, Ζ. καὶ Ἐπαγγελία, καὶ Ῥὶς, καὶ Συγχέω.
Θυμούμενον (τὸ), 294.
Θύρα. Ζ. ψοφεῖ.
Θύρα ἐπιῤῥακτὴ, καταῤῥακτὴ, ἢ καταπακτὴ, 48, 290.
Θύραι. Ζ. Πρῶται.
Θυώδες, 352.
Θωράκιον, 305.
Θὼς, 78.

Ι

Ι προστιθέμενον ταῖς δεικτικαῖς οὐκ ἐφέλκεται τὸ ν, 246.
Ἰάομαι. Ζ. Κακοῖς.
Ἰγνύα καὶ Ἰγνὺς, 362.
Ἰδίᾳ φράζειν, 101.
Ἰδιάζομαι, 248.
Ἱεροὶ ἅλες, 160, 199.
Ἱερομνήμων, 94.
ΙΖΩ καὶ ΟΩ (εἰς) ῥήματα, 121, 122.
Ἱερὰ νόσος, 225.
Ἱερεὺς καὶ Προφήτης, 43, 52, 216.

Ἱερογλυφικὰ. Ζ. Γράμματα.
Ἱερωσύνη καὶ Προφητεία. Ζ. Ἱερεὺς.
Ἵημι. Ζ. Ἀφίημι.
Ἵκω. Ζ. Ἥκω.
Ἰλιὰς κακῶν. 82.
Ἰλιόθεν με φέρεις, 82.
Ἱμὰς, 190.
Ἰὸς, 308.
Ἵππου ἔκφρασις, 118. Ζ. καὶ Θεσσαλῶν, καὶ Νισαῖοι.
Ἴσα καὶ, 127.
Ἴσειον, ἢ Ἰσίδειον, 229.
Ἶσις, ὄν. κύρ. 38, 292, 293, 313.
Ἰωνισμοὶ, 182, 183, 246.

Κ

Κ. προστίθεται ἢ ἀφαιρεῖται ἐν ἀρχῇ τῶν λέξεων, 23. — συγκέχυται πολλάκις τῷ Β, 64.
Καγχαλάω, Καγχάω, Καγχαλίζω, Καγχλάζω, Καγχάζω, 350.
Κάδα. Ζ. Βυσσέλαιον.
Καδίσκος ἐλέου, ἢ θανάτου, 26.
Καθαίρεσις ὄγκου, 146.
Καθειμένα χωρία, 65.
Καθ' ἓν, 74.
* Καθικελέυω, 236.
Καθίστημι τοὺς ἵππους, 272.
Καὶ, ἀναδιπλοῦται, 137, 138, 196, 276, 354 — ἀντὶ τοῦ Καίπερ, 10 — ἐμφατικόν, 272.
Καί γὰρ οὖν, 297.
Καινὰ, ἢ Κενὰ τοῦ πολέμου, 283, 284.
Καινὸν, 231.
Καινουργὸς, 283.
Καιρῷ (σὺν οὐδενὶ), 332. Ζ. καὶ Συνέχω.
Καίω. Ζ. Κάω.
Κἂν, ἑπομένου ἢ προηγουμένου τοῦ Εἰ, 285.
Κακοῖς τὰ κακὰ ἰᾶσθαι, 216.
Κακῷ (σὺν πολλῷ, ἢ μεγάλῳ), 332.
Κακῶν Ἰλιὰς, 82.
Κακῶς, ἢ Καλῶς ποιῶν. Ζ. Εὖ.
Κάλπη, ἢ Κάλπις, 83, 84.
Καμηλοπάρδαλις, 354, 355.
Κάνα, ἢ Κάννα, 114, 352.
Κανοῦν. 114.
Κανωβικὸν στόμα τοῦ Νείλου, 1, 11.
Κασσία, 352.
Καστόρεια μέλη, 180.
Καταβολὰς, 129.
Καταβολὴ, 129.
Κατάδουποι (οἱ), καὶ Κατάδουπα (τὰ), 100, 105.
Καταθυμοβορέω, 29.
Κατακροτέω, 50.
* Κατάκροτος, 50.
Καταμιαίνομαι, 235.
Καταμωκάομαι. Ζ. Μωκάομαι.
Κατανάλωτο Ἀττικώτερον τοῦ Κατηνάλωτο, 174.

Κατὰ νώτων, ἢ Ἐκ νώτων, 302, 310.
Καταπέτασμα, 356.
Καταπιστεύω, 205, 211.
Καταπακτὴ. Ζ. Θύρα.
Κατὰ πόδας, 297.
Καταπονέω, 246.
Καταποντίζω, καὶ Καταποντόω, 122.
Καταπτήσσω, ἢ Καταπλώσσω, 283.
Καταράκτης, ἢ Καταῤῥάκτης, 290.
Καταῤῥάκτης ὁδὸς, 48.
Καταῤῥακτή. Ζ. Θύρα.
Κατασκήπτω, 272.
Καταστράπτω, 297, 331.
Κατὰ συστάδην, 302.
*Κατάφονος, 174.
Κατάφρακτοι, 298, 301.
Καταχειροτονία, 167.
Καταχέομαι διαφ. τοῦ Καταχέω, 23, 24.
Καταψάω, 133.
Κατέδειν. Ζ. Θυμόν.
Κατέρχομαι, 76.
*Κατοικετεύω, 237.
Καύω καὶ Κάω. Ζ. Αὔω.
Κατόπιν, 297 — ἑορτῆς, 112.
Καῦρος, 345.
Κάχλαξ ἢ Κάχληξ, 3.
Κάω, καὶ Κλάω, Ἀττικώτερα τοῦ Καίω καὶ Κλαίω, 230. Ζ. καὶ Αὔω.
Κέλαδος. Ζ. Ἐνυάλιος.
Κενὰ τοῦ πολέμου. Ζ. Καινά.
Κεραελκεῖς, ἢ Κερατεσσεῖς, 358.
Κῆπος. Ζ. Ἐπικουρείων.
Κινάμωμον, ἢ Κιννάμωμον, 352.
Κίνδυνος, 165.
Κινδυνεύω, 165.
Κινέομαι, 96.
Κίῤῥα ἢ Κιῤῥαία, 92.
Κίστη, Κιστίς, 154, 155.
Κλαγγάζω ἢ Κλαγκάζω, 5.
Κλαίειν αἵματι, 151, 152.
Κλάω. Ζ. Κάω.
Κλῆσις (ἡ ἀπὸ ξύλου), 125.
Κλοπεύω, Κλοτοπεύω, Κλωπεύω, 51.
Κνήσματα, 139.
Κνίζω, 251.
Κνισμὸς, 251.
Κοῖλα. Ζ. Κύλα.
Κοινόν. Ζ. Γραμματεῖον.
Κοιταῖα (τὰ), 120, 373.
Κοίτη. Ζ. Πίπλει.
Κοιτὶς, 154, 155, 373, 378.
Κοντὸς, 301.
Κοπίζω, 298.
Κόπις, 298.
Κοπὶς, 298.
Κόπλω τὴν θύραν, 34.
*Κορμηδὸν, 304.
Κορμὸς, 304.
Κότος, 147.
Κουφολογία, 152.
Κουφόνους, 153.

Κοῦφος καὶ Κωφὸς, 152.
Κόφινος, 152.
* Κόφος ἢ Κοφὸς, 152.
Κόχλαξ ἢ Κόχλος, 3.
Κραδαίνω, 362.
Κρᾶμα, 253.
Κρατὴρ καὶ Κρητὴρ, 195.
Κρίνεσι καὶ Κρίνοις, 132.
Κρίσσα, ὄν. κύρ. 93.
Κρόνιον ὄμμα, 90.
Κροτητὸς, 288.
Κτίλος, 78.
Κύβη, 360.
Κυβιστάω, 360.
Κυβιστίνδα, 360.
Κυκλοῦμαι τοῖς λόγοις, 243.
Κῦλα συγκέχυται τῷ Κοῖλα, 145.
Κυλοιδιάω, 145, 378.
Κύμβαχος, 360.
Κύμβη, 360.
Κυρτεὺς, 184.
Κύρτος, 184.
* Κυτίον, 155.
Κύτις ἢ Κυτὶς, 155, 378.
Κύτος, 155, 315, 316.
* Κωμάζω, μεταβατ. 211.
Κωφὰ ἔπη, 152.
Κωφὸν βέλος, 153.
Κωφούμενον ξίφος, 153.
Κωφὸς. Ζ. Κοῦφος.
Κώφωσις ὀφθαλμῶν, 153.

Λ

Λάβρως καὶ Λαμπρῶς, 181.
Λάγδην. Ζ. Λὰξ.
Λαίλαψ, 42.
Λακπάτητος, 20.
Λαμπάδιον, Κωμικὸν πρόσωπον, 367.
Λαμπάδιον πῦρ, 38.
Λαμπὰς Ἀρτέμιδος, 120.
Λαμπρόν. Ζ. Μέγα.
Λαμπρῶς. Ζ. Λάβρως.
Λὰξ, ἢ Λάγδην ἐνάλλεσθαι, ἐνθορεῖν, πατεῖν, 20.
* Λάρβασον, 355.
Λάφυρα. Ζ. Σῦλα.
Λαφύσσω, 78.
Λαχαίνω, 342.
Λειπομορία, 305.
Λεπὶς, 299.
Λέσχη, 97.
Λεσχηνόριος, 97.
Λῆμα συγκέχυται μετὰ τοῦ Λῆμμα, 76, 307, 340, 356.
Ληξιαρχικόν. Ζ. Γραμματεῖον.
Λῆξις, 90.
Λῆρος, 174.
Λησταί. Ζ. Βουκόλοι.
Λίγειον ἀνακωκύω, 205.
Λίθοι ἐπὶ τριόδων, 172. — σύννομοι, 312.
Λιθοκόλλητος, 252.
Λόγιος, 143.
Λόγος, 180. — Ζ. καὶ Δεύτερος, καὶ Κυκλοῦμαι.
Λόγου χάριν, 75.
Λόγων πλάσματα, 214.
Λοπὶς, 300.
Λυγγαίνω, Λυγγάνω, Λυγ-

κάζω, Λυγκάω, 208.
Λυγίζομαι, 308.
Λυγμὸς, 208.
Λὺγξ, 208.
Λύγος, 308.
Λύζω, 208, 212, 244.
* Λυκτικὸν, 208.
Λυκόφως, 175.
Λυκώρεια, ὄν. κύρ. 94.
Λυχνοῦχος, 271, 325.

M

Μακαρία, 75.
Μακρὰ τείχη ἢ σκέλη, 281.
* Μάκρος (τὸ), 132.
Μαλάβαθρον, 352.
Μαλέας (ὁ), Μαλέα (ἡ), Μαλεαὶ ἢ Μάλειαι (αἱ), ὄν. κύρ. 160.
Μαλιακὸς κόλπος, 107.
Μάλιστα μὲν — ἔπειτα, 63.
Μᾶλλον. λείπει ἔσθ' ὅτε, 146, ἢ πλεονάζει, 101.
Μᾶλλον, ἀλλά, 374.
Μάμμη, 232.
Μαμμία, 232.
Μαμμίδιον, 232.
Μαννάριον, 233.
Μανδύας, 18.
Μαντικὸν (τὸ) τῆς ψυχῆς, 279.
* Μαργαρίδης, 102.
* Μαργαρὶς, 102, 372.
Μαργαρίτης (ὁ), 102.
Μαργαρίτις (ἡ), 102.
Μάργαρον (τὸ), 102.
* Μάργαρος (ὁ), 102.
Μάραθος (ὁ), καὶ Μάραθρον (τὸ), 218.
Μαραθὼν, 218.
Μαρίλη, 55.
Μαστεύω, 44.
Ματεύω, 44.
Μάχη. Ζ. Αὐτοσταδία, καὶ Πολέμου.
Μάχομαι. Ζ. Δαίμονα.
Μέγα καὶ λαμπρὸν, 273.
Μεγαλοδωρεὰ, 317.
Μεγάλῳ (σὺν) κακῷ, 332.
Μεθίσταμαι, 158.
Μείλιχος, 240.
Μελαινόμενος, 111.
Μέλας, ὄν. κύρ. 314.
Μέλημα, 117.
Μελία, 117.
Μελίκρατον, 217.
Μελλόντων. Ζ. Ἀορίστων.
Μελλόντων (μετ' ὀλίγον) σημασία, 67, 68, 69.
Μελλόντων σημασία βουλητικὴ, 137 — δυνητικὴ, 146.
Μέλος διαφέρει τοῦ Μέρος, 232.
Μέλος. Ζ. Ἐπίσκοπον, καὶ Καστόρεια.
Μέμφις, ὄν. κύρ. 38, 104.
Μὲν — ἔπειτα, 63. Ζ. καὶ, 285.
Μενδήσιον στόμα τοῦ Νείλου, 11.
Μενέσθιος, ὄν. κύρ. 109.
Μέντι καὶ Μέντοι συγκέχυν-

ται πολλάκις, 276.
Μερόη, ὄν. κύρ. 326, 327.
Μερος. Ζ. Μέλος.
Μεσόγαιος, 282.
Μέσων μελλόντων χρῆσις παθητικὴ, 258.
Μέσων ῥημάτων φύσις, 23, 24.
Μεταλαγχάνω. Ζ. Πολέμου.
Μεταμέλομαι. Ζ. Ἐπιμελολαι.
Μέταυλος, 129.
Μεταφορῶν κατάχρησις, 164. 166.
Μετοχαὶ ἀνθ' ὀνομάτων, 141, 229, 294, 369.
Μηδέποτε διαφ. τοῦ
Μηδεπώποτε, καθὰ καὶ τὸ Οὐδέποτε τοῦ Οὐδεπώποτε. 335
Μηλέα. Ζ. Περσικὴ.
Μήτε νεῖν, μήτε γράμματα, 24.
Μητέριον, 232.
Μήτιγε συγκέχυται μετὰ τοῦ Μήτοιγε, 232, 245, 256.
Μιαραὶ ἡμέραι, 235.
Μίθρας, ὄν. κύρ. 149.
Μικρὸν. διαφ. τοῦ Μικροῦ, καθὰ καὶ τὸ Ὀλίγον τοῦ Ὀλίγου, 89, 170, 197, 339, 355. 377.
Μικρὸν, ἐλλειπτικῶς τῆς Μετὰ, 339.
Μικρὸν ἔφθη, 339.
* Μισόλεκτρος, 125.
Μνῆμα. Ζ. Ἐπικουρείων.
Μόγις, καὶ Μόλις, 177.
Μοῖρα, 90. Ἐν πατρὸς μοίρᾳ, 238.
Μόλις. Ζ. Μόγις.
Μόλυνσις, 79.
Μολύνω, 79.
Μόνον, 162.
Μορμολύκειον, 5, 199.
Μορμολύκη, 5, 199.
Μυέομαι, 34, 104.
Μυρμηκίας χρυσὸς, 353.
Μύρομαι, 169.
* Μυρῳδῶ, 169.
Μωκάομαι, 248.
Μῶκος, 248.

N

Ναύκρατις καὶ Ναυκράτιον. ὄν. κύρ., 1, 61.
Ναυκράτιον στόμα τοῦ Νείλου, 1.
Ναυλοχέω, 184.
Ναύλοχοι περιπτυχαὶ, 184.
Νεανίας, 19. Ζ. καὶ Χρῆμα.
Νεήλατα, 75.
Νειλομέτριον, 312.
Νεῖλος, 313, 314, 316.
Νείλου αὐξήσεις, 99, 100. — στόματα, 1, 11.
Νεῖν. Ζ. Μήτε νεῖν.
Νεκυομαντεία, 216, 217.
Νεκυομαντεῖον, 217.
Νεοπτόλεμος. Ζ. Πύῤῥος.
Νερτέρια εἴδωλα, 57.
Νέρτεροι, 57.
Νέφος πεζῶν, ἢ πολέμου, 286.

Νεὼς, 259.
Νὴ Δία, 73.
Νηφαλέος, ἢ Νηφάλιος, 347.
Νηρηΐδες, 116.
Νίζω, 83.
Νισαῖοι ἵπποι, 307.
Νισαῖον πεδίον, 307.
Νόμος. λέξ. μουσικ, 162, 251.
Νόμος. Κατὰ τοὺς νόμους, 25.
Νόμου χάριν, 75.
Νόσος. Ζ. Ἱερά.
Νοῦς. Καθ' ἡμέτερον νόον, 333. Ζ. καὶ Ἐπιδακρύω.
Νύσσω, 244.
Νύχιοι θεοὶ, 120.
Νώτων (ἐκ ἢ κατὰ), 302, 310.

Ξ

Ξενιτεύω, 238.
Ξένος, 82.
Ξηρός. Ζ. Αὖος.
Ξιφιστὴρ, 317.
Ξίφος. Ζ. Κωφούμενον.
Ξυλοκασία, 352.
Ξύλον. Ζ. Κλῆσις.

Ο

Ὄγκινος, 26.
Ὄγκος. Ζ. Καθαίρεσις.
Ὁδός. Ζ. Ἡγεμονεύω, καὶ Οὐδός.
Οἷ, Ὅποι καὶ Ποῖ, 183.
Οἱ περὶ, ἢ Οἱ ἀμφὶ τὸν, ἢ τὴν, 14.
Οἷα. Ζ. Ὥα.
Οἴκαδε, ἀντὶ τοῦ Οἴκοι, 41
Οἰκετεύομαι, 237.
Οἴκημα, 233.
Οἰκημάτια, 233.
Οἰκονομία, 153.
Ὀϊστὸς, 308.
Οἰταῖος, 367.
Οἴτη, ὄν κύρ., 365.
Ὄκλασμα, 162.
Ὄλεθρος, 173, 174.
Ὀλίγον. Ζ. Μικρόν.
Ὀλισθέω. Διολισθέω καὶ Διολισθαίνω, 119.
Ὁλκὸς, 122, 281, 356, 361.
Ὅλοις τοῖς ὀφθαλμοῖς ἢ προσώποις, 204.
Ὀλολυγὴ, 121, 294.
Ὀλολύζω, 121, 343.
Ὅλος εἰμὶ, ἢ γίγνομαί τινος, 221.
Ὁλοσώματος, 163.
Ὁμιλῶ. τὰ ὡμιλημένα, 104.
Ὄμμα. Ζ. Ἀμεμόω, καὶ Κρόνιον.
Ὁμόσε χωρεῖν, 173.
★ Ὄμφα ἢ Ὀμφὴ, 93.
Ὀναίμην σου, 17.
Ὄνθον ἀποπτύειν, 69.
Ὄνομα (οὐδὲ) περιλέλειται, 73.
Ὀνομαστικὴ ἀντὶ γενικῆς, 96.
Ὀνομάτων. Ζ. Ἀξίωσις.
Ὄνειροι ἀλληγορικοὶ καὶ θεωρηματικοὶ, 269.

Ὀξεῖαι. Ζ. Θοαί.
Ὅπῃ καὶ Ὅποι, 127, 183, 211.
Ὁπλιτοδρόμος, 136.
Ὀργάω, Ὀργάζω, Ὀργόω, 323.
Ὀργὰς, 323.
Ὀργὴ, 147.
Ὀρθὴ, ἐλλειπτικῶς τοῦ Ὁδὸς, 196.
Ὄρθια (τὰ), ἐλλειπτικῶς τοῦ Μέρη, 196.
Ὀρθοῦμαι τὴν γνώμην, 76.
Ὀρθῶς ποιῶν. Ζ. Εὖ.
Ὁρκίζω καὶ Ὁρκόω, 122.
Ὀροονδάτης, ὄν. κύρ. 88.
Ὄρχησις. Ζ. Περσικὴ, καὶ Πυῤῥίχη.
Ὅσα, 74 — ὅσα καί, 12.
Ὁσίας ἕνεκα, ἢ χάριν, ἢ διὰ τὴν ὁσίαν, 74, 75.
Ὄσιρις, ὄν. κύρ. 292, 313.
Ὅσον. Ζ. Οὐδ' ὅσον.
ΟΥ, Ὅπου, Ποῦ, 183.
Οὐδεὶς καὶ Οὐθεὶς, 159.
Οὐδεὶς, ἐπαναλαμβάνεται, ἢ συνάπτεται τοῖς συστοίχοις, καθὰ καὶ τὸ Πᾶς, 144.
Οὐδέποτε. Ζ. Μηδέποτε.
Οὐδὸς καὶ Ὀδὸς, ψιλῶς, 48.
Οὐδ' ὅσον, 247.
Ουρίαχος, 302.
Οὔτε — οὐδὲ, 149.
Οὗτος, κλητικῶς, 271.
Οὑτοσὶ, Αὑτηῒ, Τουτὶ καὶ Τουτογὶ, 168.
Ὀφθαλμοὶ. Ζ. Βασιλέως, Ὅλοις, Πολλοῖς, καὶ Ὑπογράφομαι.
Ὀφθαλμῶν κώφωσις, 153.
Ὄφις. Ζ. Αἰόλος.
Ὄψεις. Ζ. Διαῤῥίπτω.

Π

Παιδάριον, Παιδαρίσκος, Παιδίον, Παιδίσκος, Παῖς, 178.
Παιδιά. Ζ. Ποιοῦμαι.
Παιδικὰ (τὰ), 205.
Παιδισκάριον, 21.
Παίειν. Ζ. Πύξ.
Παῖς. Ζ. Γάμος, καὶ Παιδάριον.
Πὰν, ὄν. κύρ. 77, 322, 324.
Παναθήναια, 18.
Πανάκιος, ὄν. κύρ. 144.
Πανίον, 324.
Πανόπολις. Ζ. Χέμμις.
Πανταρβη, 152.
Παραβολῶν κατάχρησις, 166.
Παραιροῦμαί τι τινὰ καὶ τὶ τινὸς, 231. Ζ. καὶ Παρανομέω.
Παρακινέομαι, 96.
Παρακινέω, 171.
Παρακρύπτομαι, 31.
Παραλλάτω ἢ, 327.
Παρανομεόμαι, 224.
Παρανομέω παρελέσθαι, 39.
Παραπέτασμα, 356.
Παρατατικῶν. Ζ. Ἀορίστων, καὶ Ἑώρων.

Παράτολμος, 335.
Πάρεργον, 102.
Παρνασὸς, ὄν. κύρ. 94.
Παρῳδιῶν κατάχρησις, 182.
Παρὼν παρόντι, 209.
Πᾶς. Ζ. Οὐδείς.
Πάσχω. Εἴτι πάθοιμι, 270, 321.
Πατέω, 166. Ζ. καὶ Λάξ.
Πατήρ. Ζ. Μοῖρα, καὶ Χώρα.
Πάτραι (νέαι), ὄν. κύρ. 107.
Πάτρη, ἢ Πατριὰ, 324.
Πατρικὸς, Πάτριος καὶ Πατρῷος, 92.
Πάτροκλον πρόφασιν, 36.
Πέζα, 117.
Πεζομάχος, 60.
Πεζῶν νέφος, 286.
Πεῖσμα, Πεισμονὴ, 249.
Πέισομαι. Ζ. Πήσομαι.
Πέλει, 269.
Πένης διαφ. τοῦ Πτωχὸς, 210.
Πενία διαφ. τοῦ Πτωχέια, 210.
Πεπιστευμένος, 258.
Περὶ (οἱ) τὸν, ἢ τὴν, 14.
Περιβάλλομαι, Περιβάλλω, 34.
Περιβάλλω, ἢ Ὑπερβάλλω ἄκραν, 160.
Περιγραφὴ, 92, 213.
Περιγράφω, 91, 346, 368.
Περιδρομὶς, 150.
Περίδρομος, 150.
Περιίστημι εἴς τι, 154.
Περιλέιπω. Ζ. Ὄνομα.
Πέριξ, ἢ Ἑλικτὰ φρονεῖν, 243.
Περιποιῶ, 30, 154.
Περιποτῶμαι, 85.
Περιπτυχαί. Ζ. Ναύλοχοι.
Περιῤῥαντήριον, 95.
Περίστοα (τὰ), 95.
Περιστοιχίζομαι, 120, 165.
Περίστυλα (τὰ), 95.
Περονάω, 306.
Περόνη, 306.
Περσέα, 273.
Περσίζω, 277.
Περσικὴ μηλέα, 273 — ὄρχησις, 162 — προσκύνησις, 320 — τιμωρία, 266.
Περσίνα, ὄν. κύρ. 149.
Πῆ, 183.
Πήγνυμαι, 87.
Πηκτὶς, 162.
Πηρὸς τῶν πρακτέων, 240.
Πήσομαι, 341.
Πίδαξ, 58.
Πιεζέω, 70.
Πικρόγαμος, 192, 254.
Πίπτει ὁ ἄνεμος, 188.
Πίπτω ἐις κόιτην, κ. τ. λ. 255 — σωφρόνως, 59.
Πλαγίαυλος, 179.
Πλαδέω, 282.
Πλάδος, 282.
Πλάσμα, 214.
Πλάσματα λόγων, 214.
Πλατυόφθαλμον, 355.
Πλεῖον καὶ Πλέον, 198.

Πλοῦς. Ζ. Δεύτερος.
Πλουτέω, 327.
Πνίγμα, 363.
Πόθεν, 156, 196.
Πόθος, 133, 370.
Ποῖ. Ζ. Οἷ.
Ποίεω. Ζ. Ἐργάζομαι, Εὖ, καὶ Κακῶς.
Ποιοῦμαι ἅρπαγμα, 244, 380 — παιδιὰν, ἢ χλεύην, 200 — ὑπόλογον, 338.
Πολέμαρχος, 35.
Πολέμου καὶ μάχης μεταλαγχάνειν, 125.
Πολέμου νέφος, 286.
Πολλὰ, ἀνάρθρως, διαφ. τοῦ Τὰ πολλὰ, ἐνάρθρως, 21.
Πολλοῖς τοῖς ὀφθαλμοῖς, 204.
Πολλὰς χεῖρας, 204.
Πολλῷ. Ζ. Κακῷ.
Πολυδώρα, ὄν. κύρ. 109, 110.
Πολὺς, ἐπαναδιπλοῦται πολλάκις, 168 — τίθεται ἐπὶ τοῦ Σφοδρὸς, 138.
Πολυτλήμων, 366.
Πομπεία, 173.
Πορεύομαι. Ζ. Εἶμι.
Ποταμοῦ σῶμα, 316.
Ποῦς. Ζ. Κατὰ πόδας.
Πραγματεύομαι, 210.
Πραγματευτὴς, 210.
Πράττω εὐτελέστερον, βέλτιον, παρ᾽ ἀξίαν, 237.
Πρηστὴρ, 42.
Πρό. Ζ. Ἀπό.
Πρόειμι, 236.
Προεισόδιον, 279.
Προΐσταμοι, 245.
Προκείμενος, 4.
Προκόιλιοι στίχοι, 301.
Προκύπτω διαφ. τοῦ Προσκύπτω, 125, 241, 251, 346, 364.
Προμαχέω, 189.
Προμαχεὼν, 189.
Προνοοῦμαι καὶ Προνοῶ, 251.
Προξενῶ, 193.
Προορχιστὴρ, 116.
Πρός. Πρὸς ἀνάγκην, ἢ Πρὸς ἀνάγκης, 38.
Πρὸς ἀγαθοῦ, ἐναντίου, θυμοῦ, κακοῦ, 221, 310.
Προσαγγέλλω, 166.
Προσβιβάζω, 243.
Προσήνεμος, 123, 124.
Πρόσθεν (χρόνοις ὀλίγῳ), 103, 224.
Προσκνύζομαι, ἢ Προσκνυζάομαι, 231.
Προσκύνησις Περσικὴ, 320, 321.
Προσκύπτω. Ζ. Προκύπτω.
Προσορμέω καὶ Προσορμίζω, 55.
Προστίθεμαι, 245.
Προστρέχω, 17.
Προσώποις. Ζ. Ὅλοις.
Πρότερον, ἢ Ὕστερον (οὐ πολλαῖς ἡμέραις, 224. Ζ. καὶ Πρόσθεν.
Πρόφασιν. Ζ. Πάτροκλον.

Προφήτης. Ζ. Ἱερεύς.
Πρωῒ τοῦ Ἧρος, 185.
Πρῶται θύραι, 185.
Πρῶτον μὲν — ἔπειτα, 63.
Πρῶτον ἔαρ, 185.
Πρῶτος ῥυμὸς, 185.
Πτόρθος, 106.
Πτωχεία, καὶ Πτωχός. Ζ. Πενία, καὶ Πένης.
Πυελὶς, 152.
Πυθία, 96.
Πυθὼ, 66.
* Πυθιονίκη (ἡ), 161.
Πυθιονίκης (ὁ), 161.
Πύλαι. Ζ. Δημιάδες.
Πύλη. Ζ. Ἀνασπαστός.
Πὺξ παίειν, 21.
Πύργος, 28.
Πυῤῥίχη, ἢ Πυῤῥίχιος ὄρχησις, 125.
Πύῤῥος, ὁ καὶ Νεοπτόλεμος, ὄν. κύρ. 108, 125.

Ρ

Ῥάσσω, ἢ Ἀράσσω, 3, 22.
Ῥαχία, 3.
Ῥεῖα, 128.
Ῥεῖθρον, 316.
Ῥηγμὶν, 3.
Ῥῆσις (ἡ ἀπὸ Σκυθῶν), 125.
Ῥηχίη, 3.
* Ῥιπίζω, 362.
Ῥιπτέω, 70.
Ῥὶς ἕδρα θυμοῦ, 110, 372.
Ῥοδῶπις, ὄν. κύρ. 91.
Ῥόμβος καὶ Ῥύμβος, 303.
Ῥόπτρον, 303.
Ῥύμβος. Ζ. Ῥόμβος.
Ῥυμός. Ζ. Πρῶτος.

Σ

Σ, προτίθεται ἐν ἀρχῇ τῶν λέξεων, 184, 185. ὡς δίγαμμα, 344.
Σαγηνεύω, 215.
Σαίρω, 140. Σεσηρὸς γελᾶν. Αὐτ.
Σαλεύω, 287.
Σαμοθράκη. Ζ. Ζώνη.
Σαρόω, 140.
Σατραπεύω, 88, 320.
Σαῦρος. Ζ. Αὖρος
Σαυρωτὴρ, 302.
Σεβεννυτικὸν στόμα τοῦ Νείλου, 11.
Σείεσθαι τὸν ἐγκέφαλον, 96.
Σεληναία, ἢ Σεληναίη, 34.
Σημαίνω, 115.
Σιδώνιοι, 191.
Σιμὸς, 113, 377.
Σιμόω, 362.
Σῖρις, ὄν. κύρ. 314.
Σισιμίθρης, ὄν. κύρ. 325.
Σκαίρω, 138.
Σκάφη, Σκαφίδιον, Σκαφίον, Σκαφὶς, 325.
Σκέλη. Ζ. Διαβεβηκότα, καὶ Μακρά.
Σκιοθηρικὸν ὡρονόμιον, 312.
Σκιόθηρον, 312.
Σκοπὸς, 251. Ζ. καὶ Ὑφέρπω.
Σκότος (ὁ καὶ τὸ), 198.
Σκυθῶν (ἡ ἀπὸ) ῥῆσις, 125.

Σκῦλα. Ζ. Σῦλα.
Σκύλαξ, 105.
Σκύλλα, Σκύλλος, Σκύλος, 105.
Σκυτάλη, 298.
Σκωπίας, Σκωπὸς, 251,
Σκὼψ, 251.
Σμαράγδεια μέταλλα, 257, 320.
Σμύχομαι, 33, 66.
Σὸν (τὸ), 245.
Σουσαμίθρης. ὄν. κύρ., 325.
Σπάνιον, 214.
Σπαράττω, 35.
Σπάω τὴν χεῖρα, 35.—ὕπνου, 71.
Σπένδομαι, μέσ. καὶ παθητ. 126.
Σπιθαμαῖος, 299.
Σπιλὰς, 193, 194, 373.
Σποδέω, 55.
Σποδιὰ καὶ Σποδὸς, 55.
Σπουδαιέστερος, 222.
Σπουδὴν (κατὰ), 66.
Στάδιος (ὁ) καὶ Στάδιον (τὸ), 10.
Σταῖς, Σταίτινος, 218.
Στέαρ, Στεάτινος, 218.
Στερεόω. Ζ. Ἐστερεωμένη.
Στίβι ἢ Στίμμι (τὸ) καὶ Στίμμις (ἡ), 355.
Στιμμίζω, 355.
Στολὴ, 82.
Στοχάζομαι, 40.
Στράπτει, 297.
Στραβεία διαφ. τοῦ Στρατιὰ, 257, 296, 311, 316.
Στρατός. Ζ. Ἀπρόσμαχος.
Στροβιλέω, 42.
Στρόβιλος, 42.
Συγκαταστέλλω, 10.
Σύγκλυς, 329.
Συγχέω θυμόν, 265, 343.
Συήνη, ὄν. κύρ., 312.
Σῦλα, Σκῦλα, Λάφυρα, 9, 52, 53.
Συλάω. Ἀποσυλῶμαι τῶν ὕπνων, καὶ Ἀποσυλᾶταί μου ὁ ὕπνος, 57.
Συμβεβηκότα. Ζ. Διαβεβηκότα.
Συμβιβάζω, 244.
Συμπατέω, 304.
Συμπίπτω, 254, 255.
Συναιρέω, 320.
Συναράττω, 99.
Συνέχω. Ἐν συνέχοντι τῷ καιρῷ, 159, 364.
Σύνηλυς, 329.
Σύννομοι λίθοι, 312.
Συνοῖσον (τὸ), 100, 238.
Συντάττομαι, 224.
Σύριγγες Αἰγύπτου, 98.
Συριγγὶς, 352.
Σύριγξ, 179.
Συρίζω, 179.
Σύροι. Ζ. Ἀσσύριοι.
Συῤῥάττω, 99.
Συσπεύδω, 159, 272.
Συστάδην. Ζ. Κατὰ συστάδην.
Σφενδόνη, 152.
Σφηκόω, 300.

Σφηκὸς, ἢ Σφηκώδης. 300.
Σφηκώδεις στίχοι, 301.
Σχολὴ. Ζ. Διατίθεμαι.
Σχολῇ γ' ἂν, 102.
Σώματος φύλαξ, καὶ Σωματοφύλαξ, 224.
Σῶμα ποταμοῦ, 316.
Σωφρόνως. Ζ. Πίπτει.

Τ

Ταλαντεύω, 330.
Τάπης. Ζ. Δάπις.
Τὰ πολλά. Ζ. Πολλά.
Ταυρελάτης ἢ Ταυροκαθάπτης, 358, 359.
Ταυροκαθάψια, 358.
Τε, πλεονάζει, 189.
Τείχη. Ζ Μακρά.
Τελευταία (ἡ), 230.
Τέλη (τὰ), 317.
Τέλος αἴρομαι, ἢ εὑρίσκομαι, 240.
Τελῶ, ἀντὶ τοῦ Τελέσω, 112.
Τέρπομαι. Ζ. Ἥδομαι.
Τέφρα, 55.
Τέχνη. Ζ. Θεία.
Τέως ἂν. 335.
Τῇδε. 71.
Τημέλεια. Ζ. Ἐπιμέλεια.
Τηνάλλως, 141.
Τὶ, συνάπτεται οὐδετέροις ἐπιθετικοῖς ὀνόμασι, 267, 361.
Τιμωρία. Ζ. Περσική.
Τὸ παρὸν, 47.
Τορεύω διαφ. τοῦ Τορνεύω. 65. 66.
Τόρνος, 66.
Τοσοῦτος, 333.
Τοῦτο μὲν — εἶτα, 63.
Τοῦτό τοι, 46, 293.
Τραγαλίζω, 87.
Τράγημα, 87.
Τραγηματίζομαι, 87.
Τράπεζα Ἡλίου, 323.
Τρίζω, 85, 221.
Τριόδων (ἐπὶ) λίθοι, 172.
Τριττύς. 24.
Τρίτων, ὄν. κύρ. 315
Τριχῶν τίλσις, ἢ τομὴ, 211, 240.
Τροφωνίου ἄντρον 66. Ἐς Τροφωνίου μεμάντευται, Αὐτ.
Τρωγάλια, 87.
Τυφωεὺς, Τυφὼν, Τυφὼς, ὄν. κύρ. 293.

Υ

Υ (ἀρχαία τοῦ) προφορὰ, 63.
Ὑβρίζειν τινὰ, διαφ. τοῦ Ὑβρίζειν εἴς τινα. 19.
Ὕβρις. Ζ. Αἰκία.
Ὑγρὰ δάκρυα, 171.
Ὑγρὸν ὕδωρ, 171
Ὑδάσπης, ὄν. κύρ. 149.
Ὕδωρ ἄκρατον, 87—ὑγρὸν, 171. ἀπαράχυτον. 181.
Ὑπακούω, 57.
Ὑπάτα, ὄν. κύρ. 107,
Ὑπατεύω, 88.
Ὑπεκκαίω, 31.
Ὑπέκκαυμα, 31.
Ὑπερβάλλω. Ζ. Περιβάλλω.
Ὑπερβατὸν ἐν προτακτικοῖς

ἄρθροις. 259. — ἐν ὑποτακτικοῖς, 16.
Ὑπερσυντελικοὶ διὰ τοῦ εσαν 173, 266, 276, 308.
Ἰσοσύλλαβοι τοῖς παρακειμένοις, 2, 122, 126, 268.
Ὑπέχω, 164, 248.
Ὑπήνεμος καὶ Ὑπηνέμιος 123, 124.
Ὑπηρέτημα, 237.
Ὕπνος. Ζ. Συλάω, Σπάω, καὶ Χάλκεος.
Ὑπό. Ζ Ἀπὸ, καὶ Ἐπί.
Ὑποβαίνω. Ζ. Ἀποβαίνω.
Ὑποβάλλω, 167.
Ὑποβεβρεγμένος διαφ. τοῦ Διαβεβρεγμένος, 31, 193.
Ὑπογράφομαι. Ὑπογεγραμμένοι ὀφθαλμοὶ 355.
*Υποδέχομαι, παθητ. 352.
Ὑποζάκορος, 106.
Ὑποκαθήμενος, 71.
Ὑποκνίζομαι, 250.
Ὑπόλογος. Ζ. Ποιοῦμαι.
* Ὑποπείθομαι, 223.
Ὑποπεπωκὼς, 31.
Ὑπόστασις, 29, 370.
Ὑποστέλλομαι, 274.
Ὑποτέμνω, 173.
Ὑποτίθεμαι, 212.
Ὑποτρίζω. Ζ. Τρίζω.
Ὑπούργημα, 237.
Ὑποφαίνω, 18, 174.
Ὑπόχρυσος, 61, 224, 225.
Ὕσπληγξ, 54.
Ὕστερον. Ζ. Πρότερον.
Ὑφέρπω τὸν σκοπὸν, 344.
Ὑφηγοῦμαι, 252.

Φ

Φανὸς, 325.
Φαντάζομαι, 233.
Φάσμα, 4, 8, 57.
Φατνικὸν στόμα τοῦ Νείλου, 11.
Φατρία, 324.
Φέγγος διαφ. τοῦ Φῶς, 289, 290.
Φέρω. Ζ. Βάσιν, καὶ Ἰλιόθεν.
Φερνὴ, 220.
Φεύγω. Ἔφυγον κακὸν, εὗρον ἄμεινον, 41.
Φηλήτης, 206.
Φηλὸς, 206.
Φηλόω, 206.
Φθάνω τι ποιῶν, 340. Ζ. καὶ Μικρὸν ἔφθη.
Φίλα (ἡ) καὶ Φίλαι (αἱ) ὄν. κύρ. 256.
* Φίλαβρος, 238.
Φιλέω, 207.
Φιλότης, 139,
Φλεγύας, ὄν. κύρ. 149, 150.
Φλήναφος, 174.
Φλύαρος, 174.
Φοινικόπτερος, 201.
Φοίνιξ, 201.
Φολιδωτὸς, 299.
Φολὶς (ἡ), 299, 307.
Φόνος, 174.
Φορτίζω καὶ Φορτόω, 121.
Φράζω, 38. Ζ. καὶ Ἰδίᾳ.

Φράσις, 38.
Φρατορικόν. Ζ. Γραμματεῖον.
Φρατρία,, 24, 324.
Φράτωρ. ἐγγράφειν εἰς τοὺς Φράτορας, 24.
Φρεατία, 281, 312.
Φρὶξ, 102.
Φρονεῖν. Ζ. Πέριξ.
Φρόνημα. Ζ. Διανίστημι.
Φυγὴ. Ζ. Ἐπιβάλλω.
Φυλέτης, 24.
Φυλὴ, 24.
Φύλλον θυῶδες, 352.
Φὺς διαφ. τοῦ Φύσας, 72, 294, 319, 339, 366.
Φωνή. Ζ. Ἀφίημι.
Φῶς. Ζ. φέγγος.

Χ

Χαίρω. Ζ. Ἥδομαι.
Χάλκεος ὕπνος, 80.
Χαρὰ, 235.
Χαραδριὸς, 123, 124.
Χαραμὸς, 276.
Χάριν. Ζ. Λόγου, καὶ Ὁσίας.
Χάριτες, 160.
Χαυνάζω, 282.
Χάυναξ, Χαῦνος, 282, 288.
Χαυνιάζω, χαυνίζω, καὶ Χαυνόω. Ζ. Χαυνάζω.
Χεὶρ, 167, 271. Ζ. καὶ Πολλοῖς, καὶ Σπάω.
Χειρονομία, 302.
Χειρονόμος, 302.
Χειροτονία, 167.
Χερνήτης, 220.
Χέμμις ἢ καὶ Πανόπολις, 76, 77, 371.
Χημεία, 134.
Χημία. ὄν. κύρ. 371.
Χηραμὶς καὶ Χηραμὸς, 276.
Χλαμύς. Ζ. Θεσσαλῶν.
Χλεύη. Ζ. Ποιοῦμαι.
Χοαὶ ἐπὶ κατοιχομένοις, 211, 217, 234.
Χοιρίναι, 26.
Χορεία. Ζ. Αἰόλα.
Χοροί. Ζ. Θεσσαλῶν.
Χρῆσθαι γυναικὶ, 31.
Χρέος, 100.
Χρεωστοῦμαι, 192 230, 380.
Χρῆμα νεανίου, 349.
Χρηματίζω, 347.
Χρηματιστήριον, 347.
Χρήσιμον, 100.
Χρηστήριον, 159.
Χρόνοις. Ζ. Πρόσθεν.
Χρυσοέθειρ καὶ Χρυσοέθειρα, (ἡ), 115, 377.
Χρυσός. Ζ. Μυρμηκίας.
Χώρα. Ἐν πατρὸς Χώρᾳ, 238.
Χωρεῖν. Ζ. Ὁμόσε.
Χωρία. Ζ. Καθειμένα.

Ψ

Ψηφὶς, 3.
Ψῆφοι, 26.
* Ψῆφοι, 315.
Ψῆφος, 3.
Ψιτάχεμμις. ὄν. κύρ. 371.
Ψοφεῖ ἡ θύρα, 130, καὶ Ψοφῶ τὴν θύραν, 34.

Ψυχόω, 126.
Ψώχεμμις. ὄν. κύρ. 371.

Ω

Ὦα (ἡ), 117.
Ὠὰ (τὰ). Ζ. Ζεφύρια.
Ὦ 'γαθέ. Ζ. Ἀγαθός.
Ὠγύγιος, 350.
Ὠδῖνες δακρύων, 340.
Ὥρα, 241, 313.
Ὡραῖα (τὰ), 114.
Ὡραιοπώλης, 114.
Ὡραπόλλων, 313.
Ὥριος, 331.
Ὡρογράφος, 314.
Ὡρολόγιον, 312.
Ὡρονομεῖον, ἢ Ὡρονόμιον. Ζ. Σκιοθηρικόν.
Ὧρος, 313, 314.
Ὧρος, ὄν. κύρ. 293, 313.
Ὡροσκόπιον, 312.
Ὡς (τοῦ) σύνταξις, 23.
Ὡς, πρόθεσις, 295.
Ὡς ἐπίπαν. Ζ. Ἐπίπαν.
Ὦτα. Ζ. Βασιλέως.

---

# ΠΙΝΑΞ

## ΤΩΝ ΕΞΗΓΗΜΕΝΩΝ ΕΙΣ ΤΑΣ ΣΗΜΕΙΩΣΕΙΣ ΛΕΞΕΩΝ ΤΗΣ ΣΗΜΕΡΙΝΗΣ ΤΩΝ ΓΡΑΙΚΩΝ ΓΛΩΣΣΗΣ.



Α ἀντί τοῦ ΑΙ, 96, 349.
Ἀγάπη μου, 117.
Ἀγοράδα, 317.
Ἀγόρασις, 316.
Ἀδελφοσύνη, 24.
Ἀθάλη, 349.
ΑΙ. Ζ. Α.
Αἰτιατικῆς κατάχρησις, 56.
ΑΙΝΩ (εἰς) ῥήματα, 342.
Ἄκριες, 1.
Ἄμποτε, 71.
Ἀναφέρω, 334.
Ἀνεμοστρόβιλος, 42.
Ἄνζα, ἢ Ἄντα, ἢ Ἄντζα, 113.
Ἀνθρακούφη, 55.
Ἄντα. Ζ. Ἄνζα.
Ἄντζα. Ζ. Ἄνζα.
Ἀντζίον, 113.
Ἀντζέμιδες, 239.
Ἀπόκοτος, 147.
Ἀποκοτῶ, 147.
Ἀράζω, 3.
Ἀράχνη, Ἀραχνία, 351.
Ἀραχνιάζω, 351.
Ἀρκουδιστὰ, 12.
Ἀστράπτει, 297.
Ἄστρη (τὰ), 132.

Αὐτίον (τὸ), 345.
Ἀχαμνίζω, 282.
Ἀχαμνὸς, 282.
Ἀχηβάδα, 5.
Ἀχυλία, 55.
Ἀψὰ, 69.

Β

Β ἀντὶ τοῦ Μ, 5.
Βάλλω. Ζ. Πόθος.
Βάρος, 206.
Βομβωνιασμένος, 222.
Βορβόλακας ἢ Βορβούλακας, 5., 199.
Βουλὴ, 135.
Βυζάνω, 5.

Γ

Γ προστίθεται ἐν ἀρχῇ λέξεων, 175.
Γλάρος, 175.
Γλυκοφέγγισμα, 175.
Γλυκόφως, 175.
Γλυκὺ, 225.
Γνέμα, 175.
Γράμμα, 322.
Γραμματικὸς, 26
Γραφὴ, 283, 322, 325.
Γροθοποπῶ ἢ Γρονθοκοπῶ, 21.
Γρόθος, ἢ Γρόνθος. 21.

Δ

Δαγκάνω, 341.
Δαιμονίζομαι, 146
Δαμιάτη, ὄν. κύρ., 11.
Δένδρη (τὰ), 132.
Διαβάζω, 89
Διαλαμβάνω, 128.
Δίδω σου νὰ καταλάβῃς, 176.
Δούλευσις, 237.

Ε

ΕΑ. Ζ. ΙΑ.
Εἶα μόλα. Μέρ. Α. Ἐπιστ. πρὸς Ἀλέξανδρ. σελ. ος´
Εἰς ἀντὶ τῆς Ἐν., 41, 42.
Ἐκφυλίζω, Εκφυλῶ, ἢ Ξεφυλίζω, 151.
Ἔμνοστος, 282.
Ἐμπιστευμένος, 258.
Ἐξόδιον, 367, 368.
Ἐξοχώτατος, 143.
Ἐξοχή, 28.
Ἐξυπνῶ, 187.
Ἐπανωφόριον, 82.
Ἐπικέρια, (τὰ) ὄν. κύρ, 1.
Ἐπιχειρίζομαι, Ἐπιχειρίζω, 220.
Ἑρπετὰ, 344.
Εὐμορφία. Εὔμορφος. Μέρ. Α. Ἐπιστ. πρὸς Ἀλέξανδρ. σελ. ιέ.
Ἐχθρεύομαι, 292.

Ζ

Ζ, ἀντὶ τοῦ Σ, 140.
Ζαρόνω, 140.
Ζητουνίου (Κόλπος), 107.
Ζόχος, 140.

Θ

Θεὸς (ὁ) ἀργεῖ, ἀλλὰ δὲν λησμονεῖ, 28.
Θρειῶ, 64.
Θρουβαλίζω, 63.
Θρούβαλα, 63.
Θραυλλίζω, 64.
Θρύμματα, 63.

Θρύω, 64.

I

ΙΑ κατάληξις ἀντὶ τοῦ ΕΑ, 294—ἀντὶ τοῦ ΙΣ, 316, 317.

K

K. Z. TZ.
Καγκελλάριος, 26.
Καίεται ἡ καρδία μου, ἢ Μοῦ καίει τὴν καρδίαν, 31.
Κακανίζω, Κακανογελῶ, 350.
Κακοτελεύω, 317.
Καλὰ ἔκαμε νὰ, 60.
Καλαμοπόδαρον, 114.
Καλδιρίμι, 288.
Καλέ, 133.
Καλοπαθοῦμαι, ἢ Καλο..αθῶ, 291.
Καλός. Μέρ. Α. Ἐπιστ. πρὸς Ἀλέξανδ. σελ. ιέ.
Καλοτελεύω, 317.
Καλοφθάνω. Μέρ. Α. Ἐπιστ. πρὸς Ἀλέξανδρ. σελ. ις΄.
Κάμμία, 44.
Κάμπόσος, 44.
Κανίον, 114.
Κανίσκιον, 114.
Κανιστρᾶς, 114.
Κανίστριον, 114.
Καννέλλα, 352.
Κἄποτε, 44.
Κἄπου, 44.
Καρδίαν (ἔχε καλὴν), 120.
Καρδιοφλογίζομαι, 33.
Καστρὶ, ὄν. κύρ. 94.
Καταβολάδα, 129.
Καταβολεύω, 129.
Κατακέφαλα, 24.
Κατάκοιτος, 255.
Καταπόδι, 297.
Καταπονῶ, 246.
Κατὰ τὸ παρὸν, 47.
Καταχερίζω, Καταχερνῶ, ἢ Καταχερῶ, 220.
Κατόπι, 297.
Κατώφλιον, 48.
Καφὲς, 98.
Κλαβανὴ, ἢ Κλαιβανὴ, 48.
Κλιβανάριος, ἢ Κλιβανοφόρος, 298.
Κλωναράκια (τὰ), 106.
Κοντὰ, 113.
Κοντάριον, 301.
Κοντομίτυς ἢ Κοντομίτης, 113.
Κοντοπόδαρος ἢ Κοντοπόδης, 113.
Κοντοσιμόνω, 113.
Κοπίδιον, 298.
Κόπτει ἡ γλῶσσα, ἢ ὁ νοῦς, 298.
Κορμάλιον, 304.
Κορμίον, 305.
Κουκκίον, 302.
Κοῦκκος, 302.
Κουλλὸς, 155.
Κουντῶ, 301.
Κουρσάρης, 9.
Κούρση (τὰ), 9.
Κουτίον, 155.
Κούφα ἢ Κόφα (ἡ), 152, 153.

Κουφάριον, 153.
Κούφιος, 153.
Κουφὸς, 152, 153.
Κόφα. Ζ. κούφα.
Κοφίνιον, 152.
Κρασίον, 253.
Κρασοκατάνυξις, 197.
Κρεμάλας, 174.
Κρεντῆρι, 195.
Κρύον καὶ Κρύος, 132.
Κτικίον, 208.
Κτυπεῖ ἡ θύρα, καὶ Κτυπῶ τὴν θύραν, 130.
Κύρτος, 184.

Λ

Λ ἀντὶ τοῦ Ρ, 218.
Λαβαίνω, 342.
Λάμα, 298.
Λάμνω, 282.
Λαχαίνω, 342.
Λεμπίδα, 299.
Λεμπλεμπὶ, 88.
Λιάκουρα (τὰ), ὄν. κύρ. 64.
Λογαριάζω, 39.
Λογᾶται ἢ λογῆται (ὅσον νὰ), 75.
Λόγια, 180.
Λουβίον, 302.
Λουκτουκιὸν, 208.
Λούξιγκας, 208.
Λυγαρέα καὶ Λυγαρία, 308.
Λυγγιάζω, 208.
Λυγερὸς, 308.
Λυγίζομαι, 308.
Λυγιστὰ (σειστὰ καὶ), 308.
Λυγκιὸν, 208.
Λύξιγγας, 208.
Λυχνοστάτης, 271.

Μ

Μ ἀντὶ τοῦ Υ, 282 — τίθεται πρὸ τοῦ Π, 299. Ζ. καὶ Β.
Μακαρία, 75.
Μάκρος, 132.
Μάλαθρον, 218.
Μαμμὴ, 232.
Μάννα, 233.
Μανδύας, 18.
Μὰ τὸ ψωμὶν καὶ τὸ ἅλας, 199.
Μελαγχρινὸς, 8.
Μελαμψὸς, 8.
Μέταξα, Μετάξιον, 351.
Μέτρος, 132.
Μπουμπουνιασμένος, 222.
Μυθιστορία. Μέρ. Α. Ἐπιστ. πρὸς Ἀλέξανδρ. σελ. ζ'.
Μυρολογῶ, 169.
Μύρος (τὸ), 132.

Ν

Ν παρεντίθεται τοῖς ῥήμασι, 220.
Νεραΐδες, 116.
Νοτάριος, 26.

Ξ

Ξ. Ζ. ΤΖ.
Ξενιτεύομαι καὶ Ξενιτεύω, 238.
Ξεραίνομαι ἀπὸ τὸν γέλωτα, 23.
Ξερὸς (ἔμεινα), 23.
Ξεφαντόνω, 291.

Ξεφαντωτὴς, 291.
Ξεφυλίζω. Ζ. Ἐκφυλίζω.
Ξυλοφορῶ, 125.

Ο

Ο. Ζ. ΟΥ.
Ὄγιος, ἢ Οἶος, 117.
Ὀλίγον ἔλειψε νὰ, 170.
Ὀλιγοθυμῶ, ἢ Ὀλιγόνομαι νὰ γελῶ, 171.
Ὁλόκαιπα, 163.
Ὁλόπασι, 163.
Ὅλος (σύνθετα παρὰ τὸ), 163.
Ὁμιλῶ. τὰ Ὡμιλημένα, 104.
Ὁμμάτιά μου, 71.
ΟΝΩ (εἰς) Ῥήματα, 121.
Ὀργόνω, 323.
Ὅσον νὰ λεγᾶται, ἢ νὰ λογῆται, 75.
Ὅσον ὑπάγει περισσότερον, 263.
ΟΥ ἀντὶ τοῦ Ο, 301, 302 — ἀντὶ τοῦ Υ, 155.
Οὔγια, ἢ Οὔϊα, 117.
Οὔρια ὠὰ, 124.
Οὔριος ἄνθρωπος, 124, 345.
Οὖρος (τὸ), 132.

Π

Παγιαύλιον, 179.
Παθαίνω, 342.
Πάθω (ἂν) τίποτε, 270.
Παλληκάριον, 19.
Πανέριον, 114.
Πανθάνω, 341.
Πανώριος, 331.
Παρακείμενοι ἀναύξητοι, 6, 58, 83, 126.
Παραμύθια, 180.
Πατραντζίκι, ὄν. κύρ. 107.
Πατριάρχης, 324.
Πατῶ, 166.
Πεῖσμα, 249, 250.
Πεισματάρης, ἢ Πεισματώδης, 249.
Πεισματεύω, Πεισματόνω, Πεισματίζω, Πεισμόνω, 249.
Περιποιοῦμαι, 6.
Περμαχιόνιον, 189.
Περόνιον, Περούνιον, ἢ Πηρούνιον, 306.
Πίπτω εἰς κλίνην, 255.
Πλαγιάζω, 255.
Πλουμισμένος, ἢ Πλουμιστὸς, 299.
Πόθος. 370, 371. Βάλλω πόθον εἰς, 371.
Πομπειωμένος, 173.
Πομπεύω, 173.
Πομπὴ, 173.
Πραγματεύομαι, 210.
Πραγματευτὴς, 210.
Προξενῶ, 193.
Προφύλλιον, 117.
Πρώτη ἄνοιξις, 185.
Πύργος, 28.

Ρ

Ρ ἀντὶ τοῦ Σ, 115. Ζ. καὶ Λ.
Ῥάπτης, 143.
Ῥυχὰ, 3.

Ῥοδακινέα, 273.
Ῥούμπαλον, 299.
Ῥυάκιον, 316.

Σ

Σ. προτίθεται ἐν ἀρχῇ τῶν λέξεων, 87, 184, 185 — ὡς δίγαμμα, 344 — τρέπεται, εἰς τὸ Ρ, 115. Ζ. καὶ Ζ.
Σαγίττα, 308.
Σαλεύει ὁ νοῦς, 96.
Σαλευμένος, 96.
Σειστὰ καὶ λυγιστὰ, 308.
Σεκρετάριος, 26.
Σερπετὸς, 344.
Σημαίνω, 115.
Σήμαντρον, 115.
Σήμαρμα καὶ Σήμασμα, 115.
Σιμὰ, 113.
Σιμόνω, 113, 362.
Σιμοκοντεύω, 113.
Σκάφη, 325.
Σκόνη, 87, 184.
Σκοπὸς, 251.
Σκορδαλὸς, 184.
Σκορδούλα καὶ Σκουρδούλα, 184.
Σκούζω, 155.
Σκρόφα, 184.
Σκυλάκιον, Σκυλίον, Σκύλος, 105.
Σκύπτω, 184.
Σκύρτος, 184.
Σπάραχνα, 184.
Στεκούμενα (τὰ), 28.
Στερεὰ καὶ Στεριὰ, 294.
Στουμπανίζω, 87.
Στοχάζομαι, 40.
Στοχαστικὸς, 40.
Στραγάλια (τὰ), 87.
Στράπτει, 297.
Στρόβιλος, 42.
Συγχύζω, 265, 343.
Σφυρίζω, 179.

Τ

Τὰ, ἀντὶ τοῦ Α, 46.
Τὰ κιρνᾶς, χάνεις, καὶ τὰ χρεωστεῖς, πληρώνεις, 46.
Τὰ φέρει ἡ ὥρα, χρόνος δὲν τὰ φέρει, 46.
Τὰ ὡς δὲν θέλεις γίνονται, θέλε τα καὶ ὡς γίνονται, 46.
Τὸ, ἀντὶ τοῦ Ὁ. Ζ. Τά.
Ταξειδεύω, 296.
Ταξείδιον. 296.
Τέλη, 317. — Κακὰ, ἢ καλὰ τέλη, Αὐτ.
ΤΖ, ἀντί τοῦ Κ, 21, 115 — ἀντὶ τοῦ Ξ, 21.
Τζακάλιον, 78.
Τζαλαπατῶ, 21.
Τζιγκέλιον, 26.
Τζίχλα, 21.
Τζώφλοιον, 21.
Τὶ, ἐπὶ παντὸς ἀριθμοῦ καὶ γένους, 108
Τόποι (εἰς), πατρὸς, 138.
Τορνεύω, 66.
Τόρνος, 66.
Τρώγομαι, ἢ Τρώγω τὴν καρδίαν μου, 29.

Υ. Ζ. ΟΥ.
Ὑποστατικὸν, 28.

Φ

Φαμιλία, 324.
Φανάριον, 271, 325.
Φανὸς, 325.
Φαντάζομαι 233
Φατρία, 324.
Φατριάρχης, 324.
Φεγγάριον, 289, 290.
Φέρνω, 220.
Φιλεύω, 207,
Φοβερός. Μέρ. Α, Ἐπισΐ. πρὸς Ἀλέξανδρ. σελ. ιε'.
Φόλα (ἡ), 299, 300.
Φόλις (ὁ) 299, 300.
Φορτόνω, 121.
Φρόνιμα (ἔκαμε) νὰ, 60.
Φῶς μου, 71.

Χ

Χαβᾶς, 162.
Χαίρομαι, 157.
Χαμαιγελῶ ἢ Χαμογελῶ, 287.
Χάραγμα, 175.
Χαραμάδα, ἢ Χαραμίδα, 276.
Χαράσσει, 174.
Χαρῶ (νὰ σὲ), 17. Δὲν ἐχάρη ποσῶς τὴν νεότητά της, Αὐτ.
Χαχανίζω, 350.
Χέμψ, ὄν. κύρ. 369.
Χονδροκοπανισμένος, 12.
Χοχλάκια, 3.
Χοχλάζω, 3.
Χοχλιὸς, 3.
Χρηματίζω, 348.
Χρισσὸ, ὄν. κύρ. 92.
Χρόνος, 103.

Ψ

Ψηφία, 315.
Ψόφος, 130.
Ψοφῶ, 130.
Ψυχή μου, 71.

Ω

Ὥριος, 331.

# ΚΑΤΑΛΟΓΟΣ

Τῶν ἐν ταῖς σημειώσεσι διορθωθέντων, ἢ ὁπωσοῦν ἑρμηνευθέντων ποιητῶν ἢ συγγραφέων.


ΑΙ - ΘΕ

Αἰλιανὸς, 277, 278.
Ἀριστοφάνης, 68, 88, 123, 155, 290.
Ἀριστοτέλης, 284.
Ἀρτεμίδωρος, 202.
Ἀχιλλεὺς Τάτιος, 36, 46, 91, 115.

Γ

Γαληνὸς. 62.

Δ

Διόδωρος Σικελιώτης, 284, 315.
Δουκάγγιος, 282, 291, 317.

Ε

Ἐπίκουρος. 54.
Ἐτυμολόγος, 203.
Εὐριπίδης. 230.
Εὐστάθιος, 7, 22, 300.

Η

Ἡρόδοτος. 99, 233, 248, 315.
Ἡσύχιος, 24. 48, 52, 65, 70, 76, 91, 146, 152, 155, 164, 169, 196, 203, 282, 289, 300. 345, 358. 371.

Θ

Θεοδώρου Γαζῆ Ἐνετικὴ ἔκδοσις, 50.

ΘΟ - ΠΛ

Θουκυδίδης 7, 113, 283.

Ι

Ἱπποκράτης, 54, 145, 185, 235, 310.

Λ

Λεξικὸν τρίγλωσσον 255.
Λόγγος, 10, 317.
Λουκιανὸς, 13, 20 (δὶς), 28, 84, 93, 128. 174, 180, 233, 274, 286, 314.
Λυκοῦργος, 75.

Μ

Μακκαβαίων βίβλος. Ζ. Παλαιὰ Διαθήκη.
Μένανδρος, 32.
Μεταφραστὴς Βοκακκίου. 222.

Ν

Νέα διαθήκη, 249.

Ξ

Ξενοφῶν Ἐφέσιος, 6

Ο

Ὅμηρος, 71, 72, 84, 135, 170, 200.

Π

Παλαιὰ Διαθήκη, 306, 372
Πλάτων, 68, 205, 237.
Πλούταρχος, 20, 43, 57, 68, 81, 137, 147,

170, 172, 248, 249, 284, 288, 314, 335, 359.

Σ

Σουΐδας, 35, 65, 90, 146, 166, 223, 284, 323, 347.
Σοφοκλῆς, 7.
Στέφανος περὶ Πόλεων, 93.
Στράβων 91. 355.
Σχολιαστὴς Ἀριστοφάνους, 155.
Σχολιαστὴς Ὁμήρου, 164.

Φ

Φίλιππος φιλόσοφος, Μέρ. Α, μετὰ τὴν πρὸς Ἀλέξανδρ. ἐπιστ. σελ. πγ΄.
Φιλόστρατος, 187, 199, 372.
Φρύνιχος, 42.
Φώτιος, 305. Ζ. καὶ Μέρ. Α, μετὰ τὴν πρὸς Ἀλέξανδρ. ἐπιστ. σελ. οζ΄, οη΄.

Χ

Χαρίτων, 36. 323, 324.

Ψ

Ψελλὸς, 219. Ζ. καὶ Μέρ. Α, μετὰ τὴν πρὸς Ἀλέξανδρ. ἐπιστ. σελ. οθ΄-πβ΄.

ΤΕΛΟΣ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000082363